UNIVERSITY OF TORONTO
3 1761 01309173 1

Digitized by the Internet Archive
in 2008 with funding from
Microsoft Corporation

https://archive.org/details/scholiainsophocl00elmsuoft

# SCHOLIA

IN

# SOPHOCLIS

# TRAGOEDIAS SEPTEM.

# SCHOLIA

IN

# SOPHOCLIS

# TRAGOEDIAS SEPTEM.

E

CODICE MS. LAURENTIANO

DESCRIPSIT

PETRUS ELMSLEY S. T. P.

AULAE S. ALBANI NUPER PRINCIPALIS

NECNON

HISTORIARUM PRAELECTOR CAMDENIANUS.

OXONII,

E TYPOGRAPHEO CLARENDONIANO.

MDCCCXXV.

7592
1/12/90

# LECTORI

## THOMAS GAISFORD S.

PAUCISSIMIS verbis complectar, quae in limine Scholiorum Sophocleorum præfanda habeo. De eorum praestantia atque auctoritate nihil hodie edisseram; ea solum commemorabo, quae huic editioni nova accesserunt.

Petrus igitur Elmsleius, cujus immaturam mortem nondum eluximus, Florentiae agens circa initium anni 1820, codicem Laurentianum XXXII. 9. diligenter pervolvit, scholiaque marginalia summa cum fide exinde descripsit. Verba ejus sunt in praefatione editionis suae Œdipodis Colonei: "Scholia in Sophoclem, quae Romana "vulgo appellantur, ex hoc codice descripta esse plus se"mel monui. Romanam scholiorum editionem, quam "tanti fecerant Porsonus aliique, in annotatione mea "prorsus neglexi, propterea quod scholia ex eodem co"dice iterum descripta habeo, idque accuratius, ni fallor, "quam in impressis leguntur." In patriam redux ad edendum se accinxit, neque ultra tamen paginam 64. est progressus. Primo enim rei molestae taedium eum cepit, deinde morbus indies magis magisque ingravescens vires adeo fregit ac labefactavit, ut tanto operi exsequendo omnino impar esset. Itaque paucis ante ejus obitum septimanis, quum paulisper cessante morbi violentia literarum studia recolere coepisset, inter alios sermones injecta est a me mentio scholiastae inchoati: dolebam laboris perituri vicem, nisi aut ipse convalesceret, aut alium quemvis sibi pateretur succenturiari: denique, licet multis

gravibusque negotiis distinerer, si modo id vellet, me ipsum correctoris munere haud illibenter dicebam perfuncturum. Quibus monitis meis laete admodum assensus est: et ne mora ulterius prorogaretur, statim fidei meae commisit apographum Florentini codicis, quod nitide compingendum curaverat, eo scilicet consilio, ut finita editione, in Bibliotheca Bodleiana perpetuo adservaretur. Ego autem nihil cunctatus sum: plagulae tres quatuorve priores a typographo absolutae sunt, priusquam tristissimus iste dies illuxit, quo abreptum nobis collegam doluimus; et nisi aliae me pressissent curae, quas fusius enarrare nihil attinet, ante aliquot menses totum opus ad umbilicum duxissem.

Atque haec hactenus. Consilium Elmsleii erat verba optimi vetustissimique, atque, ut videtur, unici codicis, summa cum religione repraesentare; ita ut ne manifesta quidem scripturae vitia praeteriret, saltem in annotationibus ad calcem uniuscujusque paginae subjectis commemoraret. Annotationes istas brevissimas esse voluit: nec quicquam amplius meditatus videtur, quam ut discrepantias libri archetypi, editionum Romanae et Brunckianae, nonnunquam etiam recensionis Triclinianae, proponeret. Summopere autem enixus est ut lemmata ubique exactissime exhiberentur, qua in parte moleste ferebat Romani editoris negligentiam, qui multa secus atque in codice ms. repererat, imprimenda curavisset. Vide modo, ut hoc utar, Trach. 339., ubi lectione codicis patefacta, Porsoni ad Phoen. 1373. corruit emendatio. Atque ista lemmata duobus punctis, hodierni typographi *colon* vocant, ab interpretatione Grammatici segregata sunt; reliqua omnia, quibus adhibentur uncini formae

quadratae, minime exstant in codice ms., sed ad commodiorem legentium usum suppleta sunt ab editore. Posteriora haec saepenumero parum conveniunt cum iis quae apud Romanam editionem et Brunckianam leguntur: attamen in talibus, quibus nulla inest auctoritas, diversitatem enotare supervacaneum putavi. Unum hoc addendum, me brevioribus siglis, quam quibus Elmsleius, in varietate lectionum indicanda usum esse. Inde igitur a p. 65. invenies L. pro MS. Laurent., necnon R. pro Ed. Rom., et Br. pro Brunck.

Dabam Oxonii
d. 10 Novembris 1825.

# ΕΙΣ ΟΙΔΙΠΟΥΝ ΤΟΝ ΤΥΡΑΝΝΟΝ.

1. ΦΙΛΟΔΗΜΟΝ καὶ προνοητικὸν τοῦ κοινῇ συμφέροντος τὸ τοῦ Οἰδίποδος ἦθος, καὶ εὔνοιαν [a] ἔχον ἀπὸ τοῦ πλήθους δι' ὧν αὐτοὺς εὐηργέτησεν. Εἰκότως οὖν [b] κέχρηται τὸ τέκνα, ὡσπερεὶ πατήρ. Νέοι ὄντες νῦν ἀπὸ τοῦ ἀρχαίου Κάδμου. Οἰκτρὸν δὲ τὸ νέα.

2. Θοάζετε: Κατὰ διάλυσιν, ἀντὶ τοῦ θάσσετε. Ἢ θοῶς προκάθησθε.

3. Ἱκτηρίοις: Ἀντὶ τοῦ ταῖς [c] ἱκετηρίαις. Τὸ δὲ ἐξεστεμμένοι, ἀντὶ τοῦ κεκοσμημένοι. Εἰώθασι γὰρ τὸ στέφειν χρῆσθαι ἀντὶ τοῦ κοσμεῖν. Στέμμα δέ ἐστι τὸ [d] προσειλημένον ἔριον τῷ θαλλῷ.

4. Πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων: Οἱ μὲν μηδὲν πεπονθότες, ἐπὶ ἀποτροπῇ τοῦ κακοῦ θύουσιν καὶ παιᾶνας ᾄδουσιν· οἱ δὲ ἐπταικότες, ἐπὶ τοῖς οἰκείοις κακοῖς ἀποιμώζουσιν.

6. Ἃ 'γὼ δικαιῶν: Οὐ δι' ἀγγέλων μαθεῖν τὴν αἰτίαν ἠξίωσα, ἀλλ' αὐτὸς παρεγενόμην, [e] προκηδόμενος ὑμῶν.

8. Ὁ πᾶσι κλεινός: [f] Ἢ πᾶσι τοῖς ἐπιτηδεύμασιν, ἢ ὑπὸ πάντων. πιθανῶς δὲ τὸ ὄνομα τοῦ προλογίζοντος ἐδήλωσεν. Ἅμα δὲ [g] καὶ εἰς

[a] Ita ed. Rom. pro ἔχων, quod nescio an retinendum fuerit. Est enim σχῆμα πρὸς τὸ σημαινόμενον.

[b] Sic MS. Laurentianus. Ed. Rom. κέχρηται τῷ τέκνα, sed paullo post εἰώθασι γὰρ τὸ στέφειν χρῆσθαι. *Hanc verbi* χρῆσθαι *cum accusativo constructionem in his Grammaticorum scriptis passim videas.* Utor enim verbis Schaeferi ad Gregorium p. 691. qui me persuasit, ut ne τὸ τέκνα, τὸ στέφειν, τὸ πληθυντικὸν (quod exstat in schol. ad v. 17.), atque alia sexcenta ejusdem generis pro librarii erroribus haberem, quales sunt τὸ ἀνάλγητος ad v. 12. τὸ ἀνοίκτως ad v. 80.

[c] MS. ταῖς ἱκετηρίοις. Ed. Rom. ταῖς ἱκτηρίοις. Recte Brunckius ταῖς ἱκετηρίαις.

[d] Ita ed. Rom. pro προσειλημμένον.

[e] Ita ed. Rom. pro προσκηδόμενος.

[f] MS. ἢ πᾶσι τοῖς ἐπιτηδεύμασιν, ἢ ὑπ+ (i. e. ὑπὲρ) ανοις. Ed. Rom. ἢ πᾶσι τοῖς ἐπιτεύμασιν (sic), ἢ ὑπ' ἀνῶν. Brunckius: ὁ πᾶσι τοῖς ἐπιτηδεύμασιν, ἢ ὑπ' ἀνθρώπων. Dubitanter dedi, ἢ ὑπὸ πάντων. Sic ad v. 40. Ἢ ὑπὸ πάντων κράτιστος εἶναι ὑπολαμβανόμενος, ἢ πᾶσι τοῖς προειρημένοις. Sic etiam ad Aj. 722. λοιδορεῖται, ὑβρίζεται ὑπὸ πάντων.

[g] Ita Brunckius pro ἅμα τε καί. Legitur ἅμα δὲ καὶ in schol. ad vv. 58. 93. 118. 147. 637. 680. et alibi passim.

ἐπιθυμίαν φέρει τὸν θεατὴν τῶν περὶ τοῦ Οἰδίποδος. Οὐκ εὐθὺς δὲ τὰς αἰτίας τῆς δόξης ἐπάγει, ἀλλὰ ταμιεύεται, κατὰ βραχὺ ἐν καιρῷ [a] ἐνθήσων. Καλῶς δὲ οὐ δι' ἀγγέλων ἀπήγγελται, ἵνα διαλεγομένου αὐτοῦ, ἐκ Δελφῶν εἰσαγάγῃ τὸν Κρέοντα.

9. Ἀλλ' ὦ γεραιέ: Εὐτάκτως ἑκάστῳ τὸ δέον ἀπένειμεν· διὰ μὲν τῶν παίδων, τὸν οἶκτον τῆς ἱκετείας· διὰ δὲ τοῦ πρεσβύτου, [b] ἡ πρὸς τὸν βασιλέα ἀπόκρισις. Εἰς γὰρ τοῦτο ἀπρεπὲς τὸ τῶν νέων πρόσωπον. Δεδήλωται οὖν ἡμῖν τὸ χρήσιμον τῆς παρουσίας τοῦ γέροντος.

10. Τίνι τρόπῳ: Ἀντὶ τοῦ, ἐπὶ ποίᾳ προφάσει ἱκετεύετε. Εἶτα ἐπιφέρει τὰς αἰτίας. Ἢ γὰρ διὰ δέος κολάσεως, ἢ παθόντες, ἐκδικίας τυχεῖν ἀξιοῦντε. Ὅπερ ἐδήλωσεν διὰ τοῦ στέρξαντες, οἷον, ἤδη πεπονθότες.

12. Δυσάλγητος: Σκληρὸς, δυσμετάκλαστος, ἀναλγὴς, ἀπαθὴς, [c] ἀνελεής. [d] ἴσος τῷ ἀνάλγητος καὶ σκληρός.

14. Ἐν τῷ ᾱ λόγῳ ἐγνώκαμεν τὸ ὄνομα τοῦ Οἰδίποδος, καὶ ὅτι παιᾶνες εἰσὶν ἐν τῇ πόλει. Νῦν δὲ διὰ τῆς ἐντέχνου ἐπεξεργασίας, ὅτι καὶ βασιλεὺς, καὶ τὴν αἰτίαν τῶν παιάνων. Προαγωγὸν δὲ εἰς πειθὼ τὸ προοίμιον.

15. Τοῦτο καὶ τὴν ἡλικίαν σημαίνει, καὶ δυσωπητικόν πως τυγχάνει. Ὡς γὰρ ἐπὶ θεοῦ βωμοὺς πάρεισιν ἐπὶ τοὺς πρὸ τῶν [e] βασιλείων ἱδρυμένους.

17. Πτέσθαι: Ἀντὶ τοῦ βαδίσαι. Ἡ δὲ μεταφορὰ ἀπὸ τῶν νεοττῶν. Τὸ δὲ, σὺν γήρᾳ βαρεῖς, ἐφ' ἑαυτοῦ τὸ [f] πληθυντικὸν ἐχρήσατο. Καὶ τὸ ἱερεῖς ὁμοίως.

19. Λεκτοί: Τὸ λεκτοὶ τάχα μὲν εἰς σύστασιν τῶν παίδων, τάχα δὲ καὶ δημοσίαν ἐκφαίνει τὴν ἐκπομπὴν, ὡς ἐπιλεχθεῖσαν καὶ πεμφθεῖσαν παρὰ τοῦ κοινοῦ.

20. Πρός τε Παλλάδος διπλοῖς ναοῖς: Δύο ἱερὰ ἐν ταῖς Θήβαις

[a] MS. ἐνθήσειν.

[b] Ed. Rom. ἡ πρὸς βασιλέα ἀπόκρισις. Brunckius τὴν πρὸς βασιλέα ἀπόκρισιν. Recte se habere videtur nominativus. Tales ἀνακολουθίαι etiam apud probatos scriptores frequentes sunt.

[c] E Suida v. ἀνάλγητος scribendum ἀνηλεής: nam ἀνελεὴς vox est nihili. Vid. Boeckh. in Platon. Minoem p, 188. Erfurdt.

[d] Ita Brunckius pro ἴσος τὸ ἀνάλγητος. Stephanus dederat ἴσως τὸ ἀνάλγητος.

[e] Sic ed. Rom. pro βασιλέων. Legebam insuper: ὡς γὰρ ἐπὶ θεῶν, πάρεισιν ἐπὶ τοὺς βωμοὺς τοὺς πρὸ τῶν βασιλείων ἱδρυμένους.

[f] MS. τὸ πληθυντι. Ed. Rom. τῷ πληθυντικῷ. Vide ad v. 1.

ἵδρυται τῇ Ἀθηνᾷ· τὸ μὲν [a] Ὀγκαίας, τὸ δὲ [b] Ἰσμηνίας. Οἱ δὲ οὕτω· τὸ μὲν Ἀλαλκομενίας, τὸ δὲ Καδμείας. Τινὲς δὲ τὸν τῆς [c] Ἀλαλκομενίας οὐκ ἐν Θήβαις εἶναι, ἀλλ' ἐν κώμῃ.

21. Ἐπ' Ἰσμηνοῦ τε μαντείᾳ: Καὶ γάρ ἐστι παρὰ τῷ Ἰσμηνῷ Ἀπόλλωνος ἱερόν. Διὸ φησὶ, μαντείᾳ σποδῷ. Τοῦτο δὲ ἀντὶ τοῦ βωμῷ, ὅτι διὰ τῶν ἐμπύρων ἐμαντεύοντο οἱ ἱερεῖς, ὡς φησὶ Φιλόχορος.

23. Σαλεύει] Ἡ μεταφορὰ ἀπὸ τῶν χειμαζομένων νεῶν.

25. Φθίνουσα μὲν κάλυξιν: Οὐ μόνον ἀφορίαν φησὶν εἶναι τῆς γῆς, ἀλλὰ καὶ τοὺς [d] πεφηνότας καρποὺς διαφθείρεσθαι ὑπὸ τοῦ λοιμοῦ.

*Ibid.* Κάλυξιν] Σὺν τοῖς βλαστήμασιν.

27. Ὁ πυρφόρος θεός: Ὁ λοιμὸς ὁ πυρετοφόρος. Τὸν [e] γὰρ πυρετὸν, πῦρ καλοῦσι, καὶ τὸ ἐναντίον. Ὅμηρος·

[f] Καί τε φέρει πολλὸν πυρετὸν [δειλοῖσι βροτοῖσιν].

28. Σκήψας] Ἐπιβαλὼν, [g] ἐπιφέρων.

29. Δῶμα Καδμεῖον: Περιφραστικῶς ἡ πόλις. Ἢ ἀντὶ τοῦ, τὰ δώματα πάντα [h] τὰ τῆς πόλεως.

33. Ἀνδρῶν δὲ πρῶτον: Οὐ μόνον οὖν ὡς βασιλέως δέονται, ἀλλὰ καὶ σοφοῦ. Κατὰ βραχὺ δὲ παρεμβάλλει ἡμῖν ὁ ποιητὴς τὰ τῆς ἱστορίας τοῦ Οἰδίποδος.

*Ibid.* Συμφοραῖς βίου] Ταῖς βιωτικαῖς συντυχίαις.

34. Ἔν τε δαιμόνων συναλλαγαῖς: Καὶ ἐν ταῖς πρὸς τὸ θεῖον κοινωνίαις καὶ φιλίαις τὸ στοχάζεσθαι τῆς τῶν θεῶν διανοίας. Ἐκ τούτου δὲ παθητικωτέραν τὴν τραγῳδίαν ποιεῖ, ὅταν ὁ τοιοῦτος εἶναι νομιζόμενος, [i] φανῇ καινοῖς μύσεσιν ἔνοχος.

[a] MS. οἰκαίας. Sequor cum Brunckio viros doctos, quos memorat Valckenarius ad Schol. in Phoen. 1068. Quamquam potius Ὄγκας sive Ὄγγας quam Ὀγκαίας scribere debebat grammaticus.

[b] Ed. Rom. ἰσμηνίας pro ἰσμηνείας. Mox eadem et MS. bis ἀλαλκομενείας, quod mutavit Brunckius.

[c] Subaudi ναόν. Ed. Rom. τὸ τῆς ἀλαλκομενείας (ἱερὸν scilicet). Eadem: οὐκ ἐν θήβαις, ἀλλ' ἐν κώμῃ εἶναί φασιν. Praeter necessitatem additur φασιν.

[d] Ed. Rom. πεφηκότας, unde ed. Flor. πεφυκότας. De confusione verborum πέφηνα et πέφυκα videndi interpretes Aeschyli ad Prom. 111, Sophoclis ad El. 646.

[e] Nescio an praestaret: τὸν γὰρ λοιμὸν, πυρετὸν καλοῦσι.

[f] Il. X. 31.

[g] In ed. Rom. deest ἐπιφέρων.

[h] Hoc τὰ delevit Brunckius.

[i] MS. φανεῖ καινοῖς μύσεσιν ἔνοχος. Ed. Rom. φανῇ καινοῖς μίσεσιν ἔνοχος. Recte Brunckius μύσεσιν. Confusa μῖσος et μύσος alibi in his scholiis reperies. Vide ad v. 656.

35. Τὸ ἑξῆς·] [a]Ὅς τε μολὼν ἄστυ Καδμεῖον. Ἵνα καὶ ἡ ἀπὸ ξένης αὐτοῦ ἄφιξις δηλωθῇ.

36. Ἀοιδοῦ: Ὅτι τὸ ἀοιδοῦ εὔφημόν ἐστιν, προσέθηκε σκληρᾶς, ὅ ἐστι δυσκόλου, διὰ τὸ αἴνιγμα. Ἢ [b] φονικῆς.

38. Οὐδ' ἐκδιδαχθείς: Οἷον, οὐ προακούσας παρ' ἡμῶν τὸν τρόπον τῶν αἰνιγμάτων. Ὅπερ [c] συνελάμβανέν πως σοι πρὸς τὴν λύσιν. Ὡς πρὸς θεοφιλῆ οὖν καὶ εὐτυχῆ ἀπαντῶσιν. Περιττεύει δὲ ἡ ἐξ, ἢ ἡ ὑπο.

*Ibid.* Προσθήκῃ] Συμβουλῇ, [d] ἐπικουρίᾳ.

40. Ἢ ὑπὸ πάντων κράτιστος εἶναι ὑπολαμβανόμενος, ἢ πᾶσι τοῖς προειρημένοις, τύχῃ, συνέσει, θεοφιλίᾳ.

41. Πρόστροποι: Προσπεπτωκότες, προστετραμμένοι. Ἴσως δὲ τοῦτο εἰπὼν ὁ ὑποκριτὴς, προσπίπτει [e] εἰς τοὺς πόδας τοῦ ἄρχοντος.

44. Ὡς τοῖσιν ἐμπείροισιν: Ἐν τοῖς συνετοῖς τὰς συντυχίας καὶ τὰς ἀποβάσεις τῶν βουλευμάτων ὁρῶ ζώσας καὶ οὐκ ἀπολλυμένας. Οὐ [f] σφάλλεται, ἀλλὰ τὸ ἀποβησόμενον στοχάζεται καλῶς.

45. Ζώσας] Ἀντὶ τοῦ·[g] ἐνεργεστέρας.

46. Ἴθ' ὦ βροτῶν ἄριστε: Διεξελθὼν τὰ τῆς πόλεως κακὰ, καὶ ὅτι ἱκανός ἐστιν ἐπινοῆσαι ἀπαλλαγὴν, ἐπάγει ὅτι καὶ χρήσιμον σῶσαι τὴν πόλιν, μᾶλλον δὲ κινδυνῶδες τὸ ἀμελῆσαι. Ἴθι οὖν καὶ εὐλαβήθητι, μὴ τὴν [h] προϋπάρχουσαν δόξαν ἐπὶ τῇ εὐποιΐᾳ ἀπολέσῃς. Πάνυ δὲ αἰδημόνως οὐκ εἶπεν, ὅτι οὐκέτι τιμήσει σε ἡ πόλις, ἀλλὰ σὺν τῇ εὐχῇ τὸ ὅλον κατέθηκεν. Εἰώθαμεν δὲ καὶ τῶν ἀτυχημάτων καὶ τῶν εὐημεριῶν μνημονεύειν, καθὼς ἄρχοντες [i] ἀποβῶσιν. Ἔασον

[a] MS. et ed. Rom. ὥστε. Ed. Flor. recte ὅς τε. Scripsit enim Sophocles ὅς τ' ἐξέλυσας.

[b] Ita Stephanus pro φοινικῆς. Sic etiam Suidas v. Σκληρᾶς ἀοιδοῦ.

[c] Brunckius ὅπερ ἂν συνελάμβανέ πως. Sed saepius ἂν omittunt nostri grammatici, quam ut de uno exemplo solliciti esse debeamus. Vide schol. ad. vv. 87. 175. 216. 334. 498. 503. 857. &c. Nec desunt, qui συνελάμβανε pro συνελάμβανεν ἂν recte dici contendant. Vide ad Sophoclis El. 914.

[[d] Stephanus Thes. Ling. Gr. T. III. p. 1512. G. *Apud Sophocl. autem schol.* προσθήκη *exp.* ἐπικουρία, συμβολή.]

[e] Ed. Rom. πρὸς τοὺς πόδας.

[f] Aut supplendum ὁ συνετὸς, vel tale quid, aut e Suida v. Ζώσας legendum cum Brunckio σφάλλονται et mox στοχάζονται.

[g] MS. ἀντὶ τοῦ ἐναργεστέρας. Ed. Rom. ἐνεργεστέρας. Brunckius ἐναργεστέρας operarum errore, ut putat Erfurdtius. Sed praeter MS. ἐναργεστέρας agnoscit Suidas v. Ζώσας.

[h] Ed. Rom. τὴν ὑπάρχουσαν δόξαν. Deinde Stephanus τὴν ἐπὶ τῇ εὐποιΐᾳ.

[i] Aliquid hujusmodi in animo habuisse videtur grammaticus: εἰώθαμεν δὲ ἐκ τῶν ἀτυχημάτων καὶ

οὖν (φησὶν) ἀκέραιον τὴν προγεγενημένην σοι δόξαν, ἵνα αὐτὸ τοῦτο λέγωμεν, ὅτι ἐπὶ Οἰδίποδος τῆς Σφιγγὸς [a] ἀπαλλαγέντες, ἐν εὐδίᾳ γεγόναμεν.

48. Προθυμίας] [b] Λείπει τὸ ἕνεκεν.

51. Ἀλλ' ἀσφαλείᾳ: Γνώμῃ ἀσφαλεῖ καὶ ἐχυρᾷ εὐβουλίᾳ τὸ ἐμπεσὸν κακὸν τῇ πόλει ἀνόρθωσον.

53. Ἶσος] [c] Ὅμοιος.

54. Ὡς εἴπερ ἄρξεις τῆσδε: Τὸ πᾶν τοῦ κινδύνου (φησὶν) εἰς σὲ φθάνει. Τίνος γὰρ ἄρξεις, ἢ ποίαν ἕξεις πολιτείαν, ἀπολωλότων τῶν οἰκούντων;

56. Ὡς οὐδέν ἐστιν: Καὶ Ἀλκαῖος φησίν·

[d] Ἄνδρες πόλεως πύργοι ἀρήϊοι.

Καὶ [e] Δημοσθένης· "Ἄνδρες γὰρ πόλεις, καὶ οὐ τείχη." Ὅμοιον δὲ τὸ τῶν νεῶν ταῖς πόλεσιν. Ὅθεν καὶ [f] τροπικῶς τοῖς ὀνόμασιν [g] ἀπὸ τῶν εἰωθότων χρῆσθαι ἐπὶ τῶν πόλεων, [h] οἴακας νῦν ἀντὶ τοὺς ἄρχοντας λέγοντες, καὶ ὀρθῶς πλεῖν τὴν πόλιν φάσκοντες.

58. Ὦ παῖδες οἰκτροί: Οὐκ εἰς τὴν ἡλικίαν τοσοῦτον τὸ, ὦ παῖδες, ὡς ἂν ἁρμόζον ἐστὶ τῷ φιλοφρονουμένῳ ἤθει, οἷον καὶ τὸ, ὦ τέκνα, ἐν ἀρχῇ. Πρὸς τοὺς παῖδας δὲ διαλέγεται, ὡς οἰκτροτέρους καὶ μᾶλλον βοηθείας δεομένους, ἅμα δὲ καὶ διὰ τὸ πλῆθος, ὡς ἐπικρατέστερον.

65. Ἀντὶ τοῦ, οὐκ ἀμέριμνόν με ὄντα παρακαλεῖτε φροντίζειν, ἀλλὰ πρὸ πολλοῦ πεφροντικότα.

67. Πολλὰς δ' ὁδοὺς ἐλθόντα; Πολλὰς γνώμης ἐπιβολὰς ἐν τῇ σκέψει πλανώμενος ἦλθον, ἕως οὗ ἀρίστην εὗρον τὴν ἐπὶ τὸν θεὸν καταφυγήν. [i] Ἀρσενικῷ δὲ ἐχρήσατο πλάνοις ἀντὶ θηλυκοῦ.

τῶν εὐημεριῶν, καθὼς ἀποβῶσιν, μνημονεύειν τῶν ἀρχόντων.

[a] Ed. Rom. ἀπαλλαγέντες, εὖ διαγεγόναμεν.

[b] Caret hac gl. ed. Rom.

[c] MS. ὁμοίως. Neutrum habet ed. Rom.

[d] Apud Fulv. Ursinum p. 103. De hoc fragmento consulendus Blomfieldus Mus. Crit. Cant. T. I. p. 426. qui legit: Ἄνδρες πόληος πύργοι ἀρήϊοι. Equidem malim πύργος.

[e] [Imo Thucydides VII. 77. Vide Valckenaerii Diatr. Eurip. p. 217. qui in fr. Alcaei citat πύργος ἀρήϊοι.]

[f] Ed. Rom. τροπικοῖς.

[g] Ed. Rom. ἀπὸ τῶν εἰωθότων χρῶνται. Brunckius ἀπὸ τῶν νεῶν εἰωθότως χρῶνται. Malim ἀπὸ τῶν νεῶν εἰώθασι χρῆσθαι.

[h] Stephanus οἴακας νῦν ἀντὶ τοῦ ἄρχοντας λέγοντες. Legendum suspicor: οἴακας (vel οἴακα) νωμᾶν τοὺς ἄρχοντας λέγοντες, ut Aeschyleum οἴακα νωμῶν Theb. 3. respexerit grammaticus. Verba καὶ ὀρθῶς πλεῖν τὴν πόλιν φάσκοντες fortasse alludunt ad Sophoclem Ant. 190.

[i] MS. ἀρσενικῶς.

*Ibid.* Πλάνοις] [a] Ἀντὶ τοῦ πλάναις θηλυκῶς.

70. Κρέοντ' ἐμαυτοῦ: Οὐ τὸν τυχόντα ἔπεμψα, ἀλλὰ τὸν ἀναγκαῖον. Γαμβρὸν δὲ, ἁπλοϊκῶς ἀντὶ τοῦ κηδεστήν.

78. Οἵ δέ τ' ἀρτίως Κρέοντα προστείχοντα: Οἱ ἤϊθεοι πρὸς τὸ οὖς αὐτοῦ φασὶν ὅτι πάρεστι Κρέων, ὡς ὀξυωπέστεροι, δι' αἰδῶ δὲ τοὺς λόγους παρῃτήσαντο. Ὁ δὲ ἱερεὺς ἅμα μὲν ὡς πρεσβύτης οὐχ ὁρᾷ, ἅμα δὲ κατὰ νοῦν ἔχων τὸν λόγον τοῦ βασιλέως.

80. Ὦ 'ναξ Ἄπολλον: Εἰκότως πρὸς τὸν Ἀπόλλωνα ἡ ἀναβόησις. Ἐν [b] τῷ γὰρ ἀπὸ τοῦ θεοῦ ῥηθησομένῳ χρησμῷ κεῖται τὸ τῆς ἀπαλλαγῆς. Εἴθε οὖν παραγένοιτο Κρέων ἐπί τινι σωτηρίῳ τύχῃ λαμπρὸς, ὥσπερ ἐκ τῆς περὶ τὸ πρόσωπον καταστάσεως φαιδρός. Λεληθότως δὲ δείκνυσιν ἡμῖν τὸ σχῆμα τοῦ ὑποκριτοῦ, ὁποῖον εἰσῆλθε.

*Ibid.* Εἰ γάρ] Ἀντὶ τοῦ [c] εἴθε.

82. Οὐ γὰρ ἂν κάρα πολυστεφής: Οἱ γὰρ ἐπί τινι αἰσίῳ παραγενόμενοι ἐκ Δελφῶν, ἐστεμμένοι ἐπανῄεσαν, ὡς καὶ Ἀριστοφάνης ἐν [d] Πλούτῳ φησί.

84. Ξύμμετρος γὰρ ὡς κλύειν: Οὐκ ἔστι (φησὶ) μακρὰν, ἀλλ' ἐγγὺς, καὶ μέτρον ἔχων τοῦ ἀκούειν, διὰ τὸ πλησίον γενέσθαι.

85. Ἄναξ, ἐμὸν κήδευμα: Ἴδιον τῶν ἐν χρείᾳ καθεστώτων φιλοφρονεῖσθαι μείζοσιν ὀνόμασιν τοὺς ταπεινοτέρους.

87. Ὁ μὲν Οἰδίπους τίς εἴη ὁ χρησμὸς ἐπυνθάνετο. Ὁ δὲ οὐκ εὐθὺς αὐτὸ τὸ ῥητὸν ψιλὸν εἶπεν· ἀπὸ γὰρ τῶν εὐφήμων ἄρξασθαι θέλει. Ὁ δὲ νοῦς· λέγω γὰρ πάντα ἂν εὐτυχεῖν τὴν πόλιν, εἰ καὶ τὰ δύσφημα τύχοι [e] ἂν κατ' ὀρθὸν ἐξελθόντα. Τουτέστιν, εἰ τὰ ἄγνωστα γνωσθείη, τὸ τίς ἐστιν ὁ φονεὺς Λαΐου. Οὐδὲν γὰρ χαλεπὸν ἔνι ἐν τῷ χρησμῷ, ἀλλ' ἀγνοεῖται μόνον τὸ ὑπ' αὐτοῦ ῥηθέν.

*Ibid.* Καὶ τὰ δύσφορ' εἰ τύχοι: Καὶ τὰ χαλεπὰ εἰ τύχοι κατ' ὀρθὸν προϊόντα, πάντα [f] εὐτυχεῖν ἡμᾶς λέγω.

89. Ἔστι δὲ ποῖον τοὔπος: Ὅτι ἀσαφῆ τὸν λόγον εἶπεν, [g] ἔτι

[a] Hanc gl. consulto, ni fallor, omisit editor Romanus, ne bis idem dicere videretur. Sic etiam gl. λείπει ἡ ἀπο ad v. 151. ἐφθείρατε et ξένην ad v. 166. aliasque multas, quas celato lectore nunc primum e MS. profero.

[b] MS. ἐν τῶι γὰρ ἀπὸ θεοῦ. Ed. Rom. ἐν γὰρ τῷ ἀπὸ θεοῦ. Eadem paullo ante πρὸς ἀπόλλωνα.

[c] Deest gl. in ed. Rom.

[d] V. 21. Οὐ γάρ με τυπτήσεις στέφανον ἔχοντά γε.

[e] Hoc ἂν delevit Brunckius.

[f] Ed. Rom. εὐτυχεῖν pro εἰ τυχεῖν. Grammatici, opinor, culpa abest ἄν. Vide ad v. 38.

[g] Sic ed. Rom. pro ὅτι.

ἀξιοῖ αὐτοῦ τοῦ ῥητοῦ ἀκοῦσαι. Μέχρι γὰρ νῦν οὔτε θαρσήσας, οὔτε ἔμφοβός εἰμι, τῶν ὑπὸ σοῦ ἀκούσας.

93. Ἐς πάντας αὔδα: Ἀξίως τοῦ βασιλικοῦ ἤθους δημοσίᾳ φράζειν κελεύει· [a] ἅμα μὲν ἐπεὶ μηδὲν ὑποπτεύει περὶ ἑαυτοῦ, καὶ οἴεται θεοφιλὴς εἶναι· ἅμα δὲ καὶ ὑπὲρ τοῦ ἐν μέσῳ ῥηθέντων ἀνυσθῆναι τὰ τῆς ἀναζητήσεως. Αὔξει δὲ ὁ ποιητὴς τὸ ὡς εὐνοϊκὸν ἦθος τοῦ Οἰδίποδος, ὅπως [b] αὔξοιτο τὰ τῆς τραγῳδίας, ὕστερον αἰτίου αὐτοῦ τῶν κακῶν ἀναφαινομένου.

*Ibid.* [c] Τῶνδε γὰρ πλέον φέρω τὸ πένθος: Περὶ τούτων πλέον ἀγωνίζομαι ἢ περὶ τῆς ἐμαυτοῦ ψυχῆς.

95. Λέγοιμ' ἂν οἷ' ἤκουσα: [d] Ὅτι πολλάκις ἐκπίπτουσι λοξοὶ χρησμοὶ, ἐμφανῶς εἶπεν, ἵνα μὴ γένηται ἀφορμὴ τοῦ παραπέμψασθαι τοὺς χρησμούς.

101. Χειμάζον] Ἀττικῶς, ἀντὶ τοῦ, αἵματος χειμάζοντος τὴν πόλιν. Λέγει δὲ [e] τὸ τοῦ Λαΐου.

106. Ἐπιστέλλει] Ἐντέλλεται, ὑποτίθεται.

107. Τοὺς φονέας καὶ [f] αὐτόχειρας τούτου τιμωρεῖσθαι.

109. Δυστέκμαρτον] Δυσκατέργαστον, δυσζήτητον, δυσεύρετον, δυσκατάληπτον.

110. Ἁλωτόν] Ὥστε καὶ εὐχερῶς μὴ εἰς πολλὰ πλανωμένους ἐξευρεῖν. Ἀπὸ κοινοῦ δὲ τὸ ἔφασκε. [g] Λέγει δὲ τὸ πρᾶγμα.

111. Ἐκφεύγει] Λανθάνει.

112. Πότερα δ' ἐν οἴκοις: Ὡς συνετὸς ὁ Οἰδίπους ζητεῖ τὰ καθ' ἕκαστα, εἶτα οὕτως ἐπὶ τὴν ἀναζήτησιν ἔξεισι, μεταπεμψάμενος τοὺς πολίτας, ἵνα καὶ ἀφορμὴ τῆς [h] εἰσόδου [i] γενήσεται.

[a] MS. ἅμα μὲν ἐπεὶ μηδὲν ὑποπτεύειν περὶ ἑαυτοῦ οἴεται, καὶ θεοφιλὴς εἶναι. Ed. Rom. ἅμα μὲν ἐπεὶ μηδὲν ὑποπτεύων περὶ ἑαυτοῦ, οἴεται καὶ θεοφιλὴς εἶναι. Hoc servari poterat, sed melius videtur quod dedi.

[b] Sequor ed. Rom. Bibliopegi culpa non exstant in MS. verba αὔξοιτο τὰ τῆς τραγῳδίας, ὕστερον αἰτίου.

[c] Hoc schol. et proxime superius inverso ordine habet MS. Verba ἀξίως τοῦ βασιλικοῦ ἤθους ex alterius initio in hujus finem non male transtulit Brunckius.

[d] Pertinet hoc schol. ad. v. 96. rectiusque lemma haberet Ἄνωγεν ἡμᾶς. Ita divisum legitur in ed. Rom. Λέγοιμ' ἂν οἷ' ἤκουσα. Ὅτι πολλάκις—χρησμοί. Ἐμφανῶς. Ἵνα μὴ γένηται—τοὺς χρησμοὺς οὕτως εἶπεν.

[e] Articulum τὸ de meo addidi. Ed. Rom. τὴν πόλιν τοῦ Λαΐου mediis omissis.

[f] Ed. Rom. omittit καὶ αὐτόχειρας, et mox δυσζήτητον.

[g] Brunckius: Λείπει δὲ τὸ, πρᾶγμα.

[h] Excidisse suspicor verba τοῦ χοροῦ. Ita mox ad v. 144. Πιθανὴ ἡ εἴσοδος τοῦ χοροῦ.

[i] Ed. Rom. γένηται. Sed altera

114. Θεωρός: Ὁ πρὸς τοὺς θεοὺς διὰ χρησμὸν ἀπερχόμενος.

116. Οὐδ' ἄγγελός τις: Οἷον, οὐδὲ ἀκόλουθος, παρ' οὗ τις ἂν μάθοι, καὶ χρήσαιτο πρὸς ζήτησιν.

118. Θνήσκουσι γὰρ πλὴν εἷς τις: Οἷον, πάντες οἱ ἀκολουθοῦντες αὐτῷ ἀνῃρέθησαν, δηλονότι ὑπεραγωνιζόμενοι τοῦ δεσπότου, πλὴν ἑνὸς, ὃς διὰ δειλίαν ἐκφυγὼν, οὐδὲν ἀκριβὲς εἶχεν εἰπεῖν, πλὴν ὅτι ὑπὸ λῃστῶν ἀνῃρέθη. Ἄκρως δὲ ὑπέγραψε τὸ ἦθος τῶν δειλῶν. Ἅμα μὲν γὰρ ἐπαίρουσι τὰ πεπραγμένα, ἵνα μὴ δόξωσι διὰ δειλίαν φυγεῖν· ἅμα δὲ καὶ ἐν παραφρονήσει ὄντες, τὰ βραχέα μείζω δοξάζουσι. Καλῶς δὲ ᾠκονόμηται, ἵνα τέως μὴ ἐλέγχοιτο τὸ κατὰ τὸν Οἰδίποδα.

122. Οὐ μιᾷ ῥώμῃ] Ἀντὶ τοῦ, οὐχ ἕνα μόνον, ἀλλὰ καὶ πολλούς.

124. Εἴτι μὴ ξὺν ἀργύρῳ: Ἀντὶ τοῦ, εἰ μὴ ἐπὶ κέρδει. Τείνει δὲ τοῦτο εἰς Κρέοντα, ὡς αὐτοῦ συνθεμένου τῷ τοῦ Λαΐου φονεῖ διὰ τὴν βασιλείαν. Ἐνθένδε οὖν, ἐκ τῆς πόλεως ταύτης.

126. Καὶ τότε (φησὶ) ταῦτα ὑπενοεῖτο, ὅτι ἐπιβεβούλευται.

130. Ἡ ποικιλῳδός: Ἠνάγκαζεν ἡμᾶς ἡ Σφὶγξ, μεθέντας τὰ ἀφανῆ τὰ κατὰ τὸν φόνον τοῦ βασιλέως (τοῦτο γὰρ ἀφανὲς), τὸ παρὰ ποσὶ κακὸν σκοπεῖν. Ἢ οὕτως· ἡ Σφὶγξ ἠνάγκαζεν ἡμᾶς, μεθέντας τὸ σκοπεῖν τὰ κατὰ τὸν φόνον, τὰ πρὸς ποσὶν ἀφανῆ ζητεῖν, τουτέστιν, τὰ ἀφανῆ αἰνίγματα.

132. Ἀλλ' ἐξ ὑπαρχῆς: [a] Αὖτις ζητεῖν τὰ παρακείμενα ἡμῖν. Οἷον, ἀναδραμοῦμαι ἐπὶ τὴν ἀρχὴν τοῦ πράγματος, καὶ εἰς φῶς ἄξω. Ἴσως δὲ λεληθότως καὶ τὸ ἕτερον ἔγκειται ἐν τῷ, ἐγὼ φανῶ, ὅπερ οὐ φησὶ [b] μὲν ὁ Οἰδίπους, μανθάνει δὲ ὁ ἀκροατής. Ἐπεὶ τὸ πᾶν ἐν αὐτῷ φανήσεται.

134. Τήνδ' ἔθεσθ' ἐπιστροφήν] [c] γρ. τήνδε θεσπίζει γραφήν.

135. Σύμμαχον: [λείπει] [d] Προσχωροῦντα.

136. Τιμωροῦντα] Προσβοηθοῦντα.

constructio apud hos scriptores minime infrequens est. Plura de ea ad Euripidis Bacch. 1381.

[a] Brunckius: Ἀλλ' ἐξ ὑπαρχῆς: Οἷον, αὖθις ζητῶν τὰ παρακείμενα ἡμῖν, ἀναδραμοῦμαι κ. τ. ἑ.

[b] Ed. Rom. μὲν pro με. Eadem μανθάνει τὲ, quod correxit Stephanus, cujus emendationem confirmat MS.

[c] Haec varietas ad verba τήνδε μηνύει τύχην v. 102. pertinere videtur. Brunckius: Τήνδ' ἔθεσθ' ἐπιστροφήν: Τήνδε ἐποιήσατε φροντίδα. Γράφεται καὶ τήνδε θεσπίζει-γραφήν.

[d] Deest gl. in ed. Rom.

137. Ὑπὲρ γὰρ οὐχὶ τῶν ἀπωτέρω φίλων: Οὐ μόνον ὑπὲρ τοῦ ἀνῃρημένου βασιλέως ἄξιον ποιήσασθαι τὴν ἀναζήτησιν, ἀλλὰ καὶ ὑπὲρ αὐτοῦ ἐμοῦ. Ὁ γὰρ ἐκείνῳ ἐπιχειρήσας, ἴσως κἀμοὶ ἐπιβουλεύσει. Πεπλαγίασται δὲ πάλιν ὁ λόγος, καὶ τὴν ἀλήθειαν αἰνίττεται τῷ θεάτρῳ, ὅτι αὐτὸς δράσας τὸν φόνον ὁ Οἰδίπους, καὶ ἑαυτὸν τιμωρήσεται.

141. Καὶ τοῦτο κινητικὸν τοῦ θεάτρου. Τὰ γὰρ ἐναντία [a] ἀποβήσεται.

143. Ἵστασθε] Ἀνίστασθε.

*Ibid.* Ἱκτῆρας] Τοὺς ἱκετευτικούς.

144. Πιθανὴ ἡ εἴσοδος τοῦ χοροῦ. Σκέπτεσθαι γὰρ φησὶ δεῖν μετὰ τοῦ δήμου περὶ τῶν πρακτέων.

147. Ὦ παῖδες, ἱστώμεθα: Ἔξεισιν ὁ ἱερεὺς πράξας διόπερ ἦλθεν, ἅμα δὲ καὶ ὑπὲρ τοῦ χώραν εἶναι ἑτέρῳ ὑποκριτῇ.

*Ibid.* Ἱστώμεσθα] [b] ἀνιστώμεθα.

148. Ἐξαγγέλλεται] Ἐξαγγέλλει. Ἡ δὲ χρῆσις Ἀττική.

151. Ὦ Διὸς ἁδυεπὲς φάτι: Κατὰ τὴν πρόσταξιν τοῦ βασιλέως πάρεισι πρεσβύται τινὲς, ἐξ ὧν ὁ χορὸς συμπληροῦται. Διὸς δὲ ἡδυεπῆ φάτιν, τὴν μαντείαν φησίν. Ὁ γὰρ Ἀπόλλων ὑποφήτης δοκεῖ εἶναι τοῦ πατρὸς, καὶ παρ' ἐκείνου λαμβάνειν τὰς μαντείας, καὶ τοῖς ἀνθρώποις ἐκφέρειν. Καὶ [c] Ὅμηρος·

Διὸς ἄγγελος ὄσσα δεδήει.

*Ibid.* Τίς ποτε τᾶς πολυχρύσου: [d] Ἥτις ποτέ ἐστιν. Ὅτι μὲν γὰρ πάρεστι λόγιον ἀπὸ τῆς Πυθῶνος, ἀκηκόασιν· τὸ δὲ ῥητὸν αὐτὸ ζητοῦσιν. [e] Λείπει δὲ ἡ ἀπο, ἵν' ᾖ, ἀπὸ τῆς Πυθῶνος.

*Ibid.* Τᾶς πολυχρύσου Πυθῶνος] Λείπει ἡ ἀπο.

153. Ἐκτέταμαι φοβερὰν φρένα: Ἐκπέπληγμαι. Φοβερὰν δὲ, τὴν περίφοβον. Καὶ Ἀλκαῖος·

[f] Ἐλάφω δὲ βρόμος ἐν στήθεσι φύει φοβερός.

Ἀντὶ τοῦ περίφοβος.

[a] Sic ed. Rom. pro προβήσεται.

[b] Deest gl. in ed. Rom.

[c] Il. B. 93.

[d] MS. εἵτις ποτέ ἐστιν. Τίς pro ἥ accipiendum censet grammaticus eodem errore quo verba τίς τὸν πλανήτην Οἰδίπουν Oed. C. 4. interpretatur.

[e] Brunckio duce transposui verba λείπει—Πυθῶνος, quae in MS. superiori scholio addita sunt. MS. etiam ἀπὸ τοῦ πυθῶνος, sed altero loco recte τῆς, quod utrobique habet ed. Rom.

[f] Apud Fulv. Ursinum p. 105. Ed. Rom. ἐλάφῳ. Sed MS. ἐλάφω, quod pro genitivo accipi potest. Pro βρόμος legendum τρόμος, pro

153. Δείματι πάλλων] Ἀντὶ τοῦ, παλλόμενος φόβῳ, ἀγωνιῶν.

*Ibid.* Πάλλων] γρ. πολλῷ.

154. Ἰήϊε Δάλιε παιάν] [a] Ἐν τῷ μεταξὺ τοῦτο.

155. Ἀμφὶ σοὶ ἁζόμενος] [b] Τοῦτο τοῖς πρὸ αὐτοῦ συναπτέον. Ἀγωνιῶν τὴν φρένα ἐπὶ τοῖς ἀπὸ σοῦ χρησμοῖς. Σεβόμενος τὰ ἀπὸ σοῦ εἰρημένα.

*Ibid.* Ἢ νέον] [c] Ἢ νεωστί.

156. Ἢ περιτελλομέναις ὥραις: Εἰς τὸν ἑξῆς χρόνον προϊούσης τῆς ὥρας. Ὁ δὲ νοῦς· τί μοι ἢ νῦν ἢ μετὰ χρόνον ἀνύσεις;

157. Ἐξανύσεις] [d] Ἐκπράξεις.

158. Ἐλπίδος ἄμβροτε φάμα: Καλῶς, παρ' ὅσον [e] ἐν ἐλπίδι τινὶ γενόμενοι οἱ ἄνθρωποι, οὕτω φημίζουσι πρὸς τὸ λόγιον. [Ἢ] παρ' ὅσον ὑπὸ ἐλπίδος [f] τε καὶ χρησμοὺς αἰτοῦσιν ἀπὸ θεῶν.

159. Μεταβαίνει λοιπὸν εἰς τὸ ἐπικαλεῖσθαι τινὰς τῶν θεῶν.

*Ibid.* Πρώταν σε] γρ. πρώταν γε.

160. Γαιάοχόν τ' ἀδελφεάν: Ἐπειδὴ ἡ αὐτή ἐστι τῇ Ἑκάτῃ. Ἡ δὲ θεὸς αὕτη ἐν ταῖς ἀγοραῖς [g] εἱλεῖται. Γαιάοχον δὲ, ἀντὶ τοῦ πολιοῦχον. Ὥστε τὴν γῆν ἀντὶ τῆς πόλεως εἴληφεν.

161. Εὔκλεα] Εὔκλεια Ἄρτεμις, οὕτω παρὰ Βοιωτοῖς τιμᾶται.

162. Καὶ Φοῖβον ἑκαβόλον: Τάχα μὲν διὰ τὸ ἐπὶ λοιμῷ τὴν εὐχὴν γενέσθαι, ὧν αἴτιος εἶναι δοκεῖ· τάχα δὲ διὰ τὴν μαντείαν.

164. Εἴποτε καὶ προτέρας: Τὸ ἠνύσατε ἀντὶ τοῦ ἐφθείρατε. Καὶ Ὅμηρος·

> [h] Ἦ θήν σ' ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας.

Ἐκτοπίαν δὲ, ἀντὶ τοῦ, ξένην καὶ ἀλλόκοτον. Ἢ ἠνύσατε αὐτὴν ἐκτοπίαν γενέσθαι, ὅ ἐστιν, ἐκτὸς καὶ ἀπὸ τῶν τόπων τῆς πόλεως.

*Ibid.* Ἄτας] Τῆς ἀπὸ τῆς Σφιγγός.

φύει vero φύεται vel ἔφυ suspicatur Blomfieldius Mus. Crit. Cant. T. I. p. 437.

[a] Absunt haec ab ed. Rom.

[b] Hoc scholion in MS. lemma habet Δείματι πάλλων, et in ed. Rom. ad ea verba relatum est. Manifesto spectat ad ἁζόμενος.

[c] Hac gl. caret ed. Rom.

[d] Et hac.

[e] Praepositionem addidit editor Rom. Habet eam et Suidas v. Φήμη.

[f] Particulam τε omittit ed. Rom. Mihi potius addendum videtur δείματος ante χρησμούς. Brunckius integrum schol. ita refinxit: Τέκνον ἐλπίδος, ἄμβροτε φάμα: Οὕτω φημίζουσι πρὸς τὸ λόγιον. Καλῶς, παρ' ὅσον ἐν ἐλπίδι τινὶ γενόμενοι οἱ ἄνθρωποι χρησμοὺς αἰτοῦσιν ἀπὸ θεῶν.

[g] Ed. Rom. εἱλεῖται. Ἢ ἀντὶ τοῦ, τὴν πολιοῦχον. Rectius fecisset editor, si pro lemmate Γαιάοχόν τ' ἀδελφεὰν posuisset Ἃ κυκλόεντ' ἀγορᾶς θρόνον.

[h] Il. Λ. 365.

166. Ἠνύσατε] Ἐφθείρατε.

*Ibid.* Ἐκτοπίαν] Ξένην.

*Ibid.* Φλόγα πήματος] Περιφραστικῶς τὴν πημονὴν τὴν διάπυρον.

169. Πρόπας στόλος] Ἡ πᾶσα δύναμις, ὁ πᾶς [a] λαός.

170. Οὐδ' ἔνι φροντίδος ἔγχος: Ἀλληγορικῶς ἡ βοήθεια, παρὰ τὸ ἔχεσθαι. Οἷον, οὐκ ἔνεστι τῷ νῷ τῆς φροντίδος ἔγχος. [b]Τοῦτο δὲ, οἷον τὸ διὰ τῆς βουλῆς καὶ προμηθείας γινόμενον ἀλέξημα καὶ ἀμυντήριον.

172. Ἔκγονα χθονός: Ἢ τὰ δένδρα ἢ τοὺς παῖδας φησίν.

173. Οὔτε τόκοισιν] Αἵ τε γυναῖκες τῶν καμάτων ἐν τοῖς τόκοις οὐκ ἀνέχουσιν, τουτέστιν, οὐ περιγίνονται τῶν πόνων. Τὸ δὲ ἀνέχουσιν, ἤτοι ἐλευθεροῦνται, [c] καὶ ἄνω ἑαυτὰς ἔχουσιν, ἐκ μεταφορᾶς τῶν ἄνω νευόντων μόγις ἐν τῷ νήχεσθαι. Ἰηΐων δὲ, ἤτοι τῶν μετ' εὐχῆς γινομένων· ἢ τῶν λοιμικῶν (ἰήϊος γὰρ ὁ Ἀπόλλων, εἰς ὃν ἡ ἀγνεία τῶν λοιμῶν ἀναφέρεται)· ἢ ὅτι ἐπίφθεγμα κοινόν ἐστι καὶ Ἀρτέμιδος, αἱ δὲ γυναῖκες ἐν ταῖς ἀνάγκαις τὰς τοιαύτας ἀφιᾶσι φωνάς. Οἱ δὲ ἀκούουσι, τῶν θρηνητικῶν.

175. Ἄλλον δ' ἂν ἄλλῳ: Ἄλλον ἐπ' ἄλλῳ [d] ἴδοις ἀποθνήσκοντα, ὡς ὄρνιθες ἐν τῇ πτήσει ἄλλος ἐπ' ἄλλῳ πέτεται. Τὸ δὲ κρεῖσσον ἀμαιμακέτου πυρὸς, ἢ οἷον ὀξυτέρους πυρὸς εἰς τὸ σπεύδειν [e] εἰς Αἵδου· ἢ οὕτως· κρεῖσσον πυρὸς, ὡς μὴ καταλαμβάνειν τὸ πῦρ τὸ τῶν ἀποθνησκόντων πλῆθος, καὶ καίειν. Καὶ γὰρ ὑπερβολὴ καὶ ἐπίτασις τοῦ πάθους.

178. Ἑσπέρου θεοῦ: Τοῦ Αἵδου φησί.

180. Νηλέα δ' ἁ γενέθλα: Νηλέα τὰ μὴ τυχόντα [f] ἐλέους. Τὸ αὐτὸ δέ ἐστι [g] τῷ ἀνοίκτως. Οὐκ ἠλέουν δὲ ἀλλήλους, ἴσως ὑπὸ τῆς συνηθείας τοῦ κακοῦ, ἢ ὑπὸ φόβου καὶ προσδοκίας τῶν ὁμοίων.

[a] Brunckius ὁ πᾶς λεώς. Neutrum habet MS. in quo στόλος supra scriptum habet λαὸς a recentiore manu.

[b] Brunckius: Τουτέστι, τὸ διὰ τῆς βουλῆς.

[c] MS. καὶ ἄνω ἑαυτὰς ἄγουσιν. Ed. Rom. καὶ ἄνω ἑαυτὰς ἔχουσιν, ἢ ἄγουσιν. Cum verba ἤτοι ἐλευθεροῦνται antapodosin non habeant in vulgata scriptura, vide an legendum ἢ ἄνω ἑαυτὰς ἔχουσιν.

[d] Hic etiam ἂν inseruit Brunckius. Vide ad v. 38.

[e] Ed. Rom. εἰς ᾅδην, ἢ κρεῖσσον πυρὸς, omisso οὕτως.

[f] Magis Attice πολὺν ἔλεον ad v. 236.

[g] MS. τὸ ἀνοίκτως. Ed. Rom. τῷ ἀνοίκτους. Brunckius τῷ ἀνοίκτως.

184. Ἀκτὰν παραβώμιον: Ἀντὶ τοῦ παραχώριον, ὅπου οἱ βωμοὶ [a] τῶν ναῶν εἰσιν. [b] Ἐκ τούτου δῆλον ὅτι καὶ τέλειοι ἀπέθνησκον.

186. Ἱκτῆρες] [c] ἱκέτιδες.

187. Παιὼν δὲ λάμπει: Ἀντὶ τοῦ, ἀκμάζει, λαμπρῶς τῇ φωνῇ [d] λέγεται πρὸς ἀποτροπὴν τῶν [e] κακῶν. Ὅμαυλος δὲ, ἀντὶ τοῦ ὁμόθρους, ὁμόφωνος. Τοῦτο δὲ ὅμοιόν ἐστι [τῷ],

ὁμοῦ δὲ παιάνων τε καὶ [f] στεναγμάτων.

188. Ὧν ὕπερ, ὦ χρυσέα θύγατερ: Πρὸς τὴν φημὴν πάλιν φησὶ τῆς μαντείας. Ἐλπίζουσι γὰρ ἐπί τινι ἀγαθῷ τὸ μάντευμα ἀποβῆναι. Χρυσέα δὲ, [g] ὅ ἐστι τιμία. Φασὶ γὰρ οὕτω τιμᾶσθαι χρυσῆν.

190. Ἀρεά τε τὸν μαλερόν: Ἀντὶ τοῦ, τὸν καταμαραίνοντα. Τάττει δὲ τοῦτο ἐπὶ τοῦ λοιμοῦ, [h] τοῦ δίκην ἀναιροῦντος πολέμου. Ἀπὸ κοινοῦ δὲ τὸ πέμψον.

191. Ὅς νῦν ἄχαλκος ἀσπίδων: Οὐ χρώμενος ὅπλοις φλέγει ἡμᾶς. Περιβόητος δὲ, περὶ ὃν ἕκαστος [i] βοᾷ, μετὰ βοῆς καὶ οἰμωγῆς ἐπιών. Ὡς ἐπὶ πολέμου πάλιν.

194. Πάτρας ἔπουρον: Ἤτοι ἐπ' οὖρον, ὅ ἐστιν, εἰς ἄνεμον· Ὅμηρος·

[k] Εἰς ὄρος ἢ εἰς κῦμα.

Ἢ [l] ἄπουρον, ἀπὸ τῶν ὅρων τῆς πόλεως. Νωτίσαι δὲ, ἀπελάσαι, ἀπὸ μεταφορᾶς τῶν τὰ νῶτα διδόντων ἐν ταῖς φυγαῖς. Ἢ οὕτω· πέμψον ἀλκὴν, ὥστε παλινόρμητον αὐτὸν γενέσθαι, τὰ νῶτα δόντα τῇ πόλει.

*Ibid.* Εἴτ' ἐς μέγαν] [m] Ἢ κατὰ τοῦ βυθοῦ· τοῦτο γάρ ἐστι θάλαμος Ἀμφιτρίτης· ἤγουν ἔνθα αἱ συμπληγάδες πέτραι εἰσίν.

196. Εἴτ' ἐς τὸν ἀπόξενον: Ἴσως τὸν [n] Ἁλμυδησσὸν φησὶ, περὶ

[a] Brunckius τῶν νεῶν. Malim τῶν θεῶν.

[b] Verba ἐκ τούτου δῆλον ὅτι καὶ τέλειοι ἀπέθνησκον cum lemmate Ἐν δ' ἄλοχοι ad v. 183. retulit Brunckius.

[c] Hac gl. caret ed. Rom.

[d] Ed. Rom. ἀντὶ τοῦ ἀκμάζει λαμπρῶς τῇ φωνῇ cum plena distinctione. Deinde Brunckius Παιὰν δὲ λέγεται.

[e] Hic desinit scholion in MS. Quae huc revocavi verba, is sequenti scholio addita habet, et ab eo separanda vidit Brunckius.

[f] V. 5.

[g] Ed. Rom. χρύσεα δὲ, τῖμία.

[h] Sic ed. Rom. pro τὸν δίκην ἀναιροῦντα πολέμου. Brunckius: Τοῦ δίκην πολέμου ἀναιροῦντος.

[i] Brunckius ἢ inseruit post βοᾷ.

[k] Il. Z. 347. Erfurdtius εἰς ὄρος diserte ex ed. Rom. Recte MS. εἰς ὄρος.

[l] Ita Stephanus pro ἄπορον.

[m] Hoc ἢ omittit ed. Rom. Verba ἢ κατὰ τοῦ βυθοῦ antapodosin habent ἤγουν ἔνθα αἱ συμπληγάδες πέτραι εἰσὶν, quae male meo judicio in sequens schol. transtulit Brunckius.

[n] MS. αλμυδησσ' sine spiritu. Ed. Rom. ἀλμυδησσόν.

ὃν ἱστορεῖται πολλὰ ναυάγια γίνεσθαι. Ὥστε μὴ μόνον ἐξ ἁπάσης γῆς ἐξεληλάσθαι, ἀλλὰ μηδὲ ἐν κοινῇ θαλάττῃ εἶναι.

*Ibid.* Ἀπόξενον] Δυσχείμερον.

198. Τέλει γὰρ εἴτι νὺξ ἀφῇ: Ἀντὶ τοῦ, εἴτι ἡ νὺξ ἀγαθὸν καταλείπεται, τοῦτο ἐν ἡμέρᾳ ἀναιρεῖται. Βούλεται δὲ λέγειν, ὅτι τὰ κακὰ ἀδιάλειπτον ἔχει. Εἰ γάρ τι ἡ νὺξ ἀφῇ ἐπὶ τῷ ἑαυτῆς τέλει ἀβλαβὲς, μὴ φθάσασα αὐτὸ ἀπολέσαι, τοῦτο μεθ' ἡμέραν ἀνήρπασται.

200. Τόν: Ἀντὶ τοῦ ὅν. Τὸν μαραντικὸν Ἄρεα κεραύνωσον, ὦ Ζεῦ.

203. Λύκει' ἄναξ: Βουλοίμην δὲ καὶ τὰ σὰ βέλη, ὦ Ἄπολλον, τὰ ἀδάμαστα καταμερίζεσθαι εἰς αὐτὸν, καὶ τὰς λαμπάδας [a] Ἀρτέμιδος.

205. Ἐνδατεῖσθαι] Ἐν μερισμῷ δίδοσθαι καὶ διατρίβειν. Μετῆκται δὲ ἀπὸ τῶν διανεμομένων.

209. Τὸν χρυσομίτραν: Τὸν Θηβαῖον Διόνυσον, τὸν ταῖς Βάκχαις συνοικοῦντα.

212. Μονόστολον] γρ. ὁμόστολον.

215. Ἐπὶ τὸν ἀπότιμον: Ἀπότιμον θεὸν λέγει τὸν λοιμὸν, τὸν μὴ μετέχοντα τῆς τιμῆς τῶν θεῶν. Θεῶν γάρ ἐστι τὸ εὐεργετεῖν τοὺς [b] ἀνθρώπους.

216. Αἰτεῖς. [c] Ὧν δὲ αἰτεῖς, ἀλκὴν λάβοις κἀνακούφισιν τῶν κακῶν, ἐὰν θέλῃς τὰ ἐμὰ ἔπη δέχεσθαι, ἃ δὴ ἔπη ἐξερῶ, ξένος ὢν καὶ τοῦ πράγματος καὶ τοῦ λόγου, οἷον, οὐκ ἀκηκοὼς πρότερον περὶ τοῦ φόνου τοῦ Λαΐου, οὐδὲ μὴν καθ' ὃν χρόνον ἐπράχθη ὁ φόνος παρών.

*Ibid.* Ἃ δ' αἰτεῖς] Ὧν δ' αἰτεῖς.

217. Ὑπηρετεῖν] Ἐπαρκεῖν καὶ συμπράττειν.

219. Τοῦ λόγου] Τοῦ λεχθέντος ὑπὸ Ἀπόλλωνος.

220. Τοῦ πραχθέντος] Τοῦ φόνου.

*Ibid.* Οὐ γὰρ ἂν μακρὰν ἴχνευον: Οὐ γὰρ ἂν (φησὶ) τοσούτου ὄντος [d] τοῦ χρόνου τοῦ μεταξὺ, ἀνεζήτουν τὸ πρᾶγμα, εἰ μὴ ᾔδειν

[a] Brunckius: Καὶ τὰς λαμπάδας Ἀρτέμιδος ἐνδατεῖσθαι, ἐν μερισμῷ δίδοσθαι, κ. τ. ἑ.

[b] Addit Suidas ὁ δὲ φθείρει καὶ ἀπόλλυσιν v. Ἀπότιμος.

[c] Ed. Rom. Αἰτεῖς. Ὧν δ' αἰτεῖς ἀλκὴν λάβοις, ἂν κἀνακούφισιν κακῶν. Hactenus literis majusculis, quibus lemmata exhibere solet. Sed haec verba sunt grammatici interpretatio. Idcirco malim καὶ ἀνακούφισιν divisim.

[d] Brunckius τοῦ χρόνου imprudens (ni fallor) omisit.

καταληψόμενος. Ἐλπίδα δὲ αὐτοῖς ὑποβάλλει, ὅτι δύναται ἀνευρεῖν τὸν φονέα, ἵνα προθυμότερον συλλάβωνται αὐτῷ.

221. Σύμβολον: Τῆς γνώσεως.

222. Νῦν δ' ὕστερος γάρ: Μεταφέρει ἀπὸ τῶν ἐν ταῖς πόλεσι ξένων τελούντων τῇ μετοικίᾳ. Ἀντὶ τοῦ, πεπολιτογράφημαι, καὶ ἄρτι [a] ἀστὸς ἐνομίσθην ξένος ὢν, καὶ ἐβασίλευσα. Ἄλλως. Νῦν δὲ εἰς ἀστοὺς τελῶ. Δοκῶν γὰρ εἶναι ξένος, τῆς βασιλείας τετύχηκα. Ἐπεὶ οὖν (φησὶ) συντελῶ εἰς τὴν πολιτείαν, καὶ μέλει μοι τῶν κοινῶν, ταῦτα ὑμῖν προφωνῶ. Μετῆκται δὲ ἀπὸ τῶν συντελούντων ἐν ταῖς πόλεσιν, καὶ τὴν ἰδίαν δύναμιν εἰς τὸ κοινὸν φερόντων.

226. Πάντα] Πάντα τὰ πραχθέντα.

227. Κεἰ μὲν φοβεῖται: Καὶ εἰ μὲν αὐτὸς εἴη [b] πράξας, καὶ φοβεῖται λέγειν αὐτὸς καθ' αὑτοῦ, τὸν φόβον ὑπεξελὼν λεγέτω. Οὐδὲν γὰρ δεινὸν πείσεται, εἰ μὴ ὅτι τῆσδε τῆς γῆς ἀπαλλάξεται. Εἰ δὲ ξένον τις οἶδεν τὸν φονέα, μηνυσάτω. Καὶ εὐθὺς μὲν παρέξω κέρδος, καὶ εἰς ἀεὶ χάριν ἕξω. Πανταχόθεν οὖν προτρέπεται τοὺς μηνύοντας.

236. Τὸν ἄνδρ' ἀπαυδῶ: Πολὺν ἔλεον ἐργάζεται ὁ λόγος, ὅτι κατηγορεῖ ἑαυτοῦ ἀγνοῶν. Πρότερον δὲ τὰ φιλάνθρωπα εἰρηκὼς, τελευταῖα ἐπήνεγκε τὰ σκληρότερα. Ἃ 'κ τῶνδε δὲ, οἷον, ἀπ' αὐτῶν ἀναγκασθεὶς τῶν πραγμάτων.

244. Δαίμονι] Τῷ ταῦτα μαντευσαμένῳ Ἀπόλλωνι.

246. Κατεύχομαι] Καταρῶμαι [c] δὲ τὸν φονέα.

248. Ἄμοιρον] Ἤτοι κακόμοιρον, ἢ μηδενὸς τῶν νενομισμένων μετειληφότα, ἀλλ' ἄταφον ἐκβληθῆναι.

249. Ἀγνοῶν ἐπαρᾶται ἑαυτῷ, εἰ σύνοιδε [d] τὸν φονέα. Διὸ καὶ περιπαθέστερος γίνεται ὁ λόγος.

253. Τοῦ θεοῦ] Τοῦ Ἀπόλλωνος.

255. Οὐδ' εἰ γὰρ ἦν τὸ πρᾶγμα: Καὶ γὰρ εἰ μὴ ἦν ὅλως τὸ ἄγος ὑπὸ θεῶν ἐλαυνόμενον, καὶ οἱονεὶ πολυπραγμονούμενον, ὑμᾶς ἔδει

[a] MS. αὐτὸς. Contrario errore in textu vulgo legitur: Νῦν δ' ὕστερος γὰρ ἀστὸς εἰς ἀστοὺς τελῶ, | ὑμῖν προφωνῶ πᾶσι Καδμείοις τάδε. Plura vide ad Euripidis Suppl. 355. Diarii Classici T. VIII. p. 433.

[b] Malim ὁ πράξας.

[c] In ed. Rom. deest δὲ. Brunckius: Καταρῶμαι τὸν φονέα ἄμοιρον, ἤτοι κακόμοιρον, κ. τ. ἑ. Nescio an recte.

[d] MS. τὸν φονέα δίς. Καὶ περιπαθέστερος. Mutavit Brunckius.

κινουμένους οἴκοθεν καὶ μὴ ἀναμείναντας, τὴν ἐκ θεῶν πρᾶξιν ἀναζητεῖν.

256. Ἀκάθαρτον] [a] Οἷον, χωρὶς τῆς βοηθείας.

261. Κοινά: Ἀδελφὰ τοῖς ἐξ ἡμῶν. Οἷον, καὶ ἡμῖν ἂν ἐγένετο, εἰ ἦν τέκνα τῷ Λαΐῳ γενόμενα.

262. Μὴ 'δυστύχησεν] Ὥστε μὴ παιδοποιήσασθαι.

263. Τὸ 'κείνου κρᾶτα: [b] Τὴν ἐκείνου κεφαλήν.

264. Αἱ τοιαῦται ἔννοιαι οὐκ ἔχονται μὲν τοῦ σεμνοῦ, κινητικαὶ δέ εἰσι τοῦ θεάτρου. Αἷς καὶ πλεονάζει Εὐριπίδης. Ὁ δὲ Σοφοκλῆς πρὸς βραχὺ μὲν αὐτῶν ἅπτεται, πρὸς τὸ κινῆσαι τὸ θέατρον.

269. Τοῖς μὴ δρῶσιν] Τοῖς μὴ δεικνύουσί μοι τὸν φονέα.

270. Ἀνιέναι: τουτέστι καρπόν.

276. Οὕτως ἐρῶ καὶ αὐτὸς ἐπομνύμενος, καὶ [c] κατὰ τὰς αὐτὰς ἀρὰς ἐπαρώμενος, μήτε δρᾶσαι τὸν φόνον, μήτε τοὺς δράσαντας ἐπίστασθαι.

278. Τὸ δὲ ζήτημα τοῦ πέμψαντος ἦν: Ἀπορῶν ὁ χορὸς, ἐπὶ τὸ θεῖον πάλιν ἀνατρέχει.

280. Δίκαι' ἔλεξας: Τοῦτο φησὶν, ἵνα μὴ πάλιν πέμψωσιν [d] εἰς θεὸν, καὶ γένηται διατριβὴ ἐν τῷ δράματι· ὅπερ ὑποψυχρόν.

284. Ἄνακτ' ἄνακτι: Ἀποκλειομένου τοῦ [e] πέμψαι εἰς θεὸν, καταφεύγουσιν εἰς τὴν ὁμοίαν [f] μαντικήν. Τῷ αὐτῷ δὲ ὀνόματι προσαγορεύει τὸν Τειρεσίαν, ᾧ καὶ τὸν θεὸν, καὶ τὰ αὐτὰ ὁρᾶν ἐκείνῳ φησίν.

287. Ἀλλ' οὐκ [g] ἐν ἀργοῖς: Κἀνταῦθα τὸ κηδεμονικὸν τοῦ ἤθους διετήρησεν. Τὸ μὲν οὖν διπλοῦς πομποὺς, τῆς σπουδῆς ἐστι τεκμήριον· τὸ δὲ Κρέοντος εἰπόντος, πιθανὸν εἰς τὰ ἑξῆς, ἵνα ἡ ὑπόνοια αὐτοῦ πίστιν ἔχοι, τὸ πεπεισμένον ὑπὸ τοῦ Κρέοντος τὸν Τειρεσίαν μαντεύεσθαι κατὰ τοῦ Οἰδίποδος τὰ ψευδῆ.

290. Κωφά] Ψυχρὰ, καὶ οὐδὲν σαφὲς ἔχοντα. Τὰ ψιθυριζόμενα.

[a] Ed. Rom. οἷον χωρὶς θείας βοηθείας cum lemmate Μὴ θεήλατον.

[b] Sic ed. Rom. Pro hoc scholio MS. habet glossam a recentiore manu: τὸ κρᾶτα, τὴν κεφαλήν.

[c] Ed. Rom. κατὰ τὰς ἀρὰς omisso αὐτάς. Brunckius κατὰ τὰς σὰς ἀράς.

[d] MS. εἰς θεοῦ.

[e] MS. πέμψειν.

[f] Sensus postulare videtur εἰς τὴν ἀνθρωπίνην μαντείαν, aut aliquid ejusmodi.

[g] MS. ἐναργῶς, scripturam scilicet quam in textu habet a prima manu.

296. Ὁ μὴ τὸ ἔργον δεδοικὼς, οὐδὲ τὸν [a] λόγον φοβεῖται. Ἢ οὐδὲ ὁ λόγος φόβον αὐτῷ ἐντίθεται.

297. Καὶ ταῦτα εἰς σύστασιν τῶν προσώπων, ἵνα μηδὲ ὕστερον δυνηθείη ἀρνήσασθαι.

300. Ὦ πάντα νωμῶν: Ἀντὶ τοῦ κρίνων ἕκαστα καὶ ἐξετάζων. Ἐπαινεῖ δὲ τὸν μάντιν, πάντων αὐτῷ περιτιθεὶς ἐμπειρίαν, θείων τε καὶ ἀνθρωπίνων, τοὺς ἐκείνου λόγους οὐκ ἀναμένων, ὅπερ δηλωτικόν ἐστι τῆς σπουδῆς [b].

301. Χθονοστιβῆ] Τὰ ἐν τῇ γῇ, τὰ ἐπίγεια.

312. Ὅρα τὸ τοῦ κηδεμόνος, ὅτι τελευταῖον ἑαυτὸν ἔταξεν, ὅπως ἀφέλοιτο τὸ φορτικὸν τῆς ἐξουσίας.

314. Ἄνδρα δ' ὠφελεῖν ἀφ' [ὧν]: Παιδευτικὸς ὁ λόγος. Ἔδει ἅπαντας ἀφ' ὧν δύναιντο ὠφελεῖν τοὺς πέλας [c].

316. Ὡς δεινὸν (φησὶ) τὸ φρονεῖν, ὅταν τὸ φρονούμενον τῷ φρονοῦντι μὴ λυσιτελῇ. Σχετλιάζει δὲ μὴ βουλόμενος εἰς φῶς ἄγειν τὰ τοῦ [d] Οἰδίπου. Διαλελυμένως δὲ εἶπεν, τέλη λύῃ, ἀντὶ τοῦ [e] λυσιτελεῖν.

317. Ταῦτα] Τὰ συμβησόμενά μοι, ὅτι ἀναγκασθήσομαι λέγειν ἃ μὴ βούλομαι, τὸ ἐξελέγχειν [f] Οἰδίποδα, ταῦτα εἰδὼς διώλεσα αὐτά. Οὐ γὰρ ἂν δεῦρο ἠρχόμην.

319. Ἄθυμος] [g] Λελυπημένος.

321. Ἢν ἐμοὶ πύθῃ] Ἐάν με ἀπελθεῖν ἐάσῃς.

323. Ἀποστερῶν] Μὴ λέγων τὸν χρησμόν.

324. Ὁρῶ γὰρ οὐδὲ σοὶ τὸ σὸν φώνημα: Οὐ γὰρ σύμφορός σοι οὐδὲ κατὰ καιρὸν ἡ ζήτησις γίνεται. Ἵνα οὖν μὴ ἐκ τούτου μέμψις ἀκολουθήσῃ, σιωπῶ. Τὸ μὲν κατὰ λόγον, ἐλλιπές ἐστι, τὸ δὲ κατὰ διάνοιαν, πλῆρες. Ὃ δὲ βούλεται λέγειν, ὁρῶ τὸ σὸν φώνημα μὴ πρὸς καιρὸν ἐξιόν. Κἀγὼ οὖν φωνὴν μὴ πρὸς καιρὸν ἀφιέναι φυλάσσομαι.

*Ibid.* Ἰόν] Ἐρχόμενον.

[a] λόγον] Hic desinit schol. in MS. nec plura habuisse videtur Suidas v. Τάρβη. Sequentia addidit ed. Rom.

[b] Hoc scholion in ed. Rom. omissum est.

[c] Et suo loco et alieno hoc schol. habet MS.

[d] Ed. Rom. οἰδίποδος. Quae forma praestat in prosa oratione. Sequor tamen MS. licet ille parum sibi constans sit.

[e] Ed. Rom. λυσιτελῇ.

[f] Ed. Rom. τὸν οἰδίποδα. In articulis ante nomina propria addendis aut omittendis scripturam MS. saepissime deseruit editor. Ego eam revocavi, idque celato plerumque lectore.

[g] Gl. abest ab ed. Rom. Sic etiam ἐρχόμενον ad v. 324.

326. Μὴ πρὸς θεῶν, φρονῶν: [a] Ὑποβαλόντος τοῦ Τειρεσίου ἀρχὴν ὅτι ἐπίσταται, ὁ χορὸς καταλιπαρεῖ εἰπεῖν. Εἶτα ἀρνουμένου, ἐξάγεται εἰς λοιδορίαν πρὸς αὐτὸν ὁ Οἰδίπους. Ὅθεν παροξυνθεὶς λέγει. Ἔχει οὖν τὰ τῆς [b] διαθέσεως ἄριστα.

328. Ἐγὼ δ' οὐ μήποτε, τἄμ' ὡς ἂν εἴπω: Οὐκ ἐμφανῶ τὰ ἐμὰ ἔπη, ἵνα μὴ τὰ σὰ εἴπω κακά. Ἤδη δὲ τρανότερον φησὶν, ὅτι τὰ αὐτοῦ κακὰ ἀποκρύπτεται.

332. Ἐγώ τ' ἐμαυτὸν οὔτε σ' [c] ἀλγύνω: ἑαυτὸν ἀλγύνειν ἔφη, ἴσως ἐπιστάμενος ὅτι [d] κακῶς ἀκούσεται ὑπ' αὐτοῦ ἀπιστούμενος· τάχα δὲ καὶ βουλόμενος ἀποκρύπτειν, συμπεριέλαβεν ἑαυτὸν, ὡς καὶ ἔμπροσθεν,

τἄμ' ὡς ἂν εἴπω μὴ τὰ σ' ἐκφήνω κακά.

334. Οὐκ ὦ κακῶν κάκιστε: Ἐν ὑπερβατῷ ὁ λόγος. Οὐ λέξεις, ὦ κακῶν κάκιστε, ἀλλ' ὧδ' ἄτεγκτος κἀτελεύτητος φανῇ; καὶ γὰρ ἂν πέτρου φύσιν σύ γ' ὀργάνειας, ὅ ἐστι, ταράξειας καὶ εἰς ὀργὴν [e] ἐμβάλοις. Ἀπολογεῖται δὲ περὶ τῆς ὕβρεως, λέγων ὅτι [f] καὶ πέτρου φύσιν σύ γ' ὀργάνειας. Ἄτεγκτος δὲ, ἀντὶ τοῦ, ἀσυμπαθὴς καὶ ἀδάκρυτος. Τέγγειν γὰρ τὸ βρέχειν. Ἀτελεύτητος δὲ, δυσαξίωτος, δυσπαράκλητος, ἀμείλιχος.

341. Αὐτά] Αὐτόματα.

344. Τὸ θυμοῦ οὐκ ἔστι γενικὴ, ἀλλὰ ῥῆμα προστακτικόν.

345. Καὶ μὴν παρήσω γ' οὐδέν: Ὀργιζόμενος οὐδὲν σιωπήσομαι ὧν πέπεισμαι καὶ ὑπονοῶ.

347. Εἰργάσθαι δ' ὅσον μὴ [g] χερσί: εἰργάσθαι τὰ ἄλλα τοῦ φόνου, χωρὶς τῆς ἀπὸ τῶν χειρῶν ἐνεργείας. Εἰ δὲ ἔβλεπες, ἐκάλουν ἄν σε καὶ φονέα αὐτόχειρα.

350. Ἄληθες; ἐννέπω: Λέγω σε τῷ κηρύγματι ὑπεύθυνον εἶναι τῷ ὑπὸ σοῦ εἰρημένῳ.

352. Προσαυδᾶν] [h] Προσφθέγγεσθαι.

[a] Ita ed. Rom. pro ὑπολαβόντος. Eadem mox κατὰ λιπαρεῖ, quod correxit Stephanus.

[b] Ed. Rom. ὑποθέσεως.

[c] MS. hic ἀλγ̆, mox ἀλγυνειν sine accentu, in textu vero ἀλγύνῶ altero accentu eraso. Ed. Rom. ἀλγύνω et ἀλγύνειν. Ita legisse videtur grammaticus.

[d] Ita ed. Rom. pro κακός.

[e] Ita Suidas v. Ὀργάνειας. MS. ἐκβάλειας, quod Brunckium non correxisse miror.

[f] Brunckius κἂν. Vide ad v. 38.

[g] MS. χ̓, unde ed. Rom. χερὶ, quod corrigere neglexit Brunckius.

[h] Abest ab ed. Rom.

354. Οὕτως ἀναιδῶς ἐξεκίνησας : Οἴεται αὐτὸν πλασάμενον ψεύδεσθαι. Εἰκότως δὲ ἀπιστεῖται, ὡς δι' ὀργὴν εἰρηκώς. Εἰ δὲ ἐπιστεύθη κατ' ἀρχὴν ὁ μάντις, τὰ ἑξῆς τοῦ δράματος ἀνῄρητο, [a] τὸ τοῦ ἀναγνωρισμοῦ, ἐν οἷς καταγέγονε μάλιστα ὁ ποιητής.

356. Τρέφω] [b] Ἀντὶ τοῦ ἔχω.

357. [c] Ἡ ἀπότασις φανερῶς εἰς Κρέοντα.

366. Εὐσχημόνως ἀπήγγειλε τὸ περὶ τῆς μητρός.

370. Ἶσον ἐστὶν ὁ Οἰδίπους παραβαλλόμενος, ὡς ὁ Ἀγαμέμνων πρὸς τὸν Κάλχαντα.

372. Οὐδείς ἐστιν ὃς οὐ [d] ταῦτά σοι ὀνειδιεῖ, ἅπερ μοι ὠνείδισας. Τὸ δὲ τάχα, ἀντὶ τοῦ ταχέως. οἷον, καὶ σὲ μετ' ὀλίγον ἐροῦσι τυφλόν. Καὶ περὶ τῆς πηρώσεως δὲ λεληθότως αὐτῷ μαντεύεται.

374. Μιᾶς τρέφῃ πρὸς νυκτός : Διπλοῦν τὸ διανόημα. Ἤτοι οὖν οὕτως· ὑπὸ μιᾶς νυκτὸς, τῆς ἀορασίας τῆς διηνεκῶς κατεχούσης σε, τρέφῃ, ὡς μηδὲν διαθεῖναι κακὸν τοὺς ὁρῶντας· ἢ οὕτω· διὰ τὸ πηρὸν εἶναι ἐλεοῦσί σε πάντες. Ἀπόχρη γὰρ καὶ τὸ τῆς πηρώσεως.

377. Ἱκανός] Ἀντὶ τοῦ, τὰ κατ' ἐμὲ ἐκδικῆσαι.

*Ibid.* Ἐκπρᾶξαι μέλει] Λείπει, ἐάν με φονεύσῃς.

378. Πεποίηκε τὸν Οἰδίποδα ὑπονοεῖν ἐξ ὑποβολῆς Κρέοντος ταῦτα εἰρῆσθαι, ἵνα ζητοῦντος αὐτοῦ, ἀφορμὴν εὔλογον [e] ἔχῃ τὰ λοιπὰ τοῦ δράματος.

385. Ὁ πιστός] Ἐν εἰρωνείᾳ.

387. Μηχανοῤῥάφον : Τὰ φαῦλα μηχανώμενον. Μάγους δὲ ἐκάλουν τοὺς ψευδεῖς φαντασίας περιτιθέντας. Ἀπὸ τούτου δὲ καὶ τοὺς φαρμακεῖς [f] μάγους ἔλεγον.

388. Ἀγύρτην] Πτωχὸν, ὀχλαγωγόν.

391. Ῥαψῳδός : Ἡ Σφὶγξ, ἡ ῥάπτουσα τὰς ᾠδάς. Τὸ δὲ ὄνομα τοῦ ῥαψωδοῦ καθ' Ὅμηρον ἢ μεθ' Ὅμηρον ἦν. Κύνα δὲ αὐτὴν καλεῖ διὰ τὸ ἁρπακτικόν.

393. Τοῦ 'πιόντος] Τοῦ τυχόντος· ἀντὶ τοῦ, οὐ τοῦ τυχόντος ἦν

[a] Hoc τὸ de meo addidi.

[b] Hanc gl. ab editore Rom. omissam exhibet etiam Suidas v. Τάλεσιν.

[c] Ed. Rom. φανερῶς εἰς κρέοντα ἡ ἀπότασίς ἐστι.

[d] MS. ταῦτα ὀνειδίσει. Sequor Suidam v. Ὀνειδίζω. Idem v. Τυφλὸς τά τ' ὦτα habet ταῦτά σοι ὀνειδίσει.

[e] Sic ed. Rom. pro ἔχει.

[f] Suidas v. Μάγος habet τοὺς φαρμακοὺς, μάγους ἔλεγον. Brunckius imprudens dedit μάγους ἐκάλουν.

σαφηνίσαι. Διὰ τούτων δὲ αὔξει τὸ ἴδιον κατόρθωμα, μεῖζον καὶ μαντικῆς καὶ πάσης ἀνθρωπίνης συνέσεως.

398. Κυρήσας] [a] Ἐπιτυχών.

402. [b] Ἁγηλατήσειν: Ἐὰν δασέως, τὸ ἄγος ἀπελάσειν τὸ περὶ τὸν Λάϊον· ἐὰν δὲ ψιλῶς, ἀντὶ τοῦ βασιλεύσειν.

408. Ἐξισωτέον] Λείπει ἐμοί.

409. Τοῦδε] [c] Τὸ ἐξισοῦ λέγειν.

411. Γεγράψομαι] Δεήσομαι. Ὅρα δὲ καὶ τὴν διαφορὰν τοῦ ὀνόματος. Τῷ μὲν γὰρ ἐπιφθονωτέρῳ ἐπὶ τοῦ Οἰδίποδος ἐχρήσατο, [d] τὸ δοῦλος· τῷ δὲ εὐπρεπεστέρῳ ἐπὶ τοῦ Κρέοντος.

417. Ἀμφιπλήξ] Ἡ ἐξ ἀμφοτέρων ἐλασία, ἡ ἑκατέρωθεν πλήττουσα ἔκ τε πατρὸς καὶ μητρός. Δεινόπους δὲ, ἡ διὰ τῶν ποδῶν δέος [e] ἐμποιοῦσα.

420. Τὸν λιμένα τίθησιν ἀεὶ ἀντὶ τοῦ τόπου. Τροπικῶς δὲ, ἀντὶ τοῦ, [f] ποῦ οὐκ ἐλεύσῃ βοῶν.

422. Ὅταν καταίσθῃ] Ὅταν αἰσθανθῇς καὶ νοήσῃς.

428. Ἐκτριβήσεται: Ἀντὶ τοῦ, διατρίψει ἐν τοῖς κακοῖς, ἢ ἀπολεῖται. Ἡ μεταφορὰ ἀπὸ τῶν σμηχομένων [g] ἀργυρῶν ἢ χαλκῶν, ἢ ἄλλων τοιούτων, ἅπερ ἐν τῷ πλύνεσθαι σφόδρα τριβόμενα ἐλαττοῦται.

434. Σχολῇ] [h] Βραδέως, οὐδαμῶς.

438. Ἥδ' ἡμέρα φύσει σε: Ἀντὶ τοῦ, [i] οἵων εἶ γονέων δείκνυσι. Διαφθερεῖ δὲ, διὰ τὴν πήρωσιν, καὶ τὴν λοιπὴν τοῦ βίου ἀνατροπήν.

439. Αἰνικτά] Ἀσαφῆ καὶ κεκρυμμένα.

440. Οὐκοῦν [σὺ] ταῦτ' ἄριστος: Ὥσπερ εἰρωνευόμενος φησίν· αἴνιγμά ἐστι· σὺ θᾶττον νοήσεις, ὅτι καὶ τὸ τῆς Σφιγγὸς αἴνιγμα πρῶτος ἐξεῦρες. Ὃ δέχεται εἰς ἔπαινον.

[a] Caret hac gl. ed. Rom.

[b] Ed. Rom. Ἀγηλατήσειν. Nullum spiritum habet MS.

[c] Ed. Rom. τοῦ ἐξ ἴσου λέγειν. Satis bene se habet τὸ, modo suppleatur φησι.

[d] Ed. Rom. τῷ δοῦλος, quod propter dativos τῷ ἐπιφθονωτέρῳ et τῷ εὐπρεπεστέρῳ fortasse servare debebam. Vide ad v. 1.

[e] Ita pro ποιοῦσα Brunckius consentiente Suida v. Δεινόπους.

[f] Brunckius ποῖ.

[g] Ita Brunckius pro ἀργύρων. Ita etiam Suidas v. Ἐκτριβήσεται, qui mox ἢ ἄλλων τοιούτων σκευῶν.

[h] Ed. Rom. ἀντὶ τοῦ βραδέως. οὐδαμῶς. Brunckius: βραδέως. ἀντὶ τοῦ οὐδαμῶς.

[i] Ita ed. Rom. pro οἱονεὶ γονέων δείκνυσι. Brunckius: οἵων εἶ γονέων δείξει.

442. Τύχη] Τὸ σὲ διαγνῶναι τὸ αἴνιγμα.

443. Πάνυ τοῦτο προσαγωγὸν τοῦ πλήθους.

474. Ἐνταῦθα παῤῥησιαστικώτερον ὅλον τὸ πρᾶγμα παραινίττεται, ἀμφοτέρων τοῦ ποιητοῦ στοχασαμένου, τοῦ τε τῷ δράματι συμφέροντος, ὅπως μὴ ἀνακαλύπτηται ἡ ὑπόθεσις, (διὸ αἰνιγματωδῶς πάντα φησί), τοῦ τε τῷ προσώπῳ πρέποντος. Ἔδει γὰρ εἰπεῖν τὸν μάντιν τὰ μετ' ὀλίγον φανησόμενα.

449 Ὡς περὶ ἑτέρου λέγων, αὐτὸν αἰνίττεται.

454. Τῇ ξυμφορᾷ] Τῇ συντυχίᾳ.

456. Τὸ σκῆπτρον δεικνὺς σύμβολον τῆς ἑαυτοῦ εὐγενείας, ὅτι ἐκ βασιλέως πτωχὸς ἐγένετο.

460. Ὁμόσπορος] Τὴν αὐτὴν σπείρων γυναῖκα.

463. [a] Ἀκόλουθά ἐστι τὰ τοῦ χοροῦ πρὸς τὰ προειρημένα. Νῦν δὲ οὐκ ἔστιν [b] αὐτοῖς εὐπρόσωπον ἀναλογίζεσθαι περὶ ὧν εἶπεν ὁ μάντις. Διὸ ἀνατρέχει ἐπὶ τὸ μάντευμα τοῦ θεοῦ. Ὁ δὲ νοῦς· τίς ἐστιν οὗτος, ὅντινα ἐμφανίζει τὸ μαντεῖον· ἢ οὕτως· τίς ἐστιν οὗτος, ὃν κατώπτευσεν ἡ Δελφὶς πέτρα, οἷον, ὁ μὴ λαθὼν τὸ μαντεῖον τοῦ Ἀπόλλωνος.

465. Ἄῤῥητ' ἀῤῥήτων] [c] Τῶν δεινῶν δεινότερα.

467. Ἀελλοπόδων] Ταχέων.

472. Κῆρες ἀναπλάκητοι: Αἱ εἰς μηδὲν ἁμαρτάνουσαι, ἀλλὰ πάντων κρατοῦσαι. [d] Κῆρες δὲ, τοῦ τελευτήσαντος Λαΐου. Ἢ οὕτως· ἄφυκτοι, ἀπλάνητοι, ἀπροσπέλαστοι, ἀφανεῖς, ἃς οὐκ ἔστιν ἀποφυγεῖν.

476. Πάντα] [e] Πανταχοῦ.

477. Φοιτᾷ γὰρ ὑπ' ἀγρίαν ὕλαν: Ἐκεῖνος ὁ πεφονευκὼς, πανταχοῦ κρυπτόμενος οὐ βούλεται ἑαυτὸν ἐμφανίσαι. Τὸ δὲ ἐξιχνεύειν ἐπήγαγεν καὶ τὰ ἄλλα ὀνόματα τροπικῶς, ὡς ἐπὶ ἄγρας ταύρων τῶν ὑπὸ πάντων ζητουμένων [f] καλῶν, καὶ ὥσπερ ἐν ὕλῃ κεκρυμμένων. Οἰκεῖα δὲ ταῦτα τὰ ὀνόματα, ἄντρα καὶ πέτραι.

479. Μελέῳ ποδὶ χηρεύων: Ἀντὶ τοῦ, μηδενὶ γιγνωσκόμενος, τῇ φυγῇ μονάζων. [g] Ὃ καὶ αὐτὸ οἰκεῖον τῇ [h] θηριώδει διαίτῃ.

[a] MS. ἀκόλουθα εἴστα τοῦ χοροῦ. Ed. Rom. ἀκόλουθά εἰσι τὰ τοῦ χοροῦ.

[b] Brunckius αὐτῷ, τῷ χορῷ scilicet. Sed idem dicit vulgata.

[c] Hanc gl. et sequentem omittit ed. Rom.

[d] Verba κῆρες δὲ——Λαΐου in fine schol. ponenda videntur.

[e] Abest ab ed. Rom.

[f] Deest καλῶν in ed. Rom.

[g] MS. ἢ καὶ αὐτὸ.

[h] Ita ed. Rom. pro θηριώδη.

480. Τὰ μεσόμφαλα γᾶς ἀπονοσφίζων: Ἀντὶ τοῦ [a] φυγών. Τὸν τόπον δὲ εἶπεν ἀντὶ τῶν χρησμῶν. Οἷον, τοὺς χρησμοὺς διαφεύγει μέχρι νῦν ὁ μηνυθεὶς ὑπὸ τοῦ θεοῦ. Ὅτι δὲ [b] ἡ Πυθὼν μεσόμφαλος, δηλοῖ καὶ ἡ περὶ τοὺς ἀετοὺς ἱστορία, καὶ ὅτι χρύσεοι ἀετοὶ διὰ τοῦτο ἀνάκεινται, καὶ ὅτι τούτου χάριν [c] ὁ Ζεὺς ἐκεῖσε τὸ μαντεῖον ἱδρύσατο.

481. Ἀλλ' οὐδὲν ἧττον τὰ μαντεύματα περιποτᾶται ζῶντα καὶ ἰσχύοντα τῇ ἀληθείᾳ.

483. Δεινὰ μὲν οὖν, δεινά: Μεταβαίνουσιν ἐπὶ τὰ εἰρημένα ὑπὸ Τειρεσίου. Σοφὸν μὲν οὖν αὐτὸν ὁμολογοῦσιν. [d] Τὸ δὲ ταράσσει ἐχρήσατο, ἐπεὶ ἔδοξε δυσχερῶς ἐνεχθῆναι πρὸς τὸν ἄρχοντα.

484. Σοφὸς οἰωνοθέτας] [e] Ὁ Τειρεσίας.

485. Οὔτε δοκοῦντ' οὔτ' ἀποφάσκοντα] Οὔτε πιστὰ οὔτε ἄπιστα.

489. Τί γὰρ ἢ Λαβδακίδαις: Εἰκότως ἀποροῦσιν. Ποῖον γὰρ νεῖκος γέγονε [f] τοῖς ἀπὸ Λαβδάκου πρὸς τὸν Πολύβου; ἔτι γὰρ νομίζουσιν αὐτὸν εἶναι Πολύβου.

492. Πρὸς ὅτου δὴ βασάνῳ] Ποίῳ λογισμῷ. Ἀντὶ τοῦ, τίνος πράγματος κρίσει χρησάμενος, τοῖς λεγομένοις πιστεύσω κατὰ Οἰδίποδος.

495. Φάτιν] Τὴν κατὰ τοῦ Οἰδίποδος γινομένην παρὰ Τειρεσίου.

498. Ἀλλ' ὁ μὲν οὖν Ζεύς: Θέλουσιν ἀνατρέψαι τὰ ὑπὸ τοῦ Τειρεσίου εἰρημένα. Καὶ φασὶν, ὅτι οἱ μὲν θεοὶ συνετοὶ, καὶ μόνοι τὰ τῶν ἀνθρώπων εἰδότες· ὅτι δὲ οἱ μάντεις μᾶλλον τῶν λοιπῶν ἀνθρώπων τι ἐπίστανται, οὔ φημι, καὶ οὐδὲ ἡ κρίσις αὕτη ἀληθής ἐστι. Γένοιτο μὲν γάρ τις κατὰ σύνεσιν ἕτερος ἑτέρου προήκων· οὐ μὴν αὕτη γε ἡ ἐπιστήμη ἐκ μαντικῆς ἐστιν, ἀλλ' ἐκ φύσεως καὶ ἐντρεχείας ἑκάστῳ πάρεστιν.

500. Οὔπω πιστεύω ὅτι οἱ μάντεις πλέον ἐμοῦ φρονοῦσιν.

503. Σοφίαν νῦν φησὶ τὸν στοχασμόν. Ὃ γὰρ λέγει, τοῦτό ἐστιν, ὅτι ἐν τῷ στοχάζεσθαι ἄλλος ἄλλον [g] παρέλθοι καὶ νικήσειεν.

505. Ἀλλ' οὔποτ' ἔγωγ' ἂν πρίν: Ἐγὼ δὲ οὐκ ἄν ποτε

[a] Brunckius φεύγων.

[b] Ed. Rom. ἡ πυθώ.

[c] Ed. Rom. ἐκεῖσε ὁ ζεύς.

[d] MS. τὸ δὲ ταράσσειν ἐχρήσατο. Ed. Rom. Δεινὰ ταράσσει. τούτῳ ἐχρήσατο.

[e] Deest in ed. Rom.

[f] Ita Brunckius. MS. τοῖς ὑπο λαβδάκου πρὸς τὸν πόλυβον. Ed. Rom. ὑπὸ λαβδάκου, cetera ut MS.

[g] MS. ἔλθοι. Brunckius παρέλθοι ἄν.

[a] ἐπαινέσαιμι τοὺς μεμφομένους τὸν βασιλέα, οὐδ' ὀρθὸν ἂν αὐτῶν τὸ ἔπος φαίην, πρὶν ἴδοιμι σαφῆ τὰ ἔργα καὶ τὴν ἀπόβασιν.

507. Φανερὰ γάρ: Ἃ μὲν ἐγκαλοῦσιν αὐτῷ, ἄδηλα, καὶ οὐ πάντως ἀληθῆ. Ἃ δὲ κατώρθωσε, φανερὰ, ὅτε ἐπελθούσης αὐτῷ τῆς Σφιγγὸς, ὤφθη σοφός.

510. Βασάνῳ θ' ἡδύπολις] Κρίσει τε ἡδὺς ὤφθη τῇ πόλει. Ἢ οὕτως· ἀπὸ τῆς βασάνου δὲ τῆς Σφιγγὸς ἡδέως διετέθη ἡ πόλις πρὸς τὸν Οἰδίποδα.

*Ibid.* Βασάνῳ] Κρίσει.

511. Τῷ] [b] Λείπει τὸ ἕνεκα.

513. Ἔρχεται ὁ Κρέων ἐπὶ τῇ [c] κατ' αὐτοῦ ὑπονοίᾳ ἀγανακτῶν, καὶ ἀπολογήσασθαι βουλόμενος.

515. Ἀτλητῶν] Μὴ καρτερῶν, μὴ φέρων, δυσανασχετῶν.

518. [d] Οὐ βούλομαι ζῆν ἐπὶ ταύτῃ τῇ φήμῃ.

523. Ἐπειδὴ τὸ τοῦ χοροῦ πρόσωπον ἰσόῤῥοπον δεῖ ἐν ταῖς διαίταις εἶναι, διὰ τοῦτο καὶ νῦν παραμυθεῖται τὸν Κρέοντα, ὅτι ἴσως κατ' ὀργὴν τοῦτο εἶπεν, ἐρεθισθεὶς ὑπὸ τοῦ μαντέως.

525. Πρὸς τοῦ δ' ἐφάνθη] Κατ' ἐρώτησιν ὁ λόγος.

*Ibid.* Ἐφάνθη] [e] Ἐῤῥέθη.

528. Τοῦ χοροῦ οὐκ ἔχοντος λέγειν τίνι γνώμῃ ταῦτα ἐλέγετο, ἀπὸ τῶν ἔξωθεν συμβάλλειν βουλόμενος ὁ Κρέων, περὶ τοῦ βλέμματος καὶ τοῦ σχήματος, ἐν ᾧ ταῦτα ἔλεγεν ὁ Οἰδίπους, πυνθάνεται.

*Ibid.* Ὀρθῆς] [f] Ἀληθοῦς.

529. Κατηγορεῖτο] Κατηγόρει ὁ Οἰδίπους.

*Ibid.* Τοὐπίκλημα] Ἔγκλημα.

534. Τοῦδε τἀνδρός] Ἀντὶ τοῦ ἐμοῦ. [g] Ἢ τοῦ Λαΐου.

543. Ποιήσον] Ἀντὶ τοῦ ποιήσεις. Ἔστι δὲ Ἀττικισμός.

545. Σὺ μὲν δεινὸς εἶ ἐν τῷ λέγειν· ἐγὼ δὲ οὐ μετ' εὐνοίας σου ἀκούω, διὰ τὴν δυσμένειαν.

552. Οὐχ ὑφέξειν] Οὐκ ἐκτίσειν τὴν τιμωρίαν.

[a] MS. ἐπαινέσοιμι.

[b] Caret hac gl. et superiori ed. Rom.

[c] Ed. Rom. κατὰ ἑαυτοῦ.

[d] Sequor Suidam v. Βάξιν. Schol. in MS. pene evanidum est, ita tamen ut legere potuerim οὐ βούλομαι et τη τη φημ. Abest ab ed. Rom.

[e] Deest in ed. Rom.

[f] Hanc gl. cum duabus sequentibus omittit ed. Rom,

[g] Brunckius ἢ pro καὶ.

556. Σεμνόμαντιν] Ἐν εἰρωνείᾳ. Εὐήθη γὰρ θέλει λέγειν τὸν Τειρεσίαν.

559. Ἐπεὶ κατὰ παράλειψιν εἶπεν, λέγει· τί με ἐρωτᾷς; Ἀγνοῶ.

566. Ἔρευναν] Ζήτησιν, δοκιμασίαν.

572. Ὁ μάντις εἰ μὴ ἐλάμβανέν σε κοινωνὸν τοῦ βουλεύματος, οὐκ ἄν με ἔφη τοῦ Λαΐου φονέα.

580. Ἃ ᾽ν] Τὸ τέλειον ἃ ἂν, ἀντὶ τοῦ ἅτινα ἄν.

*Ibid.* Κομίζεται] [a] Ἀντὶ τοῦ ἔχει.

597. Ἐκκαλοῦσι] Προκαλοῦσιν.

598. Ἐνταῦθ᾽ ἔνι] Ἀντὶ τοῦ ἐμοί.

529. Πῶς δῆτ᾽ ἐγὼ κεῖν᾽ ἂν λάβοιμι: Προκατασκευάσας ὡς ἄμεινόν ἐστιν αὐτῷ τοῦ τυραννεῖν, τὸ ἀφόβως κοινωνεῖν τῇ τυραννίδι, τοῦτο ἐπήνεγκεν. Ὁ γὰρ νοῦς· ὁ ταῦτα τὰ συμφέροντα ἐνθυμούμενος, οὐκ ἂν γένοιτο κακὸς, ὥστε ἑτέρῳ τινὶ ἀσυμφόρῳ ἐπιχειρῆσαι.

*Ibid.* Κεῖνα] [b] Τὰ κακὰ ἀντὶ τῶν καλῶν.

600. Φρονῶν] Ἀντὶ τοῦ [c] φρονοῦντος. Ἢ οὕτως· ὁ καλῶς φρονῶν νοῦς, οὐκ ἂν κακὸς γένοιτο.

603. Καὶ τόνδ᾽ ἔλεγχον, τοῦτο μὲν Πυθώδ᾽ ἰὼν: Ζήτησον (φησὶν) εἰ τὸν χρησμὸν ὑγιῶς ἀφῖγμαί σοι φέρων, εἶτα εἰ κατεκοινώνησα τοῦ μαντείου τῷ Τειρεσίᾳ.

607. Διπλῇ δέ] Ὅτι καὶ αὐτὸς τὸν ἐμαυτοῦ [d] καταψηφίσομαι θάνατον.

611. Ἶσον γάρ ἐστι κακὸν, ἀπωθήσασθαι φίλον, καὶ τὸν ἑαυτοῦ βίον.

616. Σοὶ εὐλαβουμένῳ πεσεῖν καὶ ἐπιβουλευθήσεσθαι παρ᾽ αὐτοῦ, καλῶς ἔλεξεν ὁ Κρέων, ὅτι ἐν χρόνῳ γνώσῃ τάδ᾽ ἀσφαλῶς, ὁποῖός εἰμι περὶ σέ. Ὁ γὰρ τάχυ βουλευόμενος, καὶ μὴ πολλάκις βασανίζων τὴν γνώμην, σφάλλεται. Πρὸς ὃ ὁ Οἰδίπους φησὶν, ὅτι πρὸς τὰς ταχείας ἐπιβουλὰς δεῖ ταχεῖαν καὶ τὴν ἄμυναν εἶναι.

620. Τὰ τοῦδε] Τὰ τοῦ Κρέοντος τοῦ ἐμοὶ ἐπιβουλευσαμένου.

621. Τἀμά] Ἡ ἄμυνα.

625. Οὕτω λέγεις, ὡς μὴ πεισθησόμενός μοι, ἀλλ᾽ ἀντιλέξων τῇ κελεύσει.

[a] Hanc gl. cum duabus sequentibus omittit ed. Rom.

[b] Et hanc.

[c] Sic ed. Rom. Sed MS. φρονοῦν (with τ written above), quod ambiguum est.

[d] Ed. Rom. καταψηφίζομαι.

626. Ὅσον [a] ἧκεν εἰς ἐμὲ, καλῶς βουλεύομαι. Ἢ οὕτω· τὸ γοῦν ἐμαυτῷ [b] σύμφορον ποιῶ. Πρὸς ὃ φησὶν ὁ Κρέων, ὅτι καὶ τὸ ἐμὸν συμφέρον δεῖ σε σκοπεῖν. Ὅτι οὐ δεῖ με ἀκαίρως ὑπονοεῖσθαι.

628. Μηδέν] Ὧν ὑπονοεῖς.

*Ibid.* Ἀρκτεόν γ' ὅμως] Ἀλλὰ χρὴ βασιλεύειν.

636. Ἴδια κινοῦντες κακά] Φιλονεικοῦντες.

637. [c] Οὐκ εἶ: Ἀντὶ τοῦ, οὐκ ἐλεύσῃ. Καλῶς δὲ οὐ πυνθάνεται τὴν αἰτίαν τῆς ἔριδος, ἐκ παντὸς ἀπαλλαγῆναι αὐτοὺς βουλομένη. Ἅμα δὲ καὶ μὴ [d] διλογία ᾖ.

640. Ἀποκρίνας] Ἓν τῶν δύο ποιήσας.

644. Ὀναίμην] Τοῦ βίου.

648. Τούσδε] Τοὺς τοῦ χοροῦ.

649. Οἷον, μὴ τῇ ὀργῇ εἴκων, ἀλλὰ τὰ δέοντα διασκεψάμενος. Καλῶς τὸ θελήσας. Πολλάκις γὰρ ἐπὶ ταῖς ὀργαῖς μεταγνῶναί τις ὀφείλων, αἰδούμενος ἐμμένει τοῖς ἁμαρτήμασιν.

652. Ἢ τὸν ἐν τῷ πρὶν χρόνῳ, ἢ τὸν ἐν τῷ εἰρημένῳ λόγῳ. [e] Ἀπελογήσατο γάρ. Νῦν δὲ μεγάλην πίστιν ἐπαγόμενον ἀπὸ τοῦ ὅρκου, αἰδέσθητι.

656. Τὸν ἐναγῆ φίλον] γρ. φίλον ἐναγῆ. Ἐναγὲς δὲ, τὸ σεβάσμιον καὶ [f] ἅγιον. Ἅγος γὰρ τὸ ἱερὸν σέβας. Ὅθεν καὶ τὸ,

[g] ἄγη μ' ἔχει,

καὶ,

ὥς σε, γύναι, ἄγαμαι.

Κατ' εὐφημισμὸν δὲ καὶ τὰ μιάσματα ἄγη [h] λέγεται, καὶ οἱ μιαροὶ ἐναγεῖς καλοῦνται. Ὁ δὲ νοῦς· τὸν μηδέποτε ὑπὸ φίλων ἐν ἀφανεῖ αἰτίᾳ γενόμενον, ἀλλὰ καθαρὸν ὄντα, δεόμεθα μὴ [i] λόγων ἄτιμον ἐκβαλεῖν, ἀλλὰ προσδέξασθαι αὐτοῦ τὴν ἀπολογίαν. Ἢ ἐναγῆ, τὸν ἐνεχόμενον [k] μύσει, οὕτω· δεόμεθα [l] τὸν μηδέποτε ἐναγῆ γενόμενον εἰς φίλους μὴ ἐν ἀφανεῖ αἰτίᾳ ἄτιμον ποιήσῃς [m] τῶν λόγων.

[a] Brunckius ἥκει.
[b] Brunckius σύμφορον εὖ φρονῶ.
[c] Brunckius: Οὐκ εἶ σύ τ' οἴκους: ἀντὶ τοῦ, οὐκ ἀπελεύσῃ, οὐ πορεύσῃ.
[d] Ita ed. Rom. pro διαλογία.
[e] Ita Stephanus pro ἀπελογίσατο.
[f] MS. ἁγνόν.
[g] Il. Φ. 221. Od. Ζ. 168.
[h] Ita Stephanus pro λέγει.
[i] Ita Brunckius pro λόγον. [e Suid.]
[k] Sic praeter MS. Brunckius ex conjectura. [e Suid.] Ed. Rom. μίσει. Vide ad v. 34.
[l] Ed. Rom. τοῦ μηδέποτε ἐναγοῦς γενομένου. Brunckius ut MS. [et Suid.]
[m] Ita Brunckius [e Suid.] pro τὸν λόγον.

658. Εὖ νῦν ἐπίστω: Γίνωσκε ὅτι τούτῳ συνηγορῶν ἐμὲ ἀδικεῖς. Οὐδὲν γὰρ ἄλλο ἢ ὄλεθρον μοι ἐπάγεις, εἰ παρόψομαι τὸν ἐπιβεβουλευκότα.

660. Οὐ τὸν πάντων θεῶν: Ἐπὶ ὅρκον καταπέφευγεν, ἐξ οὗ μάλιστα ἐδόκει πεῖσαι τὸν βασιλέα. Ἥλιον δὲ ὄμνυσιν, ὅτι πάντα ἑωρακὼς αὐτὸς συνῄδει τὸ πᾶν.

663. Ὅτι πύματον] Ἀντὶ τοῦ, [a] ἔσχατος ἀπολοίμην.

666. Τρύχει] [b] Λυπεῖ με.

669. Ὁ δ' οὖν ἴτω: Τὸ φιλόκοινον αὐτοῦ κἀνταῦθα δείκνυσιν. Ὡς οὐ δι' ἑαυτὸν παρακεχωρηκότος, ἀλλὰ διὰ τὴν πόλιν, κἂν δέῃ αὐτὸν πεισθέντα κινδυνεῦσαι.

*Ibid.* Ἴτω] Ἀναχωρησάτω.

673. Στυγνὸς μὲν εἴκων δῆλος εἶ: Δῆλος εἶ ἀηδῶς εἴκων. Ὅταν δὲ ἐπὶ τὸ πέρας ἔλθῃς τῆς ὀργῆς, τότε βαρέως οἴσεις τὸ πρᾶγμα. Οἷον, μετανοήσεις καὶ ἄδικα [c] ἐνθυμηθήσῃ. Ἔτι δὲ ἐμμένει ὁ Κρέων τῇ αὐτῇ παῤῥησίᾳ, ἐπιστάμενος ὡς οὐδὲν ἐσκαιώρησεν.

677. Σοῦ μὲν τυχὼν ἀγνῶτος: Σοῦ μὲν μὴ ἐπισταμένου τὴν ἐμὴν προαίρεσιν (οἷον, ἠγνοηκότος με), παρὰ δὲ τούτοις τῆς ὁμοίας δόξης ἣν καὶ πρώην εἶχον περὶ ἐμέ.

678. Ὡς κατέγνωκεν ὁ χορὸς τοῦ Οἰδίποδος, παρακελεύεται τῇ γυναικὶ εἰσάγειν αὐτόν.

680. Πιθανῶς μετὰ τὸ διηλλάχθαι αὐτοὺς, ἐπιζητεῖ τὴν αἰτίαν· ἅμα δὲ καὶ ἵνα ἀρχὴ γένηται τοῦ ἀναγνωρισμοῦ.

681. Δόκησις ἀγνὼς λόγων: Ὁ χορὸς ὑπὲρ ἀμφοτέρων ἀπολογεῖται· ὑπὲρ μὲν τοῦ Κρέοντος, ὅτι ἐπ' ἀδήλοις ἐγκέκληται· ὑπὲρ δὲ τοῦ Οἰδίποδος, ὅτι εἰκότως ὠργίσθη, ἐπὶ τοιούτοις διαβληθείς.

683. Τὸ μὴ 'νδικον] Οἷον, τὸ μὴ ἐνδίκως [d] θρυλούμενον, ὅ ἐστιν, ἡ ψευδὴς διαβολὴ, κἂν τὸ συνειδὸς ἐῤῥωμένον ᾖ.

684. Οἷον, ἀμφότεροι τῆς διαφορᾶς αἴτιοί εἰσιν;

685. Ἅλις ἔμοιγ', ἅλις: Αὔταρκές μοι φαίνεται στῆσαι τὸν λόγον ἔνθα ἔληξεν. Ἀντὶ τοῦ, ἱκανὰ λέλεκται, καὶ αὔταρκές ἐστιν ἀναπεπαῦσθαι τὰ τοῦ λόγου, ἔνθα ἔληξεν ἡ στάσις.

687. Ὁρᾷς ἵν' ἥκεις, ἀγαθός: Τοῦτο φησὶν ὁ Οἰδίπους ἀγανα-

[a] Brunckius ἐσχάτως.

[b] Deest in ed. Rom. Sic etiam ἀναχωρησάτω ad v. 669.

[c] Ita ed. Rom. pro ἐνθυμηθείσῃ.

[d] Ed. Rom. θρυλλούμενον. Eadem ἤγουν pro ὅ ἐστιν.

κτῶν. Διὰ τί πρὸς ἕτερον ἀποφεύγεις, καίτοι ἀγαθὸς ὢν ἀνὴρ, καὶ οὐχ ὁμολογεῖς τὰ λυπήσαντά με τῇ Ἰοκάστῃ; διὰ τί οὖν οὐ συνοργίζῃ μοι, ἀλλὰ πραΰνεις με ὑπὲρ τοῦ Κρέοντος;

689. Πολλάκις (φησὶ) τὰ ἐπελθόντα κατὰ τὴν ἐμὴν διάνοιαν εἶπόν σοι, οἷα καὶ ἐν τοῖς ἀνωτέρω ὤμνυεν.

690. Ἴσθι πεφάνθαι με παραφρόνιμον, ἀντὶ τοῦ παράφρονα [a] καὶ ἀνόητον, καὶ ἄπορον ἐπὶ τὰ φρόνιμα. Δὶς δὲ τὸ αὐτὸ εἶπεν, ἀντὶ τοῦ, μῶρον κατὰ διάνοιαν, καὶ ἄπορον.

693. Εἰ ἀλλότριόν σε καὶ οὐκ οἰκεῖον νενόμικα. Ἢ οὕτως· εἴ σε ἀποκρύπτομαι ἢ ἐκτρέπομαι, καὶ οὐ συγγίνομαί σοι. [b] Ἢ οὕτως· εἰ βούλομαί σε ἐκβαλεῖν τὸν τοσαῦτα ἡμᾶς εὐεργετήσαντα.

696. Οὔρησας] Ἔστησας, ἔσωσας.

702. Λέγε, εἰ σαφῆ ἐστιν ἃ μέλλεις ἐγκαλεῖν, οἷον, ὡμολογημένα.

710. Εὖ τὸ ἅμα παρακαλοῦσαν ἐκτίθεσθαι τὰ εἰς τὴν ὑπόνοιαν αὐτὸν ἐμβαλοῦντα.

716. Καλῶς τὸν τόπον προσέθηκεν, ἵνα εἰς ὑπόμνησιν [c] ἀγάγοι τὸν Οἰδίποδα.

733. Περὶ [d] Δαυλίδα φησὶ τὴν σχιστὴν ὁδόν. Ὁ δὲ Αἰσχύλος περὶ Ποτνίας, οὕτως·

[e] Ἐπῇμεν τῆς ὁδοῦ τροχήλατον
σχιστῆς κελεύθου τρίοδον, ἔνθα συμβολὰς
τριῶν [f] κελεύθων Ποτνιάδων ἠμείβομεν.

τινὲς δὲ τὴν Δαυλίδα, Ἀνακρίδα λέγουσιν οὕτω·

[g] Κρίσσαν τε ζαθέην, καὶ Ἀνακρίδα, καὶ Πανοπῆα.

738. Ἀναμιμνήσκεται ὁ Οἰδίπους καὶ τοῦ [h] χρόνου καὶ τοῦ τόπου, καὶ πρὸς τὸν Δία φησὶ, τί μοι ποιήσεις;

742. Εὖ [i] τὰ πρὸ φωνῆς ταῦτα σημεῖα εἶπεν.

749. Ὀκνῶ.] Δέδοικα. Καὶ Ὅμηρος·

[k] Ὀκνείω δ' ἵππων ἐπιβαινέμεν.

756. Οἰκεύς.] Οἰκέτης, ἐκ τοῦ αὐτοῦ οἴκου ὤν.

[a] Brunckius καὶ ἀνόητον omisit.

[b] Alterum ἢ οὕτως cum interjacentibus omisit Brunckius.

[c] Ed. Rom. ἀγάγῃ.

[d] MS. περὶ αὔλιδα (sic). Ed. Rom. περὶ αὐλίδα. Brunckius περὶ Δαυλίδα ex emendatione Valckenarii ad Phoen. 38. qui de hoc Aeschyli fragmento plura dixit.

[e] MS. ἐπειημεν (sic). Ed. Rom. ἐπήειμεν. Brunckius ἐπῇμεν.

[f] Ita Brunckius pro κέλευθον.

[g] Il. B. 520.

[h] Ita ed. Rom. pro χοροῦ.

[i] Brunckius τὰ προφανῆ.

[k] Il. E. 255. Hoc exemplo utuntur grammatici etiam ad Trach. 7. 181. El. 820.

763. Οἷον, τὸ αἴτημα οὐχ ὑπερέβαλεν δοῦλον.

766. Πάρεστιν] Οἷον, νόμιζε αὐτὸν παρεῖναι.

775. Φερεκύδης φησὶ Μέδουσαν εἶναι τὴν Πολύβου γυναῖκα, θυγατέρα δὲ Ὀρσιλόχου τοῦ [a] ἀδελφειοῦ. Οἱ δὲ, Ἀντιοχίδα τὴν Χάλκωνος.

*Ibid.* Δωρίς] Πελοποννησιακή.

*Ibid.* Ἡγόμην] Ἐτρεφόμην, [b] ἐτύγχανον.

777. [c] Ἔδει γὰρ πρὸς τὸ ὀξὺ μὲν ἀκούσαντα ὡς εἴη νόθος, θαυμάζειν, [d] οὐ μὴν τοσοῦτον φροντίσαι τοῦ πράγματος.

778. Σπουδῆς] Ἀρετῆς.

780. Πλαστός] Προσποίητος, ἀλλότριος, νόθος.

782. Θατέρᾳ] Τῇ ἑτέρᾳ, τῇ ἑξῆς.

789. Ἄτιμον] Ἀνήκουστον. Περὶ ὧν γὰρ [e] ἀπῆλθεν, οὐκ εἶπεν.

791. Χρείη] [f] Δέοι.

792. Ἄτλητον] Τὸ μὴ δυνάμενον ὑπὸ ἀνθρώπων ὁρᾶσθαι.

795. Χρόνον τινὰ φησὶν, ἐπεὶ πρὸς τοὺς ἀστέρας ἠρίθμουν τὸν χρόνον. Ἢ οὕτως· ἐπὶ τὰ ἄστρα ἐπορευόμην. Ἡ δὲ μεταφορὰ ἀπὸ τῶν τὰ πελάγη μετρούντων, ὡς ἂν δι' ἄστρων τεκμαιρομένων τὸν πλοῦν.

802. Πωλικῆς] Ὑπὸ πώλων ἐζευγμένης.

806. Τροχηλάτην] Τὸν ἔμπροσθεν τῶν τροχῶν πορευόμενον.

808. Ὄχου] Ἅρματος.

809. Κέντροισι] Πληγαῖς. Δὶς ἔπαισέ με τοῖς κέντροις, οἷς ἐκέντριζε τοὺς ἵππους. Οὐκ ἐπίσης δὲ καὶ παρ' ἐμοῦ ἔλαβεν.

813. Τοῦ ὑπ' ἐμοῦ φονευθέντος εἰ ἦν τις πρὸς Λάϊον συγγένεια. Ἢ οὕτως· εἰ δὲ οὗτός ὁ ξένος, ὃν ἀπέκτεινα, Λάϊός ἐστιν. Οὔπω γὰρ οἶδεν εἰ αὐτός ἐστιν.

815. Τοῦδέ γ' ἀνδρός] Ἀντὶ τοῦ ἐμοῦ.

822. Δι' ὧνπερ] Δι' ὧν χειρῶν.

823. Ἄναγνος] Ἀντὶ τοῦ μιαρός.

825. Ἐμβατεύειν] [g] Ἐπιβαίνειν.

834. Ἀντὶ τοῦ, μὴ [h] ἀθύμει πρὶν ἂν τὸ ἀληθὲς καταμάθῃς.

[a] Brunckius τοῦ ἀδελφοῦ. Sturzius ad Pherecydis fragm. LXXI. p. 221. ἀδελφιδοῦ legendum suspicatur.

[b] Deest gl. in ed. Rom.

[c] Ed. Rom. ἔδει pro ᾔδει (sic).

[d] Senarius οὐ μὴν τοσοῦτον φροντίσαι τοῦ πράγματος casu an consilio hic legatur, incertum est. Vide schol. ad v. 1191.

[e] Brunckius ἐπῆλθεν.

[f] Deest in ed. Rom.

[g] Sic MS. a correctore, a prima vero manu ἐπιβῆναι.

[h] Ita ed. Rom. pro ἀθυμεῖν.

838. Φανεροῦ γενομένου καὶ ἐλθόντος τοῦ ποιμένος, τίνα ἕξεις γνώμην;

840. Σοὶ ταυτά] Σοὶ ὅμοια καὶ τὰ αὐτά.

842. Αὐτόν] Τὸν βοτῆρα.

846. Οἰόζωνον] Μονόζωνον, μόνον.

849. Ἐκβαλεῖν] Ἀποκρύπτεσθαι ἢ ἀποστρέψαι. Τουτέστιν, οὐ δύναται ἀρνεῖσθαι ὁ βουκόλος.

853. Φανεῖ: Αὐτὸς ὁ θεράπων.

857. Ὥστ᾿ οὐχὶ μαντείας: Ὅθεν ἐγὼ χάριν τῆς μαντείας, οὔτε ἐπ᾿ ἐκεῖνα τὰ ῥήματα οὔτε ταῦτα βλέψαιμι, οὔτε ἑκατέροις πιστεύσαιμι, ἀλλ᾿ ἀπορῶ.

863. Εἴ μοι ξυνείη φέροντι: Εἴθε μοι συνοικοίη τὴν ἄχραντον καὶ σεβασμίαν ἀλήθειαν διασώζοντι. Οἷον, εἴθε μοι συνείη εὐτυχία, καὶ λόγων καὶ πραγμάτων ἁγνείαν φυλάττοντι. Μοῖρα δὲ, εὐτυχία. Οἷον, εἰ ἀληθεύω, γένοιτό μοι καὶ εὐτυχεῖν τὸ ἀληθὲς διασώζοντι. Ταῦτα δὲ φησὶν, τὴν Ἰοκάστην αἰτιώμενος, ὅτι ἀσεβῶς ἔφη ἐψεῦσθαι τὸν Ἀπόλλωνα. Φέροντι οὖν τὴν εὔσεπτον ἁγνείαν τῶν λόγων καὶ τῶν ἔργων τῶν περὶ τῶν θεῶν, περὶ ὧν νόμοι πρόκεινται ἔργων καὶ λόγων, τὴν περὶ τούτων λέγοντες ἀκρίβειαν, [a] καὶ τῶν μαντειῶν, ὅτι οὐδὲν αὐτοῖς ὑγιές ἐστιν.

864. Μοῖρα] Εὐτυχία.

866. Οὐρανίαν δι᾿ αἰθέρα] Ἀντὶ τοῦ, ἐν οὐρανῷ [b] τεχθέντες.

867. Ὧν] Ὧν νόμων τῶν ὀρθῶς ἐχόντων.

868. Οὔτε ὑπὸ ἀνθρωπων εὕρηται ὁ περὶ θεῶν λόγος.

871. Ἐν τοῖς νόμοις μέγας ἐστὶν ὁ θεός. Τουτέστι, θεία δύναμις καὶ μεγάλη τοῖς νόμοις ἔνεστιν.

872. Γηράσκει] [c] Παλαιοῦται, φθείρεται.

873. Ὕβρις φυτεύει τύραννον: Διὰ τῆς ὕβρεως φύεται καὶ ἀνανεοῦται ὁ τύραννος. Ὅταν (φησὶ) πολλὰ διαπράξηται, τότε εἰς μεγάλα [d] ἐμπίπτει, διὰ τῆς ὕβρεως ἐπαρθείς. Ταῦτα μὲν φησὶ περὶ τῆς Ἰοκάστης, ὅτι ἀνεπιτήδεια λέγει περὶ τῶν θείων νόμων. Τὸν δὲ λόγον ποιοῦσι περὶ τῆς τυραννίδος, ἵνα μὴ δόξωσιν ἐμφανῶς αὐτὴν διελέγχειν. Ὁ δὲ νοῦς· Ὕβρις φυτεύει τύραννον, ὁπόταν πολλῶν ὑπερ-

[a] Brunckius καὶ τῶν βλασφημιῶν.
[b] Ita Stephanus pro τεχθέντι.
[c] Deest gl. in ed. Rom.
[d] Brunckius inseruit κακά.

πλησθῇ μάτην, ἅ ἐστι μηδὲ ἐπίκαιρα, μηδὲ ἑαυτῷ ἐκείνῳ συμφέροντα. Ἀσυνδέτως δὲ εἶπεν. Ὕβρις (φησὶ) μηδὲν καίριον διαπραττομένη, εἰς δύσβατον ἀκρώρειαν ἀναβιβάσασα τοὺς χρωμένους αὐτῇ, [a] κατεκρήμνισεν. Ἢ οὕτως· ἀπότομον ὤρουσεν εἰς ἀνάγκην, ἥλατο εἰς τοῦτο, ὥστε αὐτὸν εἰς ἀνάγκην γενέσθαι ὑφ' ἑτέρων κρατηθῆναι.

878. Ἔνθ' οὐ ποδὶ χρησίμῳ: Εἰ μὲν ἐπὶ τοῦ ὑπὸ ὕβρεως δυσσεβοῦντος, ἔσται οὕτως· οὐ βαδίζει ὀρθὴν ὁδὸν, οὐδὲ χρῆται τοῖς ποσὶ δεόντως. Εἰ δὲ ἐπὶ τοῦ ὑπὸ ἀνάγκης βιαζομένου, οὐ χρῆται τοῖς αὐτοῖς ποσίν. [Εἰς τὸ αὐτό.] Ἀντὶ τοῦ, ἀχρήστους [b] καὶ τὰς πορείας ποιεῖται.

881. Ἀξιῶ τὸν θεὸν μὴ λῦσαι τὸ συμφέρον τῇ πόλει, ἐξ οὗ κρατεῖ τῶν ἀντιπάλων.

885. Δίκας ἀφόβητος] Τὴν δίκην μὴ δεδοικώς.

888. Δυσπότμου χάριν χλιδᾶς: Ἕνεκα (φησὶ) τῆς ἀνοσίου τρυφῆς καὶ ὑπερηφανίας. Ὑπὸ τρυφῆς γὰρ καὶ [c] ἐπὶ τοιαῦτα οἱ τύραννοι παραγίνονται.

889. Ὁ τοιοῦτος ἐν κακῇ εἴη μοίρᾳ, ὃς μὴ ἀφέξεται τῶν ἀσέπτων, ἢ ἕξεται τῶν ἀθίκτων, ὅ ἐστιν, ὧν οὐ χρὴ ἔχεσθαι.

890. Ἔρξεται] Παύσεται, ἐκτὸς ἔσται.

891. Ματάζων] Ματαιοφρονῶν. Ἕξεται δὲ, ἀντὶ τοῦ, ἐπιθυμήσει τῶν ἀσέπτων καὶ ἀθίκτων.

892. Τίς ἔτι τῶν ἀδίκων ἀφέξεται, τῷ θυμῷ αὐτοῦ τὰς τῆς ψυχῆς κακίας ἀπελαύνων; [d] ἢ οὕτω· Τίς ἂν ἀπελάσειεν αὐτοῦ τὴν τιμωρίαν, τοιαῦτα πράττων;

898. Οὐκέτι ἄπειμι πρὸς τὸν Ἀπόλλωνα, οὐδὲ πρὸς τὸν ἄχραντον καὶ ἀπροσπέλαστον αὐτοῦ νεών.

*Ibid.* Ἄθικτον] Καθαρόν. Πιθανῶς δὲ τὸ ἐπίθετον, οὗ οὐκ ἀπέσχετο [e] Ἰοκάστη.

899. Ἀβαὶ, τόπος Λυκίας, ἔνθα ἱερόν ἐστιν Ἀπόλλωνος. [f] Ἢ διὰ τῶν Σαμίων, ὅτι καὶ ἐκεῖ μαντεύονται, ὡς καὶ [g] Πίνδαρος. Ἢ ἐπὶ

[a] Ita ed. Rom. pro κατεκρήμνησεν.

[b] Hoc καὶ abest ab ed. Rom.

[c] Ita Brunckius pro ἐπὶ τὰ αὐτά.

[d] MS. ἢ οὖ (sic pro οὕτω) τίς ἂν ἀπελάσειεν αὐτοῦ. Ed. Rom. ἢ οὔτις ἂν ἀπελάσειεν αὐτοῦ. Brunckius αὐτοῦ.

[e] Hoc scholio caret ed. Rom.

[f] Sic MS. vel potius η Δ τ̑ σαμι̑, quod eodem redit. Quid legendum sit, mihi non liquet.

[g] Fragm. CLXXXIV.

τῶν πανηγύρεων, ὅτι καὶ τῶν τοιούτων ἀφέξομαι, εἰ μὴ ταῦτα φανερωθῶσιν.

901. Εἰ μὴ ταῦτα τῶν χρησμῶν, ἢ τὰ λεχθέντα ὑπὸ Ἰοκάστης, φανερὰ καὶ κατάδηλα γένηται, οὐκέτι τιμήσω [a] θεούς.

906. Φθίνοντα γάρ: Ἀντὶ τοῦ παλαιὰ, παρεληλυθότα. γρ. φθίνων, ἵν᾽ ᾖ, μὴ λάθοι σε ὁ Λάϊος φθίνων, ἀλλὰ δείξαις αὐτοῦ τὸν θάνατον. Τὰ γὰρ περὶ Λαΐου μαντεύματα ἐκβάλλουσιν, καὶ οὐ παραδέχονται τὰ παρὰ τῶν θεῶν εἰρημένα, ὡς ἀληθῆ. Τὸ δὲ [b] ἐξαιροῦσιν, ἀντὶ τοῦ ἀφανίζουσιν. Τὰ γὰρ ἐπὶ Λαΐῳ θεσπισθέντα ἐκφαυλίζεται ὑπὸ Ἰοκάστης, καὶ παραγράφεται, καὶ ψευδῆ νομίζεται.

911. Ἄνακτας φησὶ τοὺς τοῦ χοροῦ, οἷον, βασιλικοὺς καὶ ἐντίμους.

914. Ὑψοῦ γὰρ αἴρει: Ἀντὶ τοῦ, [c] μετεωρίζεται τὴν ψυχὴν, καὶ ὑπερβαλλόντως ἄχθεται, πάντα λογιζόμενος· αὐτὸν τὸν φόνον· τὸ τὴν γυναῖκα ἔχειν τοῦ ἀνῃρημένου· τὴν προσδοκωμένην φυγήν· τὸ μὴ δύνασθαι ἀναστρέψαι πρὸς τοὺς οἰκείους· τὸ δέος τῶν χρησμῶν.

915. Οὐδ᾽ ὁποῖ᾽ ἀνὴρ ἔννους: Οὐχ ὡς συνετὸς ἀνὴρ διὰ τῶν φθασάντων τὰ παρόντα γιγνώσκει. Εἰ γὰρ ὁ ὑπὸ Ἀπόλλωνος δοθεὶς τῷ Λαΐῳ χρησμὸς ἠκύρωται, δῆλον ὅτι καὶ ἃ νῦν ἐμαντεύσατο ὁ Τειρεσίας, ψευδῆ ἐστιν.

917. Ἀλλ᾽ ἔστι τοῦ λέγοντος: Μόνοις προσέχει τοῖς τὰ δεινὰ καὶ φοβερὰ ἀπαγγέλλουσι. Τῶν δὲ παραμυθουμένων οὐκ ἀνέχεται.

919. Πρὸς σ᾽ ὦ Λύκει᾽ Ἄπολλον: [d] Λύκειον γυμνάσιόν ἐστιν Ἀθήνησιν, ἔνθα Ἀπόλλων τιμᾶται. Καὶ Καλλίμαχος·

[e] Ἐγὼ δ᾽ ἤντησα Λυκείου
καλὸν ἀεὶ λιπόωντα κατὰ δρόμον Ἀπόλλωνος.

Ἄγχιστος οὖν, καθὸ οὐ πόῤῥω τῆς Ἀττικῆς αἱ Θῆβαι. Ἢ καὶ ἐν Θήβαις ὁμώνυμον ἦν γυμνάσιον Λυκείου Ἀπόλλωνος. Νῦν οὖν οὐ τὸν ἐν [f] Λυκίᾳ, ἀλλ᾽ ἢ τὸν ἐν Θήβαις, ἢ ταῖς πλησιοχώροις Ἀθήναις τιμώμενον.

*Ibid.* Ἄγχιστος] Πρὸ τῶν θυρῶν γὰρ [g] ἵδρυτο.

924. Ἔρχεται ἄγγελος ἀπὸ Κορίνθου, ἀπαγγέλλων τὸν θάνατον

[a] Brunckius τιμήσω τοὺς θεούς.
[b] Ed. Rom. Ἐξεροῦσιν. Eadem τελευτέα ad v. 236. θεραπενίδι ad v. 945. et similia passim.
[c] Ed. Rom. μεταιωρίζεται contrario errore ei quem modo notavi.
[d] Ed. Rom. λύκειον pro λύκιον.
[e] Fragm. Bentl. CXLI.
[f] MS. addit τιμώμενον, quod recte omisit editor Romanus.
[g] MS. ἵδρυστο. Gl. abest ab ed. Rom.

Πολύβου, καὶ ἀντ' αὐτοῦ τύραννον τὸν Οἰδίποδα αἱρεῖσθαι. Οὗτος δέ ἐστιν [a] ὁ ἐκτεθέντα τὸν Οἰδίποδα εὑρὼν καὶ δοὺς Πολύβῳ.

928. Κἀνταῦθα ἔθηκεν τὸ ἀμφίβολον. Ὃ τέρπει τὸν ἀκροατήν.

930. Τοῦτο πρὸς τὸ, γυνὴ δὲ μήτηρ [b] ἥδε τῶν κείνου τέκνων. Τοῦτο γὰρ τέλειον ἐν γάμῳ. Ὅθεν καὶ ἐκ τοῦ ἐναντίου Ὅμηρος φησί·

[c] Καὶ δόμος ἡμιτελής.

937. Ἥδοιο μέν : Διὰ μὲν τὸ εὖ πράσσειν, καὶ ἑτέρας ἀρχῆς ἀντιλαβέσθαι, ἡσθήσεσθαι φησὶν αὐτήν· ἀσχάλλειν δὲ [d] διὰ τὸ ἀπιέναι Οἰδίπουν ἐπὶ τὰ οἰκεῖα.

938. Διπλῆν] Τοῦ τε ἥδεσθαι [e] καὶ τοῦ ἀσχάλλειν.

939. Τύραννον αὐτὸν οὑ 'πιχώριοι : Πιθανῶς ὁ ἄγγελος τὰ ἡδέα πρῶτον ἀπαγγέλλει, πρὶν εἰπεῖν τὰ περὶ θανάτου.

940. Τῆς Ἰσθμίας] Τῆς Κορινθίας. [f] Ἐκεῖσε γὰρ ὁ Ἰσθμός.

945. Ἀσμένως ἀκήκοε τῆς [g] τοῦ θανάτου αὐτοῦ, ἵνα πάλιν ἀνατρέψῃ τὰ μαντεύματα. Οἶδεν γὰρ τὸν Οἰδίποδα τοῦτο δεδοικότα.

*Ibid.* [h] Θεραπαινίδι κελεύει.

946. Παιδευτικόν τι ἔγκειται τῷ δράματι, ὡς οὐ δεῖ καταφρονεῖν τῶν θείων. Οἵ γὰρ τοιαῦτα φθεγξάμενοι, μετ' ὀλίγον φανήσονται οἷοί εἰσιν.

947. Ἵν' ἐστέ] Ὅπου ἐστέ.

952. Σκόπει] Δοκίμαζε.

957. Σημήνας] [i] γρ. σημάντωρ.

958. [k] Ἠθικῶς φησὶν ὁ ἄγγελος, ὡς οὐκ ἀπὸ τούτων θέλων ἄρξασθαι, ἀλλ' ἀπὸ τῶν ἡδέων.

960. Νόσου ξυναλλαγῇ] Κοινωνίᾳ νόσου. Ἀντὶ τοῦ, ὑπὸ νόσου.

961. Ἡ τυχοῦσα πρόφασις ἐξαρκεῖ, ὥστε τὸ παλαιὸν σῶμα ἐξενεγκεῖν τοῦ βίου.

[a] Brunckius ὁ τὸν ἐκτεθέντα Οἰδίποδα.

[b] Ita Brunckius pro γυνή τε μήτηρ τε.

[c] Il. B. 701.

[d] Ed. Rom. δὴ pro διὰ, quod ex conjectura reposuit Brunckius. MS. Δ.

[e] MS. καὶ τὸ ἀσχάλλειν. Gl. abest ab ed. Rom.

[f] Brunckius ἐκεῖ.

[g] Subaudi ἀγγελίας.

[h] Ed. Rom. Ὦ πρόσπολ'. θεραπενίδι κελεύει τοῦτο ἡ ἰοκάστη ἀσμένως γὰρ ἀκήκοε τὰ περὶ τοῦ θανάτου. ἵνα παλιν κ. τ. ἑ. ut supra.

[i] Abest ab ed. Rom. Hodie in omnibus fere libris legitur σημάντωρ. Sed membranae Laur. a prima manu σημήνας.

[k] MS. Ἠθικῶς φησὶν ὁ ἄγγελος, οὐχ ὡς. Ed. Rom. ἠθικῶς. ὁ ἄγγελος, οὐχ ὡς. Brunckius: ἠθικῶς ὁ ἄγγελος, ὡς οὐκ.

*Ibid.* Εὐνάζει] Κατακοιμίζει.

963. Τοῦτο ὁ ἄγγελος φησὶν, ὡς παραμυθούμενος, ὅτι μακραίων ἀπέθανεν, καὶ οὐ δεῖ ἐπ' αὐτῷ ἀπολοφύρεσθαι.

966. Ὧν ὑφηγητῶν] Ὑφ' ὧν μαντείαν δεχόμενος. Τῶν ὀρνεοσκόπων καὶ μάντεων.

968. Κεύθει: Ἀντὶ τοῦ, κεύθεται, κρύπτεται. Καὶ ἐν Ἀντιγόνῃ·

Μητρὸς δ' ἐν Αἴδου καὶ πατρὸς [a] κεκευθότων.

*Ibid.* Ἐγὼ δ' ὅδ' ἐνθάδε: Ἐγὼ ὁ ἐνταῦθα ὢν οὐκ ἔλαβον δόρυ, ἵνα αὐτὸν ἀποκτείνω, εἰ μήτις εἴποι, ὅτι τάχα διὰ τὸν ἐμὸν πόθον ἀπέθανεν.

970. Οὕτω δ' ἂν θανὼν εἴη 'ξ ἐμοῦ: Τοῦτο ὡς ἐπιμωκώμενος φησί. Δῆλον δὲ ἐκ τῶν ἑξῆς. Ὁ γὰρ Πόλυβος τὰ παλαιὰ θεσπίσματα (φησὶ) παραλαβὼν μηδενὸς ἄξια, κεῖται παρὰ τῷ Αἴδῃ.

976. Περὶ τοῦ λείποντος εὐλαβεῖται, τοῦ μιχθῆναι τῇ μητρί.

*Ibid.* Ὀκνεῖν] [b] Φοβεῖσθαι.

977. Ὧι τὰ τῆς τύχης: Ὧι ἡ τύχη δεξιῶς ἔχει. Ἀντὶ τοῦ, τῆς ἀγαθῆς τύχης ἐπικρατούσης.

978. Πρόνοια] Πρόγνωσις.

979. Εἰκῇ κράτιστον ζῆν] Καλὸν τὸ ζῆν [c] ἀσφαλῶς.

987. Ὀφθαλμός] Ὄψις καὶ τεκμήριον τοῦ μὴ τὰ κατὰ τὴν μητέρα ἀποβήσεσθαι, ἡ πατρὸς τελευτή.

1005. Τοῦτο] Διὰ τοῦτο.

1006. Πρὸς δόμους] Εἰς Κόρινθον.

1008. Καλῶς: Ἀντὶ τοῦ περιφανῶς.

1014. Ἆρ' οἶσθα ὅτι ἀδίκως εὐλαβῇ;

1015. Γεννητῶν] Τῶν γεγεννηκότων.

1016. Ὅτι οὐδέν σοι διαφέρει κατὰ γένος ὁ Πόλυβος.

1019. Τῷ μηδενί] Τῷ ἠλλοτριωμένῳ καὶ μὴ οἰκείῳ. Ἔτι γὰρ Πολύβου νομίζει ἑαυτόν.

1020. Ὥσπερ οὐ γέγονας ἐξ ἐμοῦ, οὕτως οὐδὲ ἐκ Πολύβου.

1023. Ἴδιον [d] τῶν ἐν παραδόξοις ἀκούσμασι, τὸ αὐτὸ πολλάκις ἐπερωτᾶν.

*Ibid.* Κᾆτα] [e] Εἶτα.

[a] V. 911. ubi recte κεκευθότοιν.
[b] Deest in ed. Rom.
[c] Ed. Rom. ἀλόγως ex conjectura. Neutra scriptura mihi placet.
[d] Ita ed. Rom. pro τὸν.
[e] Deest in ed. Rom.

1025. Ἐμπολήσας] Ἀγοράσας. Δηλοῖ δὲ ἡ λέξις καὶ τὸ εὑρών.

1029. Κἀπὶ θητείᾳ πλάνης] Μίσθιος καὶ ἐπὶ μισθῷ πλάνης. Ἔστι δὲ ἀρσενικόν.

1031. Εἰπόντος τοῦ γέροντος, ὅτι σωτήρ σοι γέγονα, ὅπερ κοινὸν ἐπὶ πάντων ἐκτεθειμένων, ἀναπυνθάνεται ὁ Οἰδίπους, ὅτι ἐν ποίῳ ἄρα κακῷ ὄντα κατὰ τὴν ἔκθεσιν, ἵνα ἐκεῖνος εἴπῃ τὸ περὶ τῶν ποδῶν, ὅπερ ἐπιγινώσκει ἡ Ἰοκάστη.

1035. Ἐκ σπαργάνων χαλεπὴν αἰσχύνην διὰ τὴν τῶν ἄρθρων βλάβην.

1037. Ὑπὸ μητρὸς ὠνομάσθην, [a] ἢ ὑπὸ τοῦ πατρὸς Οἰδίπους; ἢ, πρὸς θεῶν, τίνος εἰμὶ μητρὸς ἢ ποίου πατρός;

1046. Εἴδειτ' ἄν[b]] Ἀντὶ τοῦ εἰδείητε ἄν.

1050. Σημήνατε] [c] Εἴπατε.

1051. Ἐστοχάζετο ὁ χορὸς ἐκεῖνον εἶναι τὸν τὴν ἔκθεσιν ποιησάμενον τοῦ παιδίου, διὰ τὸ ἤδη εὐνοϊκὸν τὸ πρόσωπον αὐτοῦ στῆσαι τῷ οἴκῳ.

1053. Οὐχ ἥκιστα: Ἀντὶ τοῦ πάνυ. Αἱ γὰρ δύο ἀρνήσεις μίαν συγκατάθεσιν ποιοῦσι. Μάλιστ' ἂν ταῦτα εἴποι ἡ Ἰοκάστη.

1056. Τί δ' ὅντιν' εἶπε: Συνίησιν ἤδη τὸ πᾶν ἡ Ἰοκάστη, καὶ θέλει ἤδη ἑαυτὴν [d] διαχειρίσασθαι, πρὶν ἔκπυστα γενέσθαι τὰ κακά. Τοῦτο δὲ δηλοῖ διὰ τὸ, ἅλις νοσοῦσ' ἐγώ.

1062. Οἴεται τὴν Ἰοκάστην δυσγένειαν αὐτῷ συνειδυῖαν, ἀποκρύπτειν καὶ κωλύειν τὴν ζήτησιν.

*Ibid.* Ἐκ τρίτης] Τρίτον [e] πεπραμένης καὶ αὐτὸς τρίπρατος.

1070. Χαίρειν] Τρυφᾶν καὶ ἐναβρύνεσθαι.

1073. Ἐννοουμένη τὰ τῆς ἀναιρέσεως, αὐτὴ μὲν ἀπήλλακται, ὁ δὲ Οἰδίπους περιλέλειπται. Τὸ γὰρ αὐτοῦ πρόσωπόν ἐστι τὸ περιπαθὲς, περὶ ὃ [f] πᾶσα ἡ διάθεσις τοῦ δράματος.

*Ibid.* [g] Οἰδίπους] Ἀντὶ τοῦ, ὦ Οἰδίπου. Ἔστι δὲ Ἀττικόν.

1075. Ἀναῤῥήξῃ] [h] Ἐργάσηται.

[a] MS. ἢ ἀπὸ τοῦ πατρὸς οἰδίπους. Ed. Rom. ἢ ἀπὸ τοῦ πατρὸς οἰδίπου. Brunckius: ἢ ὑπὸ τοῦ πατρὸς, Οἰδίπους;

[b] Ita legisse grammaticum ex interpretatione constare recte monet Brunckius.

[c] Deest in ed. Rom.

[d] Ita ed. Rom. pro διαχειρήσασθαι.

[e] Ed. Rom. πεπραμένος.

[f] Ita ed. Rom. pro πᾶσιν.

[g] Lemma in ed. Rom. Τί δήποτε βέβηκεν Οἰδίπου bis mendosum est.

[h] Deest in ed. Rom.

1080. Ἐμαυτὸν τῇ τύχῃ παραδοὺς, ἀτιμίαν ἐκφεύξομαι.

1082. Τῆς γάρ] [a] Τῆς τύχης.

1084. Καὶ τοιοῦτος πεφυκὼς, οὐκ ὀκνήσω τὸ γένος ἐξερευνῆσαι τὸ ἡμέτερον.

1086. Ὑπονοοῦσιν οἱ κατὰ τὸν χορὸν χρηστότερόν τι περὶ τοῦ Οἰδίποδος, ὅτι θειοτέρου γένους τυγχάνει ἀπό τινος τῶν ὀρείων νυμφῶν. Ποιοῦνται δὲ τὸν λόγον πρὸς τὸν Κιθαιρῶνα, καὶ φασὶν, οὐκ ἔσῃ εἰς τὴν αὔριον ἀπείρατος τοῦ ἡμᾶς αὔξειν σε, ὡς τροφὸν καὶ μητέρα τοῦ Οἰδίποδος.

1087. Κατὰ γνώμην ἴδρις] Ἔμπειρος κατὰ τὴν γνώμην. Ὅ ἐστι, συνετός.

1092. Αὔξειν] Μεγαλύνειν, λέγειν.

1093. Χορεύεσθαι] Ὑμνεῖσθαι, [b] τιμᾶσθαι.

1094. Ὥσπερ τὰ θυμήρη παρέχοντα τοῖς ἐμοῖς βασιλεῦσιν. Ἐνόμιζε γὰρ ὁ χορὸς τὸν ἀναγνωρισμὸν ὑπὲρ Οἰδίποδος γίνεσθαι.

1096. Ἀναγκαίως πρὸς τὸν Ἀπόλλωνα ἀποτείνει, διὰ τὸ ἄρξαι τῶν χρησμῶν.

1099. Ἆρά τις προσπελασθεῖσα τοῦ Πανὸς ἢ τοῦ Ἀπόλλωνος θυγάτηρ. Καὶ γὰρ οὗτος νόμιος.

1103. Πλάκες] Αἱ ἐξοχαὶ, αἱ ἀνατάσεις τῶν ὀρῶν. Ἀγρονόμοι δὲ, ἔνθα τὰ ἄγρια νέμεται, ὅ ἐστι, τὰ μὴ ἥμερα θηρία.

1104. Εἴτε ὁ Ἑρμῆς, εἴτε ὁ Διόνυσος ἀπό τινος νύμφης γεννηθέντα σε ἀνεδέξατο.

*Ibid.* Ὁ Κυλλάνας ἀνάσσων] Ὁ Ἑρμῆς. Νόμιος γάρ.

1110. Μὴ συναλλάξαντα: [c] Μὴ κοινωνήσαντα. Τουτέστι, μὴ συντυχόντα, μὴ εἰς ἀμοιβὴν καὶ ὁμιλίαν ἐλθόντα. Θεασάμενος δὲ ὁ Οἰδίπους τὸν πρεσβύτην ἐρχόμενον, ὃν μετεπέμψατο, στοχάζεται μὲν εἶναι αὐτὸν, ἐκ τοῦ γήρως καὶ τῶν ἀγόντων οἰκετῶν, τὴν δὲ ἐπιστήμην καὶ ἀκριβῆ γνῶσιν τῷ χορῷ ἀνατίθησιν.

1113. Τῷδέ τ' ἀνδρὶ ξύμμετρος: Τῷ Κορινθίῳ ὁμῆλιξ καὶ ἴσος ἐστὶ κατὰ τὴν ἡλικίαν.

[a] Hæc etiam desunt ed. Rom.

[b] MS. non nisi a recentiore manu habet τιμᾶσθαι.

[c] MS. Μὴ κοινωνήσαντα, μὴ συναλλάξαντα. τουτέστι μὴ συντυχόντα. Ed. Rom. Μὴ συναλλάξαντά πω. μὴ κοινωνήσαντα. μὴ συναλλάξαντα. τουτέστι, μὴ συντυχόντα. Brunckius: Μὴ συναλλάξαντά πω: τουτέστι μὴ συντυχόντα, μὴ κοινωνήσαντα.

1115. Τῇ δ' ἐπιστήμῃ: Τῇ γνώσει [a] ὑπερβάλλοις, ὡς καὶ πρὶν αὐτὸν θεασάμενος.

1121. Βλέπων] Ἀντὶ τοῦ ἐγνωκώς.

1127. Ἦν δὲ πρόσχωρος τόπος] Ἀντὶ τοῦ, ἦσαν οἱ πλησιόχωροι.

1128. Τῇδέ που μαθών] Ἀντὶ τοῦ, ἐκεῖ μαθών.

1135. Διπλοῖσι ποιμνίοις] Δύο ἀγέλαις.

1136. Συνήμην (φησὶ) τούτῳ ἔαρ, θέρος, φθινόπωρον. Καὶ οὗτοι ἂν εἶεν οἱ τρεῖς χρόνοι. Ἐμμήνους δὲ, τοὺς ἐν μησὶν ὁριζομένους, οὐκ ἐνιαυτοῖς.

1137. Ἀρκτοῦρον] Τὴν ἑῴαν ἐπιτολὴν [b] ποιούμενον. Ποιεῖ δὲ ταύτην [c] ἡλίου ὄντος ἐν παρθένῳ.

1141. Συγκατατίθεται ὁ γέρων. Ἔδει γὰρ ταῦτα πρῶτον ὁμολογῆσαι. Εἶτα [d] ἐπάγει τὰ συνεκτικώτατα, ἵνα μὴ ᾖ ἔξαρνος.

1144. Ἱστορεῖς] Ἐρωτᾷς, ζητεῖς.

1146. Αἰσθηθεὶς ὁ γέρων τοῦ παντὸς, [e] ἀρνήσασθαι βούλεται, [f] ὡς οὐκ εἰδὼς καὶ ἀποκρυπτόμενος.

1155. Ἀντὶ τοῦ] Ἀντὶ τίνος.

*Ibid.* Τί προσχρῄζων μαθεῖν] Ταῦτά με διατίθῃς.

1156. Τοῦτο πάλιν ὡς οὐκ εἰδὼς ὅτι αὐτὸς εἴη ὁ ἐκτεθειμένος ἀλλ' ὅτι διὰ τὴν ἔκθεσιν ταῦτα πάσχει.

1157. Ἥξεις] Εἰς τὸ ἀποθανεῖν, μὴ λέγων τὸ ἀληθές.

1160. Ἐς τριβάς] Εἰς βραδυτῆτα καὶ διατριβὰς καὶ ἀναβολάς.

1166. Εἰ δευτέραν [g] ἀναμείνῃς ἐξέτασιν.

1174. Ἀναλώσαιμι] Ἀπολέσαιμι.

1175. Τεκοῦσα τλήμων] Κατ' ἐρώτησιν.

1176. Τοὺς τεκόντας] Κατὰ σύλληψιν. Οὐ γὰρ φονεύει τὴν μητέρα.

1177. Παρατηρητέον ὅτι τὸν γέροντα μετεπέμψατο ἐπὶ τὸ ἀνακρῖναι τὸν φόνον τοῦ Λαΐου. Καὶ προβληθέντος ἑτέρου τινὸς, ἐπὶ τὸ ἀναγκαιότερον τρέπεται.

1182. Ἐξίκοι] Ἀποβαίη.

[a] Ed. Rom. ὑπερβάλλεις.

[b] Ita ed. Rom. pro ποιούμενος.

[c] MS. ἡλίου ὄντος παρθένωι. Ed. Rom. ἡλίου ὄντος ἐν τῇ παρθένῳ. Pro ἡλίου MS. habet notam tachygraphicam, quam exhibent verba ὁ ἥλιος ὑπὸ τῶν κρητῶν οὕτως λέγεται apud Bastium p. 834.

[d] Ed. Rom. ἐπάγειν.

[e] Brunckius ἀρνήσεσθαι.

[f] MS. οὐκ ὡς εἰδὼς hic et ad v. 1156.

[g] MS. ἀναμείνοις. Brunckius ἀναμένοις.

1183. Εὖ πεπλαγίασται ὁ λόγος, [a] ὡς τὴν πήρωσιν αἰνιττομένου. Ἀλλ' ἐπὶ τὸν θάνατον αὐτῷ ὁ λόγος. Ἀπορήσας γὰρ ξίφους, ἑαυτὸν ἐτύφλωσεν.

1186. [b] Καὶ ἐν Αἴαντι·

> [c] Ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν
> εἴδωλ', ὅσοιπερ ζῶμεν, ἢ κούφην σκιάν.

Καὶ Πίνδαρος·

> [d] Τί δέ τις; τί δ' οὔτις; σκιᾶς ὄναρ ἄνθρωποι.

1188. Ἐναριθμῶ] [e] Ἐξαριθμοῦμαι, ἵν' ᾖ ῥῆμα πρώτου προσώπου, καὶ οὐ δοτικὴ ἀρσενικοῦ.

1191. Ὅσον δόξαι εὐδαίμων εἶναι. Κατ' ἀλήθειαν δὲ [f] τοῦτο ἀνθρώπῳ οὐκ ἔστιν·

> [g] Τὸ τῆς τύχης γὰρ ῥεῦμα μεταπίπτει ταχύ.

1192. Ἀποκλῖναι] Πεσεῖν, [h] ἢ ἀποβαλεῖν.

1193. Τὸν σὸν βίον παράδειγμα ἔχων, οὐδένα μακαρίζω καὶ εὐδαιμονίζω.

1196. Τοξεύσας] Ἐπιτυχὼν, εὐτυχήσας.

1198. Τὰν γαμψώνυχα παρθένον] Τὴν Σφίγγα.

1200. Θανάτων: Τῶν ὑπὸ τῆς Σφιγγὸς γινομένων. Πύργος δὲ, ἀντὶ τοῦ, ἀσφάλεια καὶ ἀπαλέξησις γέγονε.

1204. Ἀκούειν] Εἰς τὸ ἀκούειν.

1206. Ξύνοικος ἀλλαγᾷ βίου] Συνοικῶν τῇ τοῦ βίου μεταβολῇ.

1208. Ὧι ὑποδοχὴ εἰς τὸ ἄμφω δέξασθαι, σὲ καὶ τὸν πατέρα. Ἢ ὅτι μήτηρ ἦν καὶ γυνὴ ἡ Ἰοκάστη, ἣν λέγει λιμένα. Θαλαμηπόλῳ δὲ, νυμφίῳ.

1211. Ἄλοκες] Ἀντὶ τοῦ αὔλακες, αἱ κοῖται, αἱ σποραὶ, οἱ γάμοι.

1212. Σῖγ' ἐδυνάσθησαν] Πῶς (φησὶ) φωνὴν οὐκ ἔρρηξαν.

1218. Περίαλλα] [i] Περιάλλως, ὑπερβολικῶς.

---

[a] Ed. Rom. οὐχ ὡς.

[b] Ed. Rom. οὕτως καὶ ἐν αἴαντι. Brunckius οὕτως ἐν Αἴαντι.

[c] V. 125. MS. οὐδὲν ἄλλο πλὴν εἴδωλον.

[d] Pyth. VIII. 135.

[e] Ed. Rom. ἐναριθμοῦμαι.

[f] Ita ed. Rom. pro τούτωι.

[g] Postrema verba senarium esse Menandri apud Clericum p. 34. et Etymologum M. p. 685, 38. monuit Porsonus ad Med. 139, 140. p. 404. ed. sec. Lips.

[h] Scripserat librarius ἐπαρθῆναι ἢ πεσεῖν ἢ ἀποβαλεῖν. Sed prima duo verba postea delevit.

[i] Sic ed. Rom. pro περὶ ἄλλωι. MS. non nisi a recentiori manu habet ὑπερβολικῶς.

1221. Ἀνέπνευσα διὰ σὲ, καὶ νῦν κατέμυσα τὸ ὄμμα. Ἐξ οὗ δηλοῖ καὶ ἐπήρθημεν περισωθέντες.

1223. Ἐξάγγελος ἔρχεται [a]ἀπαγγέλλων ὅτι ἀγχόνῃ ἐτελεύτησεν ἡ Ἰοκάστη, καὶ ὁ Οἰδίπους ἑαυτὸν ἐτύφλωσεν.

1225. Ἀρεῖσθε] Λήψεσθε.

*Ibid.* Ἐγγενῶς] Γνησίως.

1231. Ἑκουσίως γὰρ ἑαυτὸν καὶ ὁ Οἰδίπους ἐτύφλωσεν, καὶ ἡ Ἰοκάστη ἀπήγξατο. Μάλιστα (φησὶ) τῶν κακῶν λυπεῖ τὰ μὴ ἐκ τύχης συμβάντα, ἀλλ' ὥσπερ ἐπίσπαστα καὶ αὐτάγρετα γινόμενα.

1241. Τὸ ἑξῆς· ὅπως [b]εἰσῆλθεν ἔσω, ἐπιῤῥήξασα τὰς πύλας, τουτέστι, κλείσασα. Ὅμηρος·

> [c]Τὸν τρεῖς μὲν ἐπιῤῥήσσεσκον Ἀχαιοὶ,
> τρεῖς δ' ἀναοίγεσκον.

Καλῶς δὲ τοῖς λέκτροις ἐπεμπίπτει. Δι' αὐτὰ γὰρ ἀπόλλυται.

1247. Τὴν δὲ τίκτουσαν λίποι] Τὴν δὲ γυναῖκα λίποι τὴν ἑαυτοῦ. Τουτέστι, τῷ υἱῷ γυναῖκα παιδοποιόν.

1254. Περιπολοῦντα] Περιερχόμενον ὥσπερ ἐμμανῆ.

1262. Ἔκλινε] Ἀνέτρεψε [d]τὰς θύρας, καὶ κατέβαλεν ἐκ τῶν πυθμένων.

1264. Ἑώρα λέγεται κρέμασις, ὕψωσις, μέταρσις. [e]Ὅθεν καὶ μετέωρον.

1266. Ἀρτάνην] [f]Δεσμόν. [Εἰς τὸ αὐτό.] [g]Τὴν ἀναρτητικήν. Κυρίως δὲ ἀρτάνη λέγεται ἡ ἐκ τῶν καλῳδίων ἀγχόνη.

1273. Τὸ συμβαῖνον πᾶσι τοῖς τυφλοῖς εἶπεν. Οὐχ ὁρῶντες γὰρ, πολλάκις συμπίπτουσιν οἷς οὐκ ἂν ἠβούλοντο, οὐχ ὁρῶσι δὲ ὧν δέονται. Ἐν σκότῳ οὖν ἔσται καὶ ἀγνωσίᾳ.

1275. Ἐφυμνῶν] Ἀνοιμώζων.

1276. Ἤρασσε] Ἀπαπετάσας τοὺς ὀφθαλμοὺς ἔπαιεν.

1286. Ἐν τίνι σχολῇ] Ἐν ποίᾳ διατριβῇ.

1287. Πιθανὴ ἡ αἰτία τοῦ ἐξιέναι αὐτὸν, ἵνα (φησὶ) δείξῃ τοῖς πολίταις, ὅτι ἀξίως ἑαυτὸν ἐτιμωρήσατο ἐπὶ ἀκουσίοις παθήμασι,

[a] Brunckius ἀπαγγελῶν.
[b] Ita ed. Rom. pro εἰσῆλθες.
[c] Il. Ω. 454. MS. τρεῖς ἐπιρήσεσκον.
[d] Ed. Rom. τὰς πύλας.
[e] Verba ὅθεν καὶ μετέωρον neque a prima manu in MS. neque in ed. Rom. leguntur.
[f] Deest in ed. Rom.
[g] Ita ed. Rom. pro τὴν ἀναρτικήν.

καὶ ὡς μέλλων ἑκοντὶ ἐξιέναι τῆς πόλεως διὰ τὰς ἀρὰς ἃς ἔφθασεν ἐπαρασάμενος.

1297. Ἴσως οἱ κατὰ τὸν χορὸν ἰδόντες ἀπεστράφησαν, μὴ δυνάμενοι θεάσασθαι τὸ πάθος.

1307. Ποῦ εἰμι; ἐν ποίῳ χωρίῳ ἡ φθογγή μου φέρεται; τίνος ἀκούω; ποῦ ἐστιν ἡ φθογγὴ, ἥτις σφόδρα μοι διαπέταται, ἧς φερομένης ἀκούω; ἢ οὕτως· ἀντὶ τοῦ, [a] ἀπέπτη μου καὶ ἡ φωνή.

1311. Ἡ μεταφορὰ ἀπὸ τῶν ἀγωνιζομένων [b] πένταθλον καὶ ἁλλομένων.

1313. Ἀπότροπον] Ὃ ἄν τις [c] ἀποτρέψαιτο.

1314. Ἄφατον] Ἀφάτως [d] ἐπεληλυθός.

1316. Δυσούριστον] Ὅρον μὴ ἔχον, ἀλλ' ἀεὶ παραμένον· δυσπερίοδευτον. Ἀδάμαστον δὲ, ἀνίατον, ὃ οὐδεὶς δαμάσαι δυνήσεται, [e] ἢ σκληρὸν καὶ τραχὺ, ἀπὸ τοῦ ἀδάμαντος.

1317. Οἷον, ὁμοῦ με εἰσέδυ ἥ τε ἀπὸ τῆς πηρώσεως ἀλγηδὼν, καὶ ἡ τῶν κακῶν ὑπόμνησις.

1318. Εἰλήφει γὰρ αὐτὸν ὀδύνη, ἐπεὶ νεωστὶ τοῖς κέντροις ἐπεπήρωτο.

1321. Ἐμὸς ἐπίπολος] [f] γρ. καὶ ἐμοῖς ἐπὶ πόνοις.

*Ibid.* Ἐπίπολος] Περιπολῶν ἐμὲ καὶ περιμένων ἔτι. Νῦν δὲ τοὺς ἀπὸ τοῦ χοροῦ γνωρίζει, ἴσως διὰ τὸ τεταράχθαι ἐπὶ τῷ τοσούτῳ προσφάτῳ κακῷ.

1328. Ἐπῆρε] Ἔπεισε. Καὶ Εὐριπίδης·

> [g] Ὅστις μ' ἐπάρας ἔργον ἀνοσιώτατον.

1347. Δείλαιε τῆς συνέσεως ἕνεκεν, καὶ τῆς συμφορᾶς χάριν. Χαλεπὸν γὰρ συνετῷ ἀνθρώπῳ τὰ τοιαῦτα συνενεχθῆναι.

1349. Ἀπόλοιτο (φησὶν) ὅστις ἀπὸ τῆς ἀγρίας πέδης τῆς διανεμομένης τοὺς πόδας μου, ἔλαβεν καὶ διέσωσέ με.

1350. Ἐπιποδίας] Ἐν τῇ δημοσίᾳ ὁδῷ τῇ ὑπὸ τῶν νομέων πατουμένῃ.

1353. Εἰς οὐδενὸς χάριν τὴν ἐμὴν σωτηρίαν ἐργαζόμενος. Ἀντὶ τοῦ, μηδὲν χρηστὸν ἐργασάμενος ἐν τῷ διασῶσαί με.

[a] Ed. Rom. ἀπέπτη ἡ φωνὴ omisso μου καί.
[b] Ita ed. Rom. pro πεντάθλων.
[c] Ita ed. Rom. pro ἀποστρέψαιτο.
[d] Ita ed. Rom. pro ἐπεληλυθότος.
[e] Ita ed. Rom. pro ἢ σκληρὸν ἢ τραχύ.
[f] Deest in ed. Rom.
[g] Or. 286.

1354. Θανών] Ἀντὶ τοῦ θανόντος. Ἢ τὸ ἦν ἀντὶ τοῦ ἤμην.

1362. Ἐξ ὧν [a] ἐτέχθην, ἐξ αὐτῶν καὶ τέτοκα.

1364. Εἴτι κακοῦ κάκιον, τοῦτ᾽ ἔλαχεν Οἰδίπους.

1369. Τάδε] Τὰ τῆς τυφλώσεως.

1371. Φησὶ πρὸ τοῦ θανάτου ταῦτα διαθεῖναι, ὅπως ἂν τοῖς γονεῦσι καθ᾽ Ἅιδου μὴ συντυγχάνῃ ὁρῶν· εἶναι γὰρ αὐτῷ τοῦτο αἰσχρόν.

1374. Κρείσσον᾽ ἀγχόνης] Ἀγχόνης [b] ἐπικρατέστερα, ἅπερ οὐκ ἦν ἰᾶσθαι οὐδὲ ἐν θανάτῳ. Διὰ τούτου οὖν ἀπολογεῖται, ὅτι μεῖζον κακὸν διεπράξατο εἰς ἑαυτὸν, ἢ εἴπερ ἦν τελευτήσας.

1375. Ἀλλ᾽ ἡ τέκνων] Ἐν ἐρωτήσει.

1384. Κηλῖδα] Ὄνειδος καὶ συμφοράν.

1396. Κάλλος κακῶν] Ὡς εἰ ἔλεγεν, τὸ κράτιστον τῶν κακῶν.

*Ibid.* Ὕπουλον] [c] Ὕποπτον.

1400. Τοὐμὸν αἷμα] [d] Τὸ πατρὸς φησίν.

1406. Ἐμφύλιον] Συγγενικόν.

1413. Ἴτε] Πορεύεσθε.

1416. Ὧν ἐπαιτεῖς] Ὧν χρείαν ἔχεις εἰς βοήθειαν.

1425. Γένεθλα] [e] Τὰ τέκνα.

1434. [f] Ὑπὲρ σοῦ γὰρ καὶ οὐχ ὑπὲρ ἐμαυτοῦ λέξω.

1438. Ὁ μὲν τῷ προειρημένῳ χρησμῷ ἀξιοῖ ἀκολουθεῖν, ὅτι δεῖ ῥίπτειν αὐτὸν ἀπὸ τῆς χώρας. Ὁ δὲ Κρέων ἐπανέρεσθαι φησὶ δεῖν, ὅτι καὶ Λαΐου παῖς καὶ βασιλεὺς τυγχάνει.

1442. Ἡ χρεία ἡ κατέχουσα ἡμᾶς (φησὶ) ταῦτα ἀπαιτεῖ.

1443. [g] Ἵνα καὶ μετὰ γνώμης θεοῦ ἀπέλθῃς.

1453. Κύριον] Ἴδιον. Ἢ ὀφειλόμενον [h] καὶ κεκυρωμένον.

1454. Ἵνα δόξω νῦν ἀναιρεῖσθαι ἐν τῷ Κιθαιρῶνι, καθὼς τοῖς γονεῦσιν ἐδόκει. Καὶ νῦν τῷ βουλήματι αὐτῶν ἀπόλλυμαι.

1463. Αἶν] [i] Δυϊκόν ἐστι. Τῶν κορῶν.

[a] Ed. Rom. ἐτέχθη. Correxit Stephanus.

[b] Ita ed. Rom. pro ἐπικρατεστέρα.

[c] Ed. Rom. Κακῶν ὕπουλον. ὕποπτον. κρυπτόν. ὡς εἰ ἔλεγε, τὸ κράτιστον τῶν κακῶν.

[d] MS. ταῖ πρς φ. Hæc gl. cum duabus sequentibus absunt ab ed. Rom.

[e] Haec etiam.

[f] MS. bis ὑπό. Ed. Rom. ὑπὲρ σοῦ καὶ οὐχ ὑπὲρ ἐμαυτοῦ λέξω.

[g] Lemma in ed. Rom. Καὶ γὰρ σὺ νῦν τ᾽ ἂν τῷ θεῷ πίστιν φέροις. Manifesto spectat schol. ad verba ἄμεινον ἐκμαθεῖν τί δραστέον.

[h] Brunckius ἢ κεκυρωμένον.

[i] Hanc gl. et sequentem omittit ed. Rom. MS. priorem ad v. 1465. alteram ad v. 1463. habet.

1465. Μετειχέτην] Ἀντὶ τοῦ ἐμοί.

1472. Αἰσθάνεται τῶν θυγατέρων παρουσῶν.

*Ibid.* Τοῖν μοι φίλοιν] Ἀντὶ τοῦ, τῶν ἐμῶν θυγατέρων. Δέον δὲ εἰπεῖν δακρυῤῥοούσαιν, ἀρσενικῶς ἐξένεγκεν. Ἔστι δὲ Ἀττικώτερον, ὡς τὸ, μὰ τὼ θεὼ, [a] καὶ τὼ χεῖρε.

1482. Αἵτινες χεῖρες τὰ πρόσθεν λαμπρὰ ὄμματα τοῦ ὑμετέρου πατρὸς ὧδ᾽ ὁρᾶν προυξένησαν.

1483. Προυξένησαν] [b] Περιεποίησαν.

1488. Πῶς ὑμῖν βιῶναι ἐκ τῶν ἀνθρώπων ἀνάγκη. Ἢ ἡ προς ἀντὶ τῆς μετα, ἀντὶ τοῦ, μετὰ ἀνδρῶν.

1493. Παραῤῥίψει] Συζεύξει.

1498. Κὰκ τῶν ἴσων] Ἐκ τῆς ἀρούρης τῆς αὐτῆς.

1500. Ὀνειδιεῖσθε] Ὑβρισθήσεσθε.

1508. Τηλικάσδε] Ἀντὶ τοῦ μικράς.

1513. Οὗ καιρός] Καθ᾽ Ἅιδου.

1521. Ἀφοῦ] Ἀφίστασο. [c] Τῇ προσῳδίᾳ δὲ ὡς ἀφαιροῦ.

1523. Ὅσα νενίκηκας, οὐ συνήνεγκέ σοι. Καὶ αὐτάρκως ἔχει τὸ δρᾶμα. Τὰ γὰρ ἑξῆς [d] ἀνοίκεια γνωμολογοῦντος Οἰδίποδος.

1525. Ἤιδει] [e] Ἔγνω.

*Ibid.* Κράτιστος] Μέγιστος.

1529. Μηδὲν ὀλβίζειν, πρὶν ἂν] γρ. πάντα προσδοκᾶν ἕως ἄν.

[a] Brunckius: καὶ τὸ, τὼ χεῖρε.

[b] Quae nunc leguntur ad vv. 1483. 1493. 1498. 1513. 1525. 1529. absunt ab ed. Rom.

[c] Brunckius: τῇ προσῳδίᾳ δὲ ἔλη, ὡς ἀφαιροῦ.

[d] Ita ed. Rom. pro ἀνοίκια.

[e] Gl. ἔγνω et μέγιστος sunt variae lectiones ex Euripidis Phoen. 1747. ubi vulgo legitur: ὃς τὰ κλεῖν᾽ αἰνίγματ᾽ ἔγνω, καὶ μέγιστος ἦν ἀνήρ.

# ΕΙΣ ΤΟΝ ΕΠΙ ΚΟΛΩΝΩΙ ΟΙΔΙΠΟΔΑ.

1. ΟΙΔΙΠΟΥΣ εἰς Ἀθήνας παραγενόμενος, ἐρωτᾷ τὴν θυγατέρα Ἀντιγόνην.

3. Τίς τὸν πλανήτην Οἰδίπουν: Ἔστι μὲν ἀφ' ἑτέρας ἀρχῆς λαμβάνοντα λέγειν οὕτω· τίς τὸν πλανήτην Οἰδίπουν δέξεται; δύναται δὲ καὶ τοῖς ἄνω συνάπτεσθαι, τοῦ τίς μὴ πυσματικῶς κειμένου, ἀλλ' ἀντὶ τοῦ ἢ ἄρθρου, [a] ὥστε τῷ πόλιν συντετάχθαι, καὶ τὸν λόγον ἔχειν οὕτως· τίνας χώρους ἀφίγμεθα, ἢ τίνων ἀνδρῶν πόλιν, ἢ τὸν πλανήτην Οἰδίπουν δέξεται; [b] ὅτι δὲ τὸ τίς ἀντὶ ἄρθρου χρῶνται, Καλλίμαχος φησὶν οὕτως·

> Ὑπεὶρ ἅλα κεῖνος ἐνάσθη
> [c] Ἀλκαθόου τις ἄπυστος.

Ἠθικώτερον δὲ τὸ πρῶτον. [Εἰς τὸ αὐτό.] Ἀντὶ τοῦ ἢ ἄρθρου τὸ τίς. [Εἰς τὸ αὐτό.] Τίς ἡμᾶς σήμερον ὑποδέξεται.

4. Σπανιστοῖς: [d] Εὐτελέσι, τοῖς κατὰ σπάνιν τοῦ αἰτοῦντος διδομένοις.

6. Μεῖον φέροντα] Βραχύτερον ἀποφερόμενον τοῦ αἰτηθέντος. Οὐ γὰρ ὅσα αἰτεῖ τις, λαμβάνει.

*Ibid.* Καὶ τόδ' ἐξαρκοῦν] Ὅμως γοῦν τούτοις ἀρκούμενος.

7. Στέργειν γὰρ αἱ πάθαι: Ταῦτά με στέργειν τὰ δυστυχήματα ὁ πολὺς πεποίηκε χρόνος, καὶ τὸ τῶν συμφορῶν πλῆθος, καὶ τὸ τῆς ἀνδρείας πλεονέκτημα. Πάθαι γὰρ αἱ συμφοραί. Ἀπὸ κοινοῦ δὲ τὸ [e] διδάσκει, ἀντὶ τοῦ, εἴθισμαι τῷ πολλῷ χρόνῳ, καὶ μεμελέτηκα τῆς τύχης τὰ δύσκολα.

9. Θάκοισιν] Καθέδραις.

[a] Ita Brunckius. MS. ὥστε τῷ παιδὶ νοῦν τετάχθαι. Ed. Rom. ὥς τε τῷ πόλις συντετάχθαι.

[b] Brunckius ὅτι δὲ τῷ τις ἄντι ἄρθρου χρῶνται. Vide ad Oed. T. 1. Posthac scripturam MS. tacite sequar.

[c] MS. ἀλκάθου τις ἄπτυστος. Ed. Rom. ἀλκάθοόν τις ἄπτυστος. Bentleius F. CCLXXII. Ἀλκάθοόν τις ἄπυστος. Brunckius Ἀλκάθοον τὶς ἄπυστος.

[d] Brunckius: ὀλίγοις, εὐτελέσι.

[e] Ita ed. Rom. pro διδάσκουσιν. Eadem mox ἤθισμαι.

10. Ἢ πρὸς βεβήλοις: Βέβηλος τόπος ἐστὶν ὁ ἀκάθαρτος [a] καὶ βατὸς πᾶσι. Καὶ βέβηλος ἀνὴρ, ὁ μιαρός. Εὐριπίδης [b] Πρωτεσιλάῳ·

Οὐ γὰρ θέμις βέβηλον ἅπτεσθαι δόμων.

Καί·

[c] Ἀείδω ξυνετοῖσι· θύρας δ' ἐπίθεσθε βέβηλοι.

Βεβήλοις οὖν, τοῖς πᾶσι βασίμοις τόποις, μηδὲ ἀνειμένοις θεοῖς. Ἐκ μεταφορᾶς δὲ βεβήλους καὶ τοὺς ἀμυήτους φασὶ καὶ ἀκαθάρτους. Σοφοκλῆς δὲ ἐν Συνδείπνῳ βέβηλον τὸν ἰδιώτην φησί.

*Ibid.* Βεβήλοις] Βατοῖς.

11. Στῆσόν με ἐκ τῆς ὁδοιπορίας, καὶ μαθησόμεθα.

*Ibid.* Πυθοίμεθα] Μαθησόμεθα.

12. Μανθάνειν γὰρ ἥκομεν: Εἰς γὰρ τοῦτο (φησὶν) ἐληλύθαμεν, ἅτε δὴ ξένοι ὄντες, παρὰ τῶν ἀστῶν μανθάνειν τί ἐστι πρακτέον ἡμῖν.

14. Πάτερ ταλαίπωρε: Οὐκ [d] ἐμπαροινεῖν βουλομένη τῷ πατρὶ, ταλαίπωρον ἀποκαλεῖ, ἀλλὰ τοῦ πάθους [e] παριστᾶσα τὸ μέγεθος. Πωρεῖν δὲ οἱ Ἠλεῖοι τὸ πενθεῖν [f] φασί. Καὶ Ἀντίμαχος·

[g] Πωρήτοιν ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἕκαστος.

Παρὰ τοῦτο οὖν ταλαίπωρος ἐτυμολογεῖται.

15. Ὡς ἀπ' ὀμμάτων πρόσω: γρ. ὡς ἀνομμάτῳ, ὅ ἐστιν, ὡς τυφλῷ σημῆναι, πρόσω εἰσὶν, ὡς ἄν τις πόῤῥω ἀφορῶν τεκμήραιτο. Ὡς ἄν τις τὰ ὄμματα πόῤῥω ἔχων. [Εἰς τὸ αὐτό.] [h] Ὡς ἔστιν ἐκ προόψεως τεκμήρασθαι.

*Ibid.* Ὡς] [i] Λίαν.

16. Βρύων] Πλήθων.

17. Πυκνόπτεροι δ' εἴσω: Οἷον, κατὰ τὸν χῶρον. Ἐκράτησε δὲ μεγάλως τῇ φράσει, ὥστε μέλισσαν αὐτὸν ἐκάλεσαν οἱ κωμικοί.

18. Κατ' αὐτὸν] Κατὰ τὸν χῶρον.

[a] Brunckius καὶ πᾶσιν ὢν βατός.

[b] Fragm. I. MS. βεβήλοις. Triclinius aliique βέβηλον.

[c] Versus Orphicus, de quo vide Wyttenbachium ad Plutarchum T. II. p. 391. D.

[d] Ita ed. Rom. pro ἐκπαροινεῖν.

[e] Ed. Rom. παριστῶσα.

[f] Ed. Rom. φασι pro φη.

[g] Ita MS. mendose. Ed. Rom. Πῶρος τοί γ' ἀλόχοισι κ. τ. ἑ. Triclinius: ταλαιπωρεῖν δὲ καὶ τὸ πενθεῖν οἱ ἠλεῖοί φασιν, ὡς Καλλίμαχος, Ταλαιπωρείτην ἀλόχοισι, καὶ οἷς τεκέεσσιν. Apud Suidam v. Ταλαίπωρος duo exempla ex Antimacho afferuntur: primum, Πῶρον τίν' ἀλόχοισι, καὶ οἷς τεκέεσσιν ἔθεντο: alterum, Πωρητὸν ἀλόχοισι, καὶ οἷς τεκέεσσιν ἕκαστος.

[h] Verba ὡς ἔστιν ἐκ προόψεως τεκμήρασθαι lemma habent in ed. Rom. Ὡς ἀπεικάσαι.

[i] Deest in ed. Rom. Sic etiam πλήθων ad v. 16.

*Ibid.* Εὐστομοῦσιν: Εὐφθογγοῦσιν, εὐφώνως ᾄδουσιν.

19. Πέτρου] Ἐπὶ τοῦ λιθίνου βάθρου. γρ. Πάγου.

20. Προυστάλης ὁδόν: προῆλθες [a] μακροτέραν ὁδὸν ἢ ὡς ἥρμοζε γέροντι.

22. Χρόνου μὲν οὕνεκα: Ἀντὶ τοῦ, δεδίδαγμαι τῷ χρόνῳ τὸ φυλάττειν σε ὁδηγοῦσα. Σύνηθες οὖν τὸ [b] πρᾶγμα. Εἰς τὸ αὐτό. Τοῦ μὲν χρόνου οὗ σύνειμί σοι χάριν, [c] οὐ χρεία μαθεῖν ὅτι τυφλὸς εἶ, καὶ ὅτι δεῖ σε προμηθείας τυχεῖν.

24. Τὰς γοῦν Ἀθήνας οἶδα: Ὅτι ἐν τῇ Ἀττικῇ ἐσμεν, οἶδα· τίς δέ ἐστιν οὗτος ὁ δῆμος, ἀγνοῶ.

25. Τί ηὔδα; ὅτι αὗταί εἰσιν [d] αἱ Ἀθῆναι. Ἐμπόρων δὲ ἀντὶ τοῦ ὁδοιπόρων. Διὸ τὸ χ.

26. Ἐν ἐρωτήσει ὁ λόγος. Βούλει μάθω τίς ὁ πρὸ τοῦ ἄστεος τόπος;

*Ibid.* Ἦ] [e] Ἆρα.

27. Ἐξοικήσιμος] Ἀντὶ τοῦ ἐνοικήσιμος.

28. Οἴομαι δὲ δεῖν οὐδέν: Οὐ δεῖν [f] τοῦ ἐλθοῦσαν ἐρωτῆσαί με. Ἰδοὺ γὰρ ἀνὴρ πάρεστι, παρ' οὗ εἰσόμεθα. Οἷον, οὐκέτι δεῖν ἔοικε προϊοῦσαν μανθάνειν περὶ τοῦ τόπου. Καλῶς δὲ τὰ τῆς οἰκονομίας, ἵνα μὴ μόνος Οἰδίπους ἀπολειφθῇ.

30. Ἦ δεῦρο] Κατ' ἐρώτησιν.

31. Χ' ὥτι σοι λέγειν: Καὶ ὅπερ σοι λέγειν εὔκαιρον νομίζεις, λέγε. [g] Ἀκούσεται γάρ.

33. Ὑπέρ τ' ἐμοῦ] Τουτέστιν, ὑπὲρ ἀμφοῖν ὁρώσης.

34. [h] Οὕνεχ' ἡμῖν αἴσιος: Ὅτι αἴσιος ἡμῖν σκοπὸς ἀφῖξαι, ὥστε φράσαι περὶ ὧν ἀγνοοῦμεν· ἢ ὥστε φράσαι [i] ἡμῖν ἃ σοι λέξομεν.

35. Προσήκεις] [k] Ἦλθες.

*Ibid.* Τῶν] Ἀντὶ τοῦ τούτων.

*Ibid.* Δηλοῦμεν] Λέξομεν.

36. Πρὶν νῦν τὰ πλείονα: ἀπόστηθι πρῶτον τῶν ἀβάτων, καὶ τότε ἐρώτα.

[a] Ita ed. Rom. pro μακροτάτην.
[b] Addit Brunckius: οὐ δεῖ με μαθεῖν τοῦτο νῦν.
[c] MS. οὐ χρεῖα. Ed. Rom. οὐ χρεία. Brunckius οὐ χρείαν ἔχω.
[d] Abest articulus ad ed. Rom.
[e] Deest in ed. Rom.
[f] MS. τοῦ μὴ ἐλθοῦσαν. Ed. Rom. τοῦ προελθοῦσαν.
[g] Ed. Rom. ἀκούεται γάρ.
[h] Ita ed. Rom. pro οὕνεκ'.
[i] Brunckius ἡμᾶς.
[k] Desunt tres gl. in ed. Rom.

37. Οὐχ ἁγνόν : Οἷον, σοὶ οὐχ ἁγνὸν, εἰ μὴ μόνοις ἱερεῦσιν. Ἢ οἷον, οὐκ ἀνειμένον καὶ βατόν.

38. Τοῦ] [a] Τίνος.

39. Ἄθικτος οὐδ' οἰκητός : Φύλαρχος φησὶ δύο αὐτὰς εἶναι, τά τε Ἀθήνησιν ἀγάλματα δύο. Πολέμων δὲ τρεῖς αὐτὰς φησί.

42. Τὰς πάνθ' ὁρώσας Εὐμενίδας : Ἐπιμενίδης Κρόνου φησὶ τὰς Εὐμενίδας·

> Ἐκ τοῦ καλλίκομος γένετο χρυσῆ Ἀφροδίτη,
> [b] Μοῖραί τ' ἀθάνατοι, καὶ [c] Ἐρινύες αἰολόδωροι.

Ἴστρος δὲ ἐν τῇ δ̄ μητέρα τῶν Εὐμενίδων Εὐωνύμην ἀναγράφει, ἣν νομίζεσθαι γῆν. Ἔνιοι δὲ μεταβαλεῖν [d] αὐτὰς φασὶ τὸ ὄνομα [e] ἐπὶ Ὀρέστῃ. Τότε γὰρ πρῶτον Εὐμενίδας κληθῆναι, εὐμενεῖς αὐτῷ γενομένας κριθέντι νικᾶν παρ' Ἀθηναίοις, καὶ ὁλοκαυτήσαντι αὐταῖς ὄϊν μέλαιναν [f] ἐν Καρνείᾳ τῆς Πελοποννήσου. Φιλήμων δὲ ὁ κωμικὸς ἑτέρας φησὶ τὰς σεμνὰς θεὰς τῶν Εὐμενίδων.

43. Νιν] Ἀντὶ τοῦ αὐτάς. διὸ τὸ χ̄.

*Ibid.* Ἄλλα δ' ἀλλαχοῦ καλά : Παρ' ὅσον ἄλλοι ἄλλοις ὀνόμασιν καλοῦσιν αὐτάς. Ἄλλα ὀνόματα παρ' ἄλλοις καλὰ νομίζονται, παρ' ἡμῖν δὲ ταῦτα, τὸ ὀνομάζειν αὐτὰς Εὐμενίδας.

44. Ἀλλ' ἵλεως μέν : Ἵλεῴ μοι αἱ Εὐμενίδες. Ἐγὼ γὰρ οὐκ ἀναστήσομαι ἐντεῦθεν.

46. Τί δ' ἔστι τοῦτο] Ἀντὶ τοῦ, διὰ τί οὐκ ἀνίστασαι;

*Ibid.* Ξυμφορᾶς ξύνθημα : Σύμβολόν μοι τῆς συμφορᾶς, τὸ καταντῆσαί με εἰς Ἐρινύων ἱερόν.

48. Πρίν γ' ἂν ἐνδείξω] Ἕως οὗ τῇ πόλει ἐνδείξω τί χρὴ ποιεῖν.

50. Προστρέπω] Ἱκετεύω.

55. Ὁ πυρφόρος θεός] Ὁ Ἥφαιστος.

56. Τιτὰν Προμηθεύς : [g] Περὶ τοῦ τὸν Προμηθέα περὶ τὴν Ἀκαδήμειαν καὶ τὸν Κολωνὸν ἱδρῦσθαι, Ἀπολλόδωρος γράφει οὕτω τῇ

[a] Deest in ed. Rom.

[b] Ita ed. Rom. pro μοῖραι δ'.

[c] Ita semper MS. tam in textu quam in scholiis. Quod semel monuisse sufficit. Ed. Rom. ἐριννύες.

[d] Ed. Rom. αὐτὸν, Brunckius αὐτὰς, MS. αὐ[τ].

[e] Brunckius ἐπὶ Ὀρέστου.

[f] MS. ἐν καρυνία τῆς πελοποννήσου. Ed. Rom. ἐν καρνίᾳ τῆς πελοποννησίας. Brunckius : ἐν Καρνίᾳ τῆς Πελοποννήσου. Triclinius : ἐν Καρύᾳ τῆς Πελοπονήσου.

[g] Ed. Rom. παρὰ τοῦ τὸν προμηθέα περὶ ἀκαδημίαν. Brunckius : ὁ τὸ πῦρ βαστάσας, καὶ τοῖς ἀνθρώποις παρασχών. περὶ τοῦ τὸν Πορμηθέα παρὰ τὴν Ἀκαδημίαν.

π̄[a]. Συντιμᾶται δὲ καὶ ἐν Ἀκαδημίᾳ τῇ Ἀθηνᾷ, καθάπερ ὁ Ἥφαιστος. Καὶ ἔστιν [b]αὐτοῦ παλαιὸν ἵδρυμα, [c]καὶ βωμὸς ἐν τῷ τεμένει τῆς θεοῦ. Δείκνυται [δὲ] καὶ βάσις ἀρχαία κατὰ τὴν εἴσοδον, ἐν ᾗ τοῦ τε Προμηθέως ἐστὶ τύπος καὶ τοῦ Ἡφαίστου. Πεποίηται δὲ (ὡς καὶ Λυσιμαχίδης φησὶν) ὁ μὲν Προμηθεὺς πρῶτος καὶ πρεσβύτερος, ἐν δεξιᾷ σκῆπτρον ἔχων, ὁ δὲ Ἥφαιστος, νέος καὶ δεύτερος. Καὶ βωμὸς ἀμφοῖν κοινός ἐστιν ἐν τῇ βάσει ἀποτετυπωμένος.

57. Χαλκόπους ὁδός: Ὡς οὕτω τινὸς καλουμένου τόπου [d]ἐν τῷ ἱερῷ χαλκόποδος ὁδοῦ. Φησὶ δὲ [e]Ἀπολλόδωρος δι' αὐτοῦ [f]κατάβασιν εἶναι εἰς Ἅιδου. Καὶ Ἴστρος δὲ μνημονεύει [g]τοῦ χαλκοῦ ὀδοῦ, καὶ Ἀστυδάμας. Καί τις τῶν χρησμοποιῶν φησί·

> Βοιωτοὶ δ' ἵπποιο ποτιστείχουσι Κολωνὸν,
> ἔνθα λίθος τρικάρανος ἔχει καὶ χάλκεος οὐδός.

Τὸ [δὲ] ἑξῆς· Ὃν δ' ἐπιστείβεις τόπον χθονὸς τῆσδε, καλεῖται χαλκόπους ὁδός. Οὕτω δὲ ἐκαλεῖτο, διὰ τὸ εἶναι μέταλλα χαλκοῦ ἐν τῷ Κολωνῷ.

58. Οἱ δὲ πλησίοι γύαι] γρ. αἱ δὲ πλησίον γύαι.

60. Τὸ τοῦδε κοινόν: Τὸ τοῦ Κολωνοῦ ὄνομα κοινὸν φέρουσι πάντες, ὠνομασμένοι Κολωνιᾶται δηλονότι.

63. Τῇ ξυνουσίᾳ: Τῷ ἔργῳ, τῇ πείρᾳ [h]πλέον τιμώμενα, οὐ τοῖς λόγοις.

65. Ἐπώνυμοι] Κολωνιᾶται καλούμενοι.

66. Ἢ 'πὶ τῷ πλήθει λόγος: Ἢ ἐν τῷ πλήθει ἐστὶν ἡ ἰσχύς· τουτέστιν, [i]δημοκρατοῦνται.

71. Ἢ καταρτύσων μόλοι: Παρασκευάσων, εὐτρεπίσων. Ὅμηρος·

> [k]Ἠρτύναντο δ' ἐρετμά·

Καί·

> [l]Κλυταιμνήστρα δόλον ἤρτυε.

[a] Apud Heynium p. 400. MS. γρ. οὕτω τῆι π̄ vacuo spatio relicto. Ed. Rom. γράφει οὕτως.

[b] Ed. Rom. αὐτῷ.

[c] MS. καὶ βωμὸς ἐν τῶι τέλει. Ed. Rom. καὶ ναὸς ἐν τῷ τέλει. Brunckius: καὶ ναὸς ἐν τῷ τεμένει.

[d] Brunckius: ἐν τῷ ἱερῷ οὕτως ἐκαλεῖτο τόπος τις Χαλκόπους ὁδός.

[e] Apud Heynium p. 401.

[f] MS. καταβάσιον.

[g] MS. τοῦ χαλκοῦ ὀδοῦ. Ed. Rom. τῆς χαλκῆς ὁδοῦ.

[h] MS. πλέον καὶ τιμώμενα. Hoc καὶ ante τῇ πείρᾳ insertum habet ed. Rom.

[i] Ita ed. Rom. pro δημοκρατοῦντες.

[k] Od. Δ. 782.

[l] Λ. 438.

Τὸ δὲ ἑξῆς· Ὡς τί προσλέξων αὐτῷ μόλοι τις; ἢ, πρὸς τί εὐτρεπίσων αὐτὸν μολεῖν.

72. Ὡς ἂν προσαρκῶν: Τὰ αὐτὰ αὖθις ἐρεῖ, ὅτι ἐπ' ὠφελείᾳ τοῦτο γίνεται τῶν δεχομένων αὐτὸν καὶ θαπτόντων, ἐπὶ βλάβῃ δὲ τῶν [a] ἀποπεμψάντων.

76. Πλὴν τοῦ δαίμονος] Πλὴν τῆς τύχης.

77. Αὐτοῦ] Αὐτόθι.

84. [b] Ὦ πότνιαι δεινῶπες] Τὸ ἐντελὲς, ὦ πότνιαι. Ὁ δὲ νοῦς οὕτως· Ἐπειδὴ ἦλθον πρὸς ὑμᾶς, μὴ ἐναντιωθῆτέ μοι καὶ τῷ χρήσαντί με Ἀπόλλωνι.

*Ibid.* Εὖτε] Ὅτε, ἐπειδή.

86. Ἀγνώμονες] Ἐναντιογνώμονες, ἀσύγγνωστοι.

89. [c] Τερμίαν: Αὐτῷ εἱμαρμένην, ἐφ' ἧς ἔμελλε τὸ τέλος τοῦ βίου [d] εὑρήσειν.

90. Ξενόστασιν] γρ. καὶ κατάστασιν.

91. [e] Ἐνταῦθα κάμψειν τὸν ταλαίπωρον: Εἰσί γε οἳ φασὶ τὸ μνῆμα τοῦ Οἰδίποδος ἐν ἱερῷ Δήμητρος εἶναι ἐν Ἐτεωνῷ, μεταγαγόντων αὐτὸν ἐκ Κεοῦ τινὸς ἀσήμου χωρίου, καθάπερ ἱστορεῖν φησὶν Ἀρίζηλον Λυσίμαχος ὁ Ἀλεξανδρεὺς ἐν ιγ̄ τῶν Θηβαϊκῶν, γράφων οὕτως· Οἰδίπου δὲ τελευτήσαντος, καὶ τῶν φίλων ἐν Θήβαις θάπτειν αὐτὸν διανοουμένων, ἐκώλυον οἱ Θηβαῖοι, διὰ τὰς προγεγενημένας συμφορὰς, ὡς ὄντος ἀσεβοῦς. Οἱ δὲ, κομίσαντες αὐτὸν εἴς τινα τόπον τῆς Βοιωτίας καλούμενον Κεὸν, ἔθαψαν αὐτόν. Γινομένων δὲ τοῖς ἐν τῇ [f] κώμῃ κατοικοῦσιν ἀτυχημάτων τινῶν, οἰηθέντες αἰτίαν εἶναι τὴν Οἰδίπου ταφὴν, ἐκέλευον τοὺς φίλους ἀναιρεῖν αὐτὸν ἐκ τῆς χώρας. Οἱ δὲ ἀπορούμενοι τοῖς συμφαίνουσιν, ἀνελόντες ἐκόμισαν εἰς Ἐτεωνόν. Βουλόμενοι δὲ λάθρᾳ τὴν ταφὴν ποιήσασθαι, καταθάπτουσιν νυκτὸς ἐν ἱερῷ Δήμητρος, ἀγνοήσαντες τὸν τόπον. Καταφανοῦς δὲ γενομένου, πέμψαντες οἱ τὸν Ἐτεωνὸν κατοικοῦντες, τὸν θεὸν ἐπηρώτων τί ποιῶσιν. Ὁ δὲ θεὸς εἶπεν, μὴ κινεῖν τὸν ἱκέτην τῆς θεοῦ. Διόπερ αὐτοῦ τέθαπται. Τὸ δὲ ἱερὸν, Οἰδιπόδειον κληθῆναι.

[a] Brunckius ἀποπεμψαμένων.

[b] Lemma in ed. Rom. Ὦ πότνι' ὦ δεινῶπες sola editoris conjectura niti videtur. MS. enim in textu vulgatam exhibet.

[c] Ed. Rom. Χώραν τερμίαν. τερμίαν αὐτῷ. Brunckius: Χώραν τερμίαν: τελευταίαν αὐτῷ.

[d] Ed. Rom. ἀνύσειν pro εὑρήσειν.

[e] Brunckius: Ἐνταῦθα κάμψειν: καταλύσειν, τελειώσειν.

[f] Sic ed. Rom. pro κόμῃ.

92. Κέρδη μὲν οἰκήσαντα: Ὁ ποιητὴς χαριζόμενος τοῖς Ἀθηναίοις τοῦτο φησίν. Ἐδόκουν γὰρ τότε Βοιωτοὶ καὶ Ἀθηναῖοι πρὸς ἀλλήλους διαφέρεσθαι.

95. Ταῦτα ἐπὶ τέλους τοῦ δράματος γίνονται.

97. Οὐκ ἔσθ' ὅπως οὐ πιστόν: Οἷον, κατὰ διάνοιαν (φησὶν) ἐξ ὑμῶν τῶν θεῶν [a] εἰς τὸν τόπον ἀφῖγμαι.

*Ibid.* Πτερόν] Οἰωνός. [Εἰς τὸ αὐτό.] Τὴν πτέρωσιν τῆς διανοίας.

98. Οὐ γὰρ ἄν ποτε πρώταισιν: Οὐ γὰρ ἄν ποτε (φησὶ) τῶν ἄλλων [b] ὁδοιπόρων πρώταις ὑμῖν ἀντέσχον, εἰ μὴ βούλησθε.

100. Νήφων ἀοίνοις: Οὐ γὰρ σπένδεται οἶνος αὐταῖς, ἀλλ' ὕδωρ. Καὶ νηφάλιαι καλοῦνται αἱ σπονδαὶ αὐτῶν. Πολέμων δὲ ἐν τῷ πρὸς Τίμαιον, καὶ ἄλλοις τισὶ θεοῖς νηφαλίους φησὶ θυσίας γίνεσθαι, γράφων οὕτως· Ἀθηναῖοί τε [c] γὰρ τοῖς τοιούτοις ἐπιμελεῖς ὄντες, καὶ τὰ πρὸς τοὺς θεοὺς ὅσιοι, νηφάλια μὲν ἱερὰ θύουσι Μνημοσύνῃ, Μούσαις, Ἠοῖ, Ἡλίῳ, Σελήνῃ, Νύμφαις, Ἀφροδίτῃ Οὐρανίᾳ. Φιλόχορος δὲ καὶ περί τινων ἄλλων θυσιῶν τὸν αὐτὸν τρόπον δρωμένων φησὶν ἐν τῇ β̄ [d] τῶν Ἀτθίδων· Διονύσῳ τε καὶ ταῖς Ἐρεχθέως θυγατράσι. Καὶ οὐ μόνον θυσίας νηφαλίους, ἀλλὰ καὶ ξύλα τινὰ, ἐφ' ὧν ἔκαιον. Κράτης μὲν οὖν ὁ Ἀθηναῖος τὰ μὴ ἀμπέλινα τῶν ξύλων πάντα νηφάλια φησὶ προσαγορεύεσθαι. Ὁ δὲ Φιλόχορος ἀκριβέστερον φησὶ, τὰ μήτε ἀμπέλινα μήτε σύκινα, ἀλλὰ τὰ ἀπὸ τῶν θύμων [e] νηφάλια καλεῖσθαι. Καὶ πρώτῃ φησὶν ὕλῃ πρὸς τὰς ἐμπύρους θυσίας ταύτῃ κεχρῆσθαι, παρ' ὃ καὶ τοὔνομα λαβεῖν τὸν θύμον, ὡς παρὰ τὴν θυμίασιν καὶ τὴν θυὴν πεποιημένης τῆς φωνῆς. Εἰσὶ δέ τινες τὸ παράπαν ἄσπονδοι θυσίαι κατὰ τύχην εἰς ἔθος [f] παρελθοῦσαι.

*Ibid.* Κἀπὶ σεμνὸν ἑζόμην: ὃ ἄνω εἶπεν, [g] τοὐδ' ἐπ' ἀξέστου πέτρου. Ἀσκέπαρνον δὲ, τὸν ἄγλυφον, καὶ ἀπελέκητον καὶ [h] ἄξεστον, οὐκ εἰργασμένον.

102. Πέρασιν ἤδη: Πέρασιν ἀντὶ τοῦ πέρας, ὅ ἐστι τελευτήν. τὸ δὲ ἑξῆς· βίου πέρασιν.

[a] Brunckius ἐνταῦθα pro εἰς τὸν τόπον.

[b] MS. ὁδοιπόρῶν (deleto priori accentu) πρώτως. Scholion abest ab ed. Rom.

[c] Ed. Rom. inserit ἐν.

[d] Reponendum videtur τῆς Ἀτθίδος. Philochori Ἀτθὶς saepe memoratur.

[e] Supervacuum φησὶ recte delevit Brunckius.

[f] Ed. Rom. προελθοῦσαι.

[g] V. 19.

[h] Ed. Rom. ἄξυστον.

104. Εἰ μὴ δοκῶ τι μειόνως: Εἰ μὴ [a] δοκῶ ὑμῖν ἐλαττόνως ἔχειν τὰ κακὰ, καὶ δεῖσθαι προσθήκης κακῶν.

106. Ἴτ᾽, ὦ γλυκεῖαι: Εὐφήμως τὰς Ἐρινύας γλυκείας φησὶν, ἵνα μὴ πικραὶ αὐτῷ γένωνται.

107. Ἴτ᾽, ὦ μεγίστης] [b] Ἴτε, ὦ Ἀθῆναι.

111. Τὴν εἰσαγωγὴν τοῦ χοροῦ εὐαφόρμως θέλει ποιήσασθαι.

113. Σιγήσομαί τε: [c] Ἵνα μὴ πρὸς τούτους προπυνθανομένους ὁ λόγος γένηται, ἀλλὰ τηρηθῇ Θησεῖ παραγινομένῳ.

114. Δεῖ νοεῖν, ὅτι ἐκρύβη εἰς τὸ ἄλσος.

115. Ἐν γὰρ τῷ μαθεῖν: Ἐν τῷ προμαθεῖν ἔννοια καὶ [d] σκέψις γίνεται. Οὐ γὰρ τὸν φόβον φησίν.

117. Ὅρα τίς ἄρ᾽ ἦν: Ὁ χορὸς ἐκ τῶν ἐπιχωρίων ἀνδρῶν πεπυσμένος, ὅτι προσκαθέζεταί τις τῷ ἱερῷ τόπῳ τούτῳ, τὰ πρῶτα ὑποχαλεπαίνοντες [e] φασὶ, τίς ἄρα ἐστιν, ἢ ποῦ διατρίβει.

119. Ἐκτόπιος συθείς] Ἀπὸ ξένου τόπου ὁρμήσας.

*Ibid.* Συθείς] Ὁρμήσας.

120. Ὁ πάντων ἀκορέστατος: Παρ᾽ ὅσον οὐδεὶς αὐτῷ τῶν ἄλλων ἤρκεσε τόπων, ἀλλὰ καὶ ἐπὶ τοῦτον ἦλθεν ἀφόβως. Οἷον, ὁ μηδενὶ τῶν ἄλλων τόπων ἀρκεσθεὶς, ἀλλ᾽ ἐπὶ τοῦτον ἥκων ἀπληρώτως. Ὅτι [f] τοσούτου τόπου παρακειμένου, εἰς τὸν ἄβατον ὥρμησεν.

123. Πλανάτας] Ἀντὶ τοῦ ξένος. [g] Οὕτω γὰρ λέγουσι τοὺς ξένους.

124. Οὐδ᾽ ἐγχώριος: [h] Πάντως (φησὶ) ξένος ἐστὶν ἀγνοῶν. Οὐ γὰρ ἂν ἐπέβαινεν, εἰ ᾔδει.

126. Ἀστιβές] Ἄβατον, [i] ἀπροσπέλαστον.

127. Ἀμαιμακετᾶν] Ἀκαταμαχήτων ἢ ἀπροσπελάστων.

129. Καὶ παραμειβόμεσθ᾽ ἀδέρκτως: Οὐ προσβλέποντες, ἀλλ᾽ ἢ καταμύοντες, ἢ κύπτοντες.

131. Ἀφώνως, ἀλόγως: [k] Παριόντες (φησὶ) ταύτας τὰς θεὰς ἀλλ᾽

[a] Ed. Rom. δοκῶ pro δοκῶν, et mox προσθήκης pro προσθήκην.

[b] Deest in ed. Rom.

[c] Ed. Rom. ἵνα μὴ πρὸς τούτους ὁ χορὸς προπυνθανομένους γένηται.

[d] Brunckius inseruit τῶν πραττομένων.

[e] Ed. Rom. φασι pro φ^n.

[f] Brunckius τοσούτου γὰρ pro ὅτι τοσούτου.

[g] MS. οὐ pro οὕτω. Quum verba οὐ γὰρ λέγουσι τοὺς ξένους non intelligeret editor Romanus, scholion prorsus omisit.

[h] Ed. Rom. πάντων. Correxit Brunckius.

[i] Non exstat in MS. ἀπροσπέλαστον.

[k] Ed. Rom. παριόντες φησὶ ταύτας τὰς θεὰς. οὐδένα, λόγον ποιούμεθα. Rectius interpungunt alii. Dedi

οὐδενὸς λόγου ποιούμεθα ἀλλὰ σιωπῇ ἔχομεν. Ἐν ἑαυτοῖς δὲ μόνον καὶ κατὰ διάνοιαν εὐφημότερον διαλεγόμεθα, ὁποῖοι γινόμεθα ὅταν [a] δὲ μάλιστα ἔν τινι φρικωδεστέρῳ [b] γενώμεθα φόβῳ. Ἄκρως δὲ καινότερον διανόημα ἐξήνεγκεν μετὰ κατασκευῆς.

*Ibid.* Τὸ τᾶς εὐφήμου στόμα: Τὴν φωνήν· στόμα γὰρ ἡ φωνή. Ὅμηρος·

[c] Πολέμου στόμα.

Καὶ Σοφοκλῆς·

[d] Χαλκοστόμου κώδωνος.

Ὁ δὲ νοῦς· τὴν φωνὴν τῆς εὐφήμου φροντίδος ἱέντες. Ὅ ἐστι, μετὰ φροντίδος πολλῆς εὐφήμως τὴν φωνὴν ἀφιέντες. Εὐφημοῦντες (φησὶ) καὶ καθ' ἑαυτοὺς συλλογιζόμενοι εὔφημα. Οἱ δὲ τὸ εὐφήμου ἀντὶ τοῦ σιωπηλῆς· τὸ γὰρ εὐφημεῖν ἐπὶ τοῦ σιωπᾶν τάττεται.

132. Εὐφήμου] Σιωπηλῆς.

133. Τὰ δὲ νῦν τινα] [e] Ὑπερβατόν. Τινὰ δὲ τὰ νῦν.

134. Οὐδὲν ἅζοντα] Οὐδὲν σέβοντα, ἀσεβῆ. γρ. οὐδὲν λιάζοντα. Ἀντὶ τοῦ, [f] οὐκ ἐντρεπόμενον ἃ προσήκει.

135. Ὃν ἐγὼ [g] λεύσσων: Τὸ ἑξῆς· ὃν ἐγὼ, λεύσσων περὶ πᾶν τέμενος, οὔπω δύναμαι γνῶναι, ποῦ μοί ποτε ναίει.

137. Ναίει] Διατρίβει.

139. Τὸ φατιζόμενον] Τὸ λεγόμενον παρ' ὑμῶν.

140. Οὔπω ἀκριβῶς ἑωρακότες αὐτὸν, τοῦτο φασίν.

141. Δεινός] Ἀντὶ τοῦ ἀσεβής.

142. Ἄνομον] Λείπει τὸ ὡς. ὡς ἄνομον.

144. Οὐ πάνυ μοίρας: [h] Οὐκ ἀγαθῆς μοίρας ἀλλὰ κακῆς. Οὐ πάνυ τῆς πρώτης κατ' [i] εὐδαιμονίαν μοίρας, τοὐναντίον δὲ, τῆς κατὰ δυσδαιμονίαν ἐσχάτης. [Εἰς τὸ αὐτό.] Οὐ πάνυ μοίρας εἰμὶ πρώτης εἰς τὸ εὐδαιμονίσαι.

146. Δηλῶ: Τὸ δυστυχὲς διὰ τῶν ὀφθαλμῶν.

148. Κἀπὶ σμικροῖς μέγας [k] ὥρμουν: Καὶ ἐπὶ εὐτελέσιν αἰτήμασιν οὐκ ἂν σφόδρα ἱκέτευον, εἰ μὴ ἤμην δυστυχής. [l] Τοῦτο δὲ φησὶ

quod in MS. legitur, quamvis manifesto mendosum.

[a] Hoc δὲ delevit editor Rom.

[b] Ita ed. Rom. pro γενόμεθα φόβῳ ἄκρῳ. Mox Brunckius κοινότερον.

[c] Il. K. 8.

[d] Aj. 17.

[e] Deest gl. in ed. Rom.

[f] MS. et ed. Rom. οὐκ ἐκτρεπόμενον.

[g] Ita ed. Rom. pro λεύσων et mox pro λεύσσω.

[h] Brunckius: οὐκ ἀγαθῆς μοίρας εἰμι, φησὶν, ἀλλὰ κακῆς.

[i] Ita ed. Rom. pro εὐδαιμονίας.

[k] MS. ὥρμων.

[l] Brunckius ἢ τοῦτό φησι.

παρ' ὅσον μέγας ὢν κατὰ μέγεθος καὶ τὴν ἡλικίαν, ὑπὸ σμικρᾶς τῆς θυγατρὸς ὁδηγεῖται.

151. Φυτάλμιος] Ἀπὸ φύτλης. Ἀπὸ γενέσεως καὶ ἐξ ἀρχῆς τυφλὸς πέφυκας.

*Ibid.* Δυσαίων : Δυστυχὴς καὶ γέρων εἶ, ὡς ἔστι [a] τὸ στοχάσασθαι [b] ἀπὸ τοῦ εἴδους. Φυλακτικῶς δὲ καὶ τοῦτο λέγουσιν, ἄρτι ἑωρακότες αὐτοῦ τὸ σχῆμα, [c] τὴν πρώτην οὐχ ἑωρακότες, ἀλλ' ἀγνοοῦντες αὐτόν· ἆρα πηρὸς ἦσθα, καὶ τοιοῦτος ἐγεννήθης; οὐδέπω γὰρ τἄλλα παθήματα ἴσασιν αὐτοῦ.

*Ibid.* Δυσαίων] Δυστυχής.

152. Μακραίων τε] Λείπει τὸ εἶ.

153. Ἀλλ' οὐ μὰν ἔν γ' ἐμοί : Ἀλλ' οὐκ ἄν με (φησὶν) αἰτιάσῃ, ὡς μὴ προμηνύσαντά σοι μὴ εἰσελθεῖν εἰς τόδε τὸ ἱερόν. [d] Ἐάν τις (φησὶν) ἀγνοοῦντά τινα, καὶ μιαίνοντα τόπον ἄβατον, μὴ διδάξῃ, αὐτὸς ἐνέχεται ταῖς ἀραῖς. Οὐκ ἐμοὶ οὖν (φησὶ) προσθήσεις τὴν σὴν ἀράν. [e] Προαπαγγελῶ γάρ σοι μὴ πατεῖν τὸν ἄβατον τόπον.

155. [f] Περᾷς γὰρ περᾷς : Βαδίζεις γὰρ εἰς ὃ οὐ προσήκει χωρίον ἐπιβαίνειν.

156. Ἀλλ' ἵνα μὴ προσπέσῃς : Ἀντὶ τοῦ, μὴ προσπέσῃς. Καὶ κατὰ τὴν ἡμετέραν συνήθειαν εἰώθαμεν λέγειν οὕτως, ἵνα παραγένῃ πρὸς ἐμὲ, βούλομαί σοι σημαίνειν. Οὕτω Δίδυμος.

157. Ἀλλ' ἵνα τῷδ' ἐν ἀφθέγκτῳ : Τὸ νάπος ἄφθεγκτον εἴρηκε [g] παρὰ τὰς προδεδηλωμένας αἰτίας. Τὸ δὲ ἑξῆς· ἀλλ' ἵνα τῷδε μὴ προσπέσῃς νάπει ποιάεντι, μετάστηθι. Ποίῳ νάπει; ὅπου κρατὴρ ὕδατος πλήρης συγκιρνᾶται ῥεύματι γλυκέων πότων.

158. Κάθυδρος οὗ] Ὅπου ὕδατος πλήρης.

[a] Hoc τὸ omisit editor Rom.

[b] Ed. Rom. ἐκ τοῦ εἴδους. Praepositionis notam compendiariam eandem habet MS. quam verba ἀπὸ μεταφορᾶς τῶν τεθνηκότων apud Bastium p. 743. Sic etiam ἀπὸ τοῦ ἐσθῶ ad v. 195.

[c] Brunckius : τὰ πρῶτα γὰρ οὐχ ἑωρακότες αὐτὸν, ἀλλ' ἀγνοοῦντες φασίν.

[d] Ed. Rom. ἐάν τῖς φησὶν ἀγνοοῦντα τινὰ καὶ μὴ βαίνοντα. Brunckius: ἐὰν γάρ τις ἀγνοοῦντα τινὰ, καὶ ἐμβαίνοντα.

[e] MS. Ed. Rom. προσαπαγγελῶ. Brunckius προαπαγγέλλω.

[f] Ed. Rom. Περᾷς γὰρ περᾷς. οὕτω δίδυμος. βαδίζεις γὰρ εἰς ὃ οὐ προσήκει χωρίον ἐπιβαίνειν. καὶ κατὰ τὴν ἡμετέραν συνήθειαν εἰώθαμεν λέγειν οὕτως. ἵνα παραγένῃ πρὸς ἐμὲ, βούλομαί σοι σημαίνειν. Ἀλλ' ἵνα μὴ προσπέσῃς. ἀντὶ τοῦ μὴ προσπέσῃς. Eodem ordine MS. Sequor Brunckium, nisi quod verba, οὕτω Δίδυμος aliter collocata exhibeo.

[g] Ed. Rom. διὰ. Brunckius verba τὸ νάπος ἄφθεγκτον εἴρηκε παρὰ τὰς προδεδηλωμένας αἰτίας invitus, ut arbitror, omisit.

159. Μειλιχίων πότων: Γλυκέων πότων, ὅ ἐστι, μέλιτος, οἷς [a] μειλίσσουσι τὰς θεάς. Συγκιρνᾶται γὰρ ταύταις ταῖς θεαῖς ὕδατος καὶ μέλιτος [b] κρατήρ.

160. Συντρέχει] Συγκιρνᾶται.

161. Πάμμορε] Ὦ περὶ πάντα [c] δυστυχές.

163. [d] Μετάστηθι, ἀπόβηθι. Τίνες οὕτως· πολλά ἐστι τὰ κωλύοντά σε προσμένειν καὶ ἵστασθαι ἐν τῷ ἄλσει.

*Ibid.* Πολλὰ κέλευθος ἐρατύει: Οἷον, πολλή ἐστιν ὁδὸς ἡ διαχωρίζουσά σε ἡμῶν. Δεῖ γὰρ νοεῖν, ὡς [e] ἔτι πόῤῥωθεν [f] προσφωνοῦσιν αὐτὸν, μὴ δυνάμενοι ἐπιβῆναι τῷ τόπῳ. Καὶ ταῦτα εἰπόντων, κατὰ μικρὸν ὁ Οἰδίπους προσέρχεται, καὶ ἵσταται ὥσπερ ἐν τῷ οὐδῷ τοῦ χωρίου.

166. Ἔχεις: γρ. [g] Οἴσεις.

169. Φώνει: Εἰ θέλεις μέ τι ἐρωτῆσαι, πρῶτον ἀποστὰς τῶν ἀβάτων, καὶ ἐπιβὰς τοῖς βατοῖς τόποις, οὕτως ἐρώτα με.

*Ibid.* Πρόσθεν δ' ἀπερύκου] Πρότερον δὲ μὴ διαλέγου.

170. Λογισώμεθα [h] τί ποιήσομεν.

171. Ἀστοῖς ἴσα χρὴ μελετᾶν: Ἃ ἐκεῖνοι ἀσκοῦσι, τούτων καὶ σὲ δεῖ ἐπιμέλειαν ἔχειν. [Εἰς τὸ αὐτό.] Πρὸς τὸ,

[i] χρὴ δὲ ξένον μὲν κάρτα προσχωρεῖν πόλει.

175. Σοὶ πιστεύσας: Κατά τινα συνήθειαν ποιητικὴν, πληθυντικὸν προειπὼν, ἑνικὸν ἐπέζευξεν.

181. Ἀΐεις] Οἷον, αἰσθάνῃ ποῦ ἐσμὲν.

182. Ἔπεο μάν: γρ. [k] Ἔπεό μοι.

184. Τόλμα ξεῖνος ἐπὶ ξείνης: Ξένος ὢν ἐπὶ ξένης, [l] τόλμα, ὦ τλᾶμον, ταῦτα φιλεῖν ἃ καὶ ἡ πόλις φιλεῖ, ἐκεῖνα δὲ μισεῖν ἃ καὶ ἡ πόλις μισεῖ.

186. Τέτροφεν] Ἔχει.

[a] Ita ed. Rom. pro οἷς μελίσσουσι. Brunckius ᾧ μειλίσσουσι.

[b] MS. χρή. Ed. Rom. κρᾶμα.

[c] Ed. Rom. δυστυχὴς.

[d] Ed. Rom. Μετάστηθι. ἀπόβηθι. Deinde οὕτω πολλά ἐστι, omisso τινὲς, quod in MS. non nisi priorem syllabam habet. Brunckius: Μετάσταθ' ἀπόβαθι: ἐκ παραλλήλου. Πολλὰ κέλευθος ἐρατύει: πολλά ἐστι κ. τ. ἑ.

[e] MS. ed. Rom. ὅτι.

[f] Ita ed. Rom. pro προφωνοῦσιν.

[g] Abest ab ed. Rom. Veram lectionem esse οἴσεις constat e metro, cujus caussa scripturam frustra sollicitarunt Triclinius et Brunckius. Confer Trach. 123.

[h] Brunckius τί ποιήσωμεν.

[i] Euripides Med. 222. MS. μὴ pro μὲν. Brunckius ὡς τὸ pro πρὸς τὸ.

[k] Abest ab ed. Rom.

[l] Ita ed. Rom. pro τολμᾶν.

188. Ἴν' ἂν εὐσεβίας] Ὅπου ἂν εὐσεβῶς πατοῦντες. [Εἰς τὸ αὐτό.] Ἀντὶ τοῦ, τῶν βατῶν τόπων.

191. Καὶ μὴ τῇ αὐτῶν ἐνδείᾳ ἐναντιώμεθα.

192. [a]Ἀντιπέτρου : Τοῦ ἰσοπέτρου, τοῦ κατ' ἴσον βεβηκότος τῷ πέτρῳ· βήματος δὲ, ὅπερ ἄνω εἶπε χαλκοῦν οὐδόν. [b]Τοῦτον δὲ τὸν πέτρον ὑποτίθεται τοῦ ἀβάτου ὅριον. Καὶ ἄλλως. Βήματος, τοῦ οὐδοῦ. Ἀντιπέτρου δὲ, ὅτι ἀντὶ πέτρας [c]χαλκοῦν ἦν.

*Ibid.* Ἀντιπέτρου] Ἰσοπέτρου, χαλκοῦ.

193. Κλίνης] γρ. κινήσης.

195. Ἡσθῶ] Ἀντὶ τοῦ καθεσθῶ. Ἀπὸ τοῦ [d]ἑσθῶ τέταται. [Εἰς τὸ αὐτό.] [e]γρ. ἢ στῶ, ὃ καὶ βέλτιον.

*Ibid.* Ἐπ' ἄκρου λάου : Ἀπὸ τῆς λάος ἐστὶ παροξυνομένης εὐθείας, [f]γενομένης ἀπὸ γενικῆς τῆς λᾶος. Ὅμηρος·

[g]Λᾶος ὑπὸ ῥιπῆς.

Οὕτως Ἡρωδιανὸς ἐν τῷ ε̄ τῆς καθόλου.

197. Ἐμὸν τόδε] Τὸ ὁδηγῆσαί σε.

*Ibid.* Ἐμὸν τόδ' ἐν ἡσυχίᾳ : Ἀντὶ τοῦ, [h]ἐμόν ἐστι τοῦτο, τὸ ἁρμόσαι σου ἐφ' ἡσυχίας τὴν βάσιν τῇ καθέδρᾳ.

200. Γεραιὸν ἐς χέρα : Τὸ ἑξῆς οὕτω· γεραιὸν σῶμα σὸν προκλίνας ἐς χέρα φιλίαν ἐμήν. Τὸ δὲ κλίνας ἀπὸ τῆς μετοχῆς ἤρτηται, ἀντὶ τοῦ [i]κλίνας ἔσο. Σχηματίζει δέ πως αὐτὸν καὶ εὐθετίζει ἡ Ἀντιγόνη.

203. Ὅτε νῦν χαλᾷς : Ὅτε νῦν εἴκεις καὶ οὐκ ἀντιτείνεις τὸ ἐξελθεῖν. Λέγει δὲ ἐκ τοῦ ἱεροῦ.

[a] V. 57. MS. Ἀντιπέτρου : τοῦ ἰσοπέτρου. βήματος δὲ τοῦ κατ' ἴσον βεβηκότος τῶι πέτρωι, ὅπερ ἄνω εἶχε χαλκὸν οὐδόν. Ed. Rom. Ἀντιπέτρου. ἰσοπέτρου. χαλκοῦ. Βήματος. τοῦ κατ' ἴσον βεβηκότος τῷ πέτρῳ. ὅπερ ἄνω εἶχε χαλκὸν οὐδὸν. Brunckius : Ἀντιπέτρου βήματος : τοῦ ἰσοπέτρου χαλκοῦ. ἀντὶ πέτρας γὰρ χαλκοῦς ἦν ὁ οὐδός. Ἄλλως. τοῦ κατ' ἴσον βεβηκότος τῷ πέτρῳ, ὅπερ ἄνω εἶπε χάλκεον οὐδέν.

[b] Ed. Rom. τοῦτο. correxit Stephanus.

[c] Ed. Rom. χαλκὸς ἦν.

[d] Ed. Rom. ἀπὸ τοῦ ἕω omisso τέταται.

[e] MS. ed. Rom. γρ. ἡστῶ.

[f] Abest ab ed. Rom. γενομένης.

[g] Il. M. 462. Exciderant duo verba Ὅμηρος· Λᾶος, quae supplevit Brunckius.

[h] MS. ἐμόν ἐστι τοῦ ἁρμόσαι σου. Ed. Rom. Ἐμὸν τόδε. τὸ ὁδηγῆσαί σε. ἢ τοῦ ἁρμόσαι σου. Brunckius : ἢ τὸ ἁρμόσαι σου. Vide ad v. 1665.

[i] MS. κλίνας ἔσω. Correxit Brunckius. Ἔσο imperativus est verbi substantivi apud recentiores. Sic grammaticus noster λείπει τὸ ἔσο ad Oed. C. 1480. φρόνιμος ἔσο ad Phil. 950.

203. Χαλᾷς] [a]Ἀντὶ τοῦ θαυμάζῃ.

204. Τίς σ' ἔφυ] γρ. τίς ἔφυς.

205. Τίς ὢν πολύπονος: Τίς ὢν ἄγῃ ἀπὸ τῆς σῆς πόλεως; ἢ οὕτω· τίς ὢν διὰ πολλῶν πόνων ἄγῃ; [Εἰς τὸ αὐτό.] γρ. τίς ὁ πολύπονος.

207. Ἀπόπτολις] Ἔρημος καὶ ἄπολίς εἰμι.

*Ibid.* Ἀλλὰ μή: Τὸ ἑξῆς· ἀλλὰ μή με ἀνέρῃ τίς εἰμι, μηδὲ ἐξετάσῃς. Ἐμπαθὲς δὲ τὸ χωρίον, τῶν μὲν σπευδόντων μαθεῖν, τοῦ δὲ κατοκνοῦντος λέγειν. Οἱ δὲ διὰ βραχέων [b]ἀκούοντες, τἆλλα [c]συμβάλλουσιν. Οὐδὲν δὲ θαυμαστὸν ἐπίστασθαι τοὺς Ἀθηναίους τὰ ἐν Θήβαις πραττόμενα, μάλιστα οὕτως ἐπισήμων ὄντων τῶν κατὰ τὴν Σφίγγα.

212. Δεινὰ φύσις] Ἡ ἐμὴ γέννα δεινή ἐστι καὶ ἀθλία.

218. Κατακρυφάν] Ἀποφυγὴν τοῦ μὴ εἰπεῖν.

220. Λαΐου ἴστε τίν' ἀπόγονον: Εὖ διατέθειται γνωριζόμενον ὑπὸ τῶν Ἀθηναίων Οἰδίποδα, ὑπὲρ τοῦ μὴ γενεαλογοῦντα ἄνωθεν [d]ἐνοχλεῖν αὐτὸν τοῖς θεωμένοις. Ἀλλ' ὅγε Εὐριπίδης τοιοῦτος. Ἐν γοῦν ταῖς [e]Ἱκέτισι τὸν Θησέα ὑποτέθειται τοὺς περὶ τὸν Ἄδραστον ἀγνοοῦντα, ἕνεκα τοῦ μηκῦναι τὸ δρᾶμα.

223. Δέος ἴσχετε μηδέν] Ὅσα (φησὶ) λέγω περὶ τούτων, μηδὲν φοβεῖσθε. Δεῖ δὲ προσυπακοῦσαι, ψευσαμένου [f]μου.

225. Τί ποτ' αὐτίκα κύρσει] Τί προβήσεται ἡμῖν. Ὁρῶ γὰρ [g]τούτους μυσαττομένους με.

226. Ἔξω πρόσω βαίνετε χώρας: Ἀκούσαντες τὰ κατ' [h]αὐτὸν, ἀξιοῦσιν ἐξιέναι τοῦ χωρίου. Φησὶν οὖν ὁ Οἰδίπους, ὅτι πρότερον ὑπέσχεσθε [i]τοῦ μὴ ἐκβαλεῖν με. Οἱ δὲ φασὶν, οὐδεμία τίσις ἔρχεται τοῖς προπαθοῦσιν ἀντιτιμωρουμένοις. Καὶ ἡμεῖς οὖν ἀπατηθέντες ὑπὸ σοῦ, ἐν μέρει ἀπατῶμέν σε. Πέφρασται δὲ δυνατῶς.

227. Ἃ δ' ὑπέσχεο] [k]Πρὸς τὸν χορὸν ὁ Οἰδίπους.

228. Μοιριδία] Ἡ ἐξ Ἐρινύων. Μοίρας γὰρ νῦν τὰς Ἐρινύας[l].

[a] Haec omisit editor Romanus, neque ego intelligo.

[b] Brunckius ἀκούσαντες.

[c] Ita ed. Rom. pro συλλαμβάνουσιν.

[d] Ita Brunckius pro ὀχλεῖν.

[e] V. 104.

[f] Deest in ed. Rom. μου.

[g] Brunckius τούτους pro τούς.

[h] Ed. Roman. αὐτῆς. Correxit Brunckius.

[i] Brunckius τό.

[k] Deest gl. in ed. Rom.

[l] Brunckius praeter necessitatem addidit ἀκουστέον.

229. Ὧν προπάθῃ] Διὰ τὸ τιμωρεῖν [a] ὑπὲρ ὧν προπάθῃ. [Εἰς τὸ αὐτό.] Λείπει ἡ δια.

230. Ἀπάτα δ' ἀπάταις: Ἡ δὲ ἀπάτη (φησὶ) παραβαλλομένη [b] ἑτέραις ἀπάταις, τῷ προαπατήσαντι πόνον ἔχειν ἀντιδίδωσι καὶ οὐ χάριν. Καὶ αὐτοὶ οὖν νομίζουσι προσδεδέχθαι αὐτὸν καὶ ἐπηγγέλθαι τὴν ἀσφάλειαν αὐτῷ ἀπατώμενοι, καὶ οὐ πρότερον ἐπεγνωκότες ὅτι οἰκείοις ἐνέχεται μιάσμασι. Περὶ τὴν αὐτὴν ὑπόθεσιν καὶ τὸ,

Ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν [c] ἀνώμοτος.

Καὶ ἐκεῖνος γὰρ ἀπατηθεὶς ὤμοσεν.

231. Παραβαλλομένα] Ἀντισουμένη.

232. Ἀντιδίδωσιν] Τῷ ἀπατήσαντι ἐξ ἀρχῆς.

234. Ἄφορμος] Ἀφορμηθείς.

237. Ὦ ξένοι αἰδόφρονες: Τὸ τῆς Ἀντιγόνης πρόσωπον ὅλον, καὶ τοῦ χοροῦ τὸ τετράστιχον ἀθετοῦνται [d]. Κρεῖττον γὰρ [e] φασὶν εὐθέως τῷ δικαιολογικῷ χρήσασθαι τὸν Οἰδίπουν πρὸς αὐτούς. Ἀλλὰ τὰ πράγματα αὐτοῖς οὐκ ἐν καιρῷ ἐστιν, ἀλλ' ἐν δυσπραγίᾳ, ὥστε ἐπαφρόδιτον εἶναι αὐτοῖς τὴν ἐλεεινολογίαν, καὶ τοῦτο τὸ πρόσωπον ἡ Ἀντιγόνη πληροῖ. Ἐπεὶ [f] μέντοι οὗτοι οὐ πείθονται, τότε δικαιολογικώτερον καὶ ὥσπερ ἀπολογούμενος ἐκφέρει τὰ ἑξῆς ὁ Οἰδίπους, ὅτι ἀκούσιά ἐστιν αὐτοῦ τὰ ἁμαρτήματα. Καὶ εἰ ταῦτα τῆς ὁμοίας ἔχεται δυνάμεως τοῦ ποιητοῦ. [g] Καὶ καθόλου θαυμαστή τις ἐστὶν ἡ οἰκονομία τοῦ δράματος. Οὐδὲν δὲ ἐν τοῖς Διδύμου τούτων [h] ὀβελισθὲν εὕρομεν.

*Ibid.* Ἀλλ' ἐπεί] [i] Ἐπειδή. Ἔστι γὰρ ὁ ἀλλα ἀντὶ τοῦ δε, ὁ δὲ δε ἀντὶ τοῦ δη. Πλεονάζει ὁ ἀλλα.

240. Ἀκόντων] Τῶν ἀκουσίων, ἢ τῶν ἀπαρεσκόντων ὑμῖν. [Εἰς τὸ αὐτό.] [k] Ἐκ τοῦ ἐπιθέτου νεύει εἰς τὴν τοῦ πατρὸς ἀπολογίαν.

[a] MS. ὑπὲρ ὧν προπαθῆ. Ed. Rom. ὑπὲρ ὧν ἂν προπάθῃ.

[b] Ed. Rom. καὶ ἀντισουμένη ἑ. ἀ. πόνον ἔχειν ἀντιδίδωσι τῷ ἀπατήσαντι ἐξ ἀρχῆς καὶ οὐ χάριν. Brunckius: Ἀπάτα δ' ἀπάταις: παραβαλλομένη, φησὶν, ἡ ἀπάτη, καὶ ἀντισουμένη ἑτέραις ἀπάταις, τῷ προαπατήσαντι —— προσδεδέχθαι αὐτὸν, ἐπαγγειλάμενοι τὴν ἀσφάλειαν, ἀπατώμενοι ὑπ' αὐτοῦ, καὶ οὐ πρότερον ἐγνωκότες—τοιοῦτόν ἐστι καὶ τὸ, κ. τ. ἑ.

[c] Euripides Hipp. 612. MS. ὀμώμοκεν. Supra ὡς τὸ ed. Rom.

[d] Addit Brunckius: εἰ καὶ ταῦτα τῆς ὁμοίας ἔχεται δυνάμεως τοῦ ποιητοῦ. Quae verba vulgo infra leguntur.

[e] Ed. Rom. φασιν pro φ″.

[f] Brunckius ἐπεὶ μὲν οὖν.

[g] Hoc καὶ omisit editor Rom.

[h] Ita ed. Rom. pro ὀβελισθέντων.

[i] Ed. Rom. Ἀλλ' ἐπεὶ γεραόν. ἐπειδὴ γάρ ἐστιν ὁ ἀλλὰ ἀντὶ τοῦ δὲ, ὁ δὲ δε ἀντὶ τοῦ δη, πλεονάζει ὁ ἀλλά.

[k] Verba ἐκ τοῦ ἐπιθέτου νεύει εἰς

243. Οὐ [a] καλοῖς προσορωμένα: Οὐ καλοῖς ὄμμασιν ὁρῶσα τὸ σὸν ὄμμα. Ὀφθαλμοὶ γὰρ ὀφθαλμοὺς αἰδεῖσθαι ποιοῦσιν.

244. Προσορωμένα] Ἀντὶ τοῦ ὁρῶσα τούτους ὧν καὶ δέομαι.

245. Ὡς τῆς ἀφ' αἵματος: Ὡς ἂν τῆς κοινῆς ἀνθρωπότητος ἐχούσης τὸ συγγενὲς, ἢ τοιαύτας ἱκετείας ποιοῦμαι, οἵας ἄν τις προσαγάγοι τοῖς συγγενέσιν.

246. Τὸ ἑξῆς· ἄντομαι τὸν ἄθλιον αἰδοῦς κύρσαι.

250. Ἐκ σέθεν ἄντομαι: Λείπει ἐκείνου, ἵν' ᾖ, ὑπὲρ ἐκείνου σε ἄντομαι, ὃ ἐκ σέθεν τίμιόν ἐστί σοι. Ἀντὶ τοῦ, ὃ ἐκ σῆς προαιρέσεως τίμιόν σοι [b] ἐστιν.

252. Οὐκ ἂν ἴδοις ἀναθρῶν: Τὸ ἑξῆς· [c] οὐ γὰρ ἴδοις ἀναθρῶν βροτῶν ὅστις ἂν ἐκφυγεῖν δύναιτο, εἰ θεὸς ἄγοι.

256. Οὐ σθένοιμεν ἂν φωνεῖν: Ἀλλ' ἐμμένομεν τοῖς λεχθεῖσιν. Λέγομεν δὲ, τὸ ἀναστῆναι τοῦτον τοῦ ἱεροῦ, μὴ μολύνειν αὐτό.

258. Τί δῆτα δόξης: Ὡς μάτην τῆς περὶ τῶν Ἀθηνῶν κατεχούσης δόξης, [d] ὅτι ἄρα φιλοικτίρμων τις εἴη καὶ ἱκεταδόκος. Καὶ ὁ Κυρηναῖος·

Οὕνεκεν οἰκτείρειν οἶδε μόνη πολίων.

Ἐν τῷ τέλει τοῦ $\overline{\beta}$ τῶν [e] Αἰτιῶν.

261. Ἐπεὶ καὶ ἐλέου βωμὸς ἐν Ἀθήναις ἵδρυται.

263. Κἀμοί γέ που ταῦτ' ἐστίν: Καί μοι ποῦ ταῦτά ἐστι τὰ λεγόμενα περὶ Ἀθηνῶν;

264. Ἐκ τῶνδε] [f] Ἀφ' ὧν αὐτὸν ἐξανέστησαν.

*Ibid.* Ἐλαύνετε] Παρ' ὑμῶν δηλονότι τῶν Ἀθηναίων.

266. Ἀπὸ κοινοῦ τὸ δείσαντες.

267. Πεπονθότ' ἐστὶ μᾶλλον: Μᾶλλον ἔπαθον ἤπερ ἐποίησα. Οὐκοῦν καὶ συγγνώμης ἄξιός εἰμι.

*Ibid.* [g] Τὸ ἑξῆς· ἢ δεδρακότα. Τοῦτ' ἐγὼ καλῶς ἔξοιδα.

---

τὴν τοῦ πατρὸς ἀπολογίαν in ed. Rom. lemma habent Γεραὸν. ἢ Ἀλαὸν.

[a] Brunckius bis ἀλαοῖς pro καλοῖς.

[b] Ed. Rom. ἔνεστιν.

[c] Brunckius: οὐ γὰρ ἴδοις ἂν ἀθρῶν βροτὸν.

[d] Ed. Rom. ὡς ἄρα φιλοικτείρμων τίς ἂν εἴη. Brunckius: ὡς ἄρα φιλοικτίρμων τις εἴη.

[e] F. B. XXI.

[f] Hanc gl. et sequentem omisit editor Rom.

[g] Ed. Rom. Πεπονθότα. τὸ ἑξῆς, ἢ δεδρακότα. τοῦτο ἐγὼ καλῶς ἔξοιδα ὅτι μᾶλλον ἠδικήθην, ἤπερ ἠδίκησα. Deinde ad v. 269. Τοῦτ' ἐγὼ κ. τ. ἑ. Pro his omnibus Brunckius habet: Τοῦτ' ἐγὼ καλῶς ἔξοιδα: ὅτι δηλαδὴ μᾶλλον ἠδικήθην, ἤπερ ἠδίκησα.

268. Χρεῖα, χρήσιμα· ἤτοι χρήσιμον ἢ λέγειν. Ἐκ τούτων γὰρ σύγκειται καὶ τὸ χρή· τὸ δὲ χρεῖα τριγενές ἐστιν· ἔστι γὰρ ὁ χρεῖος, ἡ χρεία, τὸ χρεῖον. Ἔστι δὲ καὶ μονογενὲς ἡ χρεία. Ὅτι δὲ ἐνταῦθα τὸ χρεῖα οὐδέτερόν ἐστι, δηλοῖ τὸ συναλείφεσθαι τὸ ᾱ, ὅπερ οὐκ ἂν ἐγένετο, εἰ μὴ βραχὺ ἦν.

271. Ὥστ' εἰ φρονῶν ἔπρασσον: Ἄκων μὲν (φησὶν) ἔδρων, εἰ δὲ καὶ ἑκὼν, προπαθὼν ἠμυνάμην. Δῆλον δὲ διὰ τὸ βλαβῆναι ὅτε ἐγεννήθη· ὥστε δύο μοι (φησὶ) βοηθεῖ, ἥ τε ἄγνοια, καὶ τὸ προπαθόντα ἀμύνασθαι.

272. Ἔπρασσον] [a]Ἔργα δηλονότι.

273. Ἱκόμην] [b]Τὴν τοῦ πατρῴου φόνου λέγει ὁδόν.

277. Καὶ μὴ θεοὺς τιμῶντες: [c]Ἐπεὶ κατὰ πυθόχρηστον ἐληλυθέναι φησὶ καὶ γνώμῃ θεοῦ. Μὴ ἐναντία τοίνυν τοῦ θεοῦ ποιεῖτε.

280. Φυγήν] Ἔκφευξιν.

281. Μήπω γενέσθαι φωτός: Ὃ βούλεται λέγειν, μηδένα διαφυγεῖν ποτε φῶτα ἀνόσιον ἀνθρώποις. [d]Ἀνόσιον ἐν ἀνθρώποις, ὡς τὸ,

[e]δικαιότατος κενταύρων.

Φυγὴν δὲ ἀντὶ τοῦ ἔκφευξιν.

282. Ξὺν οἷς σὺ μὴ κάλυπτε: Ἀντὶ τοῦ, μὴ περικαλύψῃς θεοὺς καὶ Ἀθήνας. Οἷον, ἀνόσια πράττων μὴ ἀφάνιζε τὰς Ἀθήνας.

*Ibid.* Ξὺν οἷς] Σὺν τοῖς θεοῖς.

284. Ἐχέγγυον] Ἀσφαλῆ.

285. Ῥύου] [f]Σῶζε.

287. Ἱερός] Καθαρός.

*Ibid.* Καὶ φέρων ὄνησιν ἀστοῖς: [g]Ἐρεῖ γὰρ, ὡς ἔσται ποτὲ αὐτοῖς ἔχθρα πρὸς Θηβαίους, ἐν ᾗ κρατήσουσιν αὐτῶν, διὰ τὸ τάφον αὐτοῦ [h]παρ' Ἀθηναίοις τυγχάνειν. Ἦν γάρ [i]τι λόγιον, ἐν ᾗ ἂν ταφῇ χώρᾳ, ἐκείνην μηδὲν κακὸν πείσεσθαι [k]ὑπὸ Θηβαίων.

292. Εἶπεν γὰρ σώζειν τὰς Ἀθήνας.

[a] Abest ab ed. Rom.

[b] Ed. Rom. τὴν τοῦ πατρὸς φόνου λέγει ὁδόν. Brunckius τὸν τοῦ πατρὸς φόνον λέγει. Quae verba ad ἔπρασσον v. 272. retulit.

[c] Ed. Rom. ἐπεὶ κατὰ πυθόχρηστον ἐληλυθέναι φασὶ, καὶ γνώμῃ θεοῦ, nec plura. Brunckius: ἐπεὶ κατὰ πυθόχρηστον ἐλήλυθα, φησὶ, καὶ γνώμῃ θεοῦ, μὴ ἐναντία τῷ θεῷ ποιεῖτε.

[d] Verba ἀνόσιον ἐν ἀνθρώποις absunt ab ed. Rom.

[e] Il. Λ. 831. MS. δικαιότατον.

[f] Deest in ed. Rom.

[g] Brunckius e Triclinio ἐρεῖ προϊών.

[h] Ita ed. Rom. pro παρ' ἀθηναίους.

[i] Ed. Rom. ἦν γὰρ λόγιον.

[k] MS. ὑπὸ θῶν. Ed. Rom. ὑπὸ θεῶν.

293. Λόγοισι γὰρ οὐκ ὠνόμασται: [a]Ὅσα εἴρηταί σοι ἐνθυμήματα περὶ τῆς σωτηρίας τῶν Ἀθηνῶν. Ἀρκεῖ δέ μοι φησὶ τὸ τοὺς ἡγεμόνας μὲν περὶ τούτων σκοπεῖν.

294. Βραχέσι] [b] Εὐτελέσι.

296. Εὖ τῇ οἰκονομίᾳ, ὥστε μὴ διατριβὰς γενέσθαι, τίς ὁ καλέσων ἔσται.

305. Τὸ γὰρ ὄνομα Οἰδίποδος πανταχοῦ.

305. Εἰκὸς οὖν ἐστιν ἡμῶν ἀκηκοότων, καὶ ἕτερον μεμαθηκέναι· Ὁ γὰρ ἀπεληλυθὼς πρότερον, οὐδέπω μεμαθήκει ὅστις ἦν. Τῷ γὰρ χορῷ πρώτῳ ὡμολόγησεν. Διὰ μέσου δὲ τὸ θάρσει.

*Ibid.* Πολὺ γάρ] Διὰ τὰς πράξεις, οἷον, τὴν Σφίγγα καὶ ὅσα ἄλλα αὐτῷ πέπρακται.

307. Λείπει ἡ περι. Περὶ σοῦ κλύων.

309. Ὁ γὰρ ἀγαθὸς αὐτῷ τε καὶ τοῖς φίλοις [c] ἐστίν.

*Ibid.* Φίλος] Ἀντὶ τοῦ χρήσιμος.

310. Ἡ Ἰσμήνη πρόσεισι, τὰ κατὰ τοὺς ἄῤῥενας ἀπαγγέλλουσα παῖδας τοῦ Οἰδίπου πῶς ἔσχον.

312. Ἡμῶν] [d] Ἀντὶ τοῦ πρὸς ἡμᾶς.

*Ibid.* Αἰτναίας] Τῆς Σικελικῆς. Λέγει δὲ [e] ἀντὶ τῆς μεγάλης.

313. Ἡλιοστερής: Σκιαστική. Πλατύπιλος κυνῆ τὴν ὄψιν αὐτῆς περιέχει, καλύπτουσα καὶ ἀφαιρουμένη τὴν ἡλίωσιν· τὸ ἑξῆς δὲ, κρατὶ ἡλιοστερὴς κυνῆ.

314. Κυνῆ πρόσωπα Θεσσαλίς: Καὶ γὰρ περισσοὶ ἦσαν οἱ Θεσσαλικοὶ πῖλοι, ὡς καὶ Καλλίμαχος·

> [f] Εἴδεος ἀμφὶ δέ οἱ κεφαλῇ νέον Αἱμονίηθεν
> μεμβλωκὸς πίλημα πέτρου ἄλκαρ ἔκειτο.

*Ibid.* Κυνῆ] Περικεφαλαία.

316. Ἆρα ἔστιν ἡ Ἰσμήνη; ἆρα οὐκ ἔστιν;

319. Τὸ ἑξῆς· φαιδρὰ προστείχουσα. Φαιδρὰ δὲ ἀντὶ τοῦ φαιδρῶς.

320. Σημαίνει] Εἰς γνῶσίν με ἐφέλκεται.

[a] Hoc scholion abest ab ed. Rom.

[b] Abest ab ed. Rom.

[c] Ed. Rom. ἐστὶ χρήσιμος.

[d] Abest ab ed. Rom.

[e] MS. ἀν τῆς μεγάλης.

[f] F. B. CXXIV. Ed. Rom. inter πίλημα et πέτρου quatuor aut quinque literarum spatium vacuum habet, secus quam MS. Triclinius πίλημά τι πέτρου. Bentleius πίλημά τι ὑετοῦ. Brunckius ex conjectura Valckenarii ad Theocritum p. 344. ἀμφὶ δέ οἱ κεφαλῇ, νέον Αἱμονίηθεν | μεμβλωκὸς, πίλημα περίτροχον ἄλκαρ ἔκειτο | εἴλης.

323. Ἐκ τῆς φωνῆς [a] ἔξεστι μαθεῖν.

326. Τὸ ἑξῆς· εὑροῦσα δεύτερον.

*Ibid.* [b] Ἴσως τὸ δεύτερον διὰ τὸ δὶς μόλις εἰρηκέναι.

328. Τροφαί] Ἡμῶν δηλονότι.

330. Δυοῖν] Σοῦ καὶ Ἀντιγόνης.

*Ibid.* Ἐμοῦ τρίτης] Οἱ γὰρ περιλαμβάνοντές τινα, καὶ ἑαυτοὺς τρόπον τινὰ περιλαμβάνουσιν. Ἰδιαζόντως δὲ εἶπεν ὡς ἑαυτῆς τρίτης θιγγάνει, εἰ μὴ ἄρα [c] πρὸς τὸ δυσαθλία ὑπήντηκεν.

332. Σῇ πάτερ προμηθίᾳ] Ἀντὶ τοῦ, διὰ τὴν σὴν πρόνοιαν.

335. Ποῖ νεανίαι πονεῖν] [d] Ποῦ τοῦ πονεῖν εἰσι.

336. Δεινὰ δ' ἐν κείνοις τὰ νῦν] Νῦν δὲ τὰ ἐν ἐκείνοις [e] δεινά ἐστίν.

337. Ὦ πάντ' ἐκείνω: Διαβάλλει τοὺς Αἰγυπτίους, ὡς παρὰ τὸ πρέπον διαιτωμένους, καὶ γυναῖκας καὶ ἄνδρας. Νυμφόδωρος δὲ ἐν τῷ ιγ τῶν Βαρβαρικῶν γράφει οὕτως· "Ἔθεσι δὲ τὰ μὲν ἐναντίοις, "τὰ δὲ [f] ὁμοίοις χρῶνται τοῖς Ἕλλησι. Τὸ μὲν γὰρ ἐξίστασθαι τοῖς "πρεσβυτέροις τοὺς νεωτέρους, ὁμοτρόπως καὶ [g] ἡμῖν διοικοῦσι, τῶν δ' "ἄλλων οὐδέν. Ἐν μὲν γὰρ τοῖς Ἕλλησιν, οἱ μὲν ἄνδρες κατὰ τὴν "ἀγορὰν οἰκονομοῦσιν, αἱ δὲ γυναῖκες ἔνδον μένουσαι ταλασιουργοῦσιν· "ἐκεῖ δὲ αἱ μὲν γυναῖκες ἐν ἀγορᾷ περιπατοῦσι καὶ καπηλεύουσιν, οἱ "δὲ ἄνδρες κατὰ τὴν οἰκίαν ὑφαίνουσιν. Ὁ γὰρ Σέσωστρις [h] ἐκθηλῦναι "τοὺς ἄνδρας βουλόμενος, ἅτε μεγίστης χώρας γεγενημένους καὶ "πολλοὺς ὄντας, ὅπως μὴ συστραφέντες ἐπ' ἰσομοιρίαν ὁρμήσωσι, τὰ "μὲν ἐκείνων ἔργα ταῖς γυναιξὶ, τὰ δὲ τῶν γυναικῶν ἐκείνοις προσέτα-"ξεν, ἵνα μὴ μόνον [i] τῶν ὅπλων στερηθέντες, ἀλλὰ καὶ τὴν ψυχὴν ὑπὸ "τῶν ἐπιτηδευμάτων ἀνεθέντες, ἀσμένως ἐπὶ τοῖς ὑπάρχουσι κατα-"μένωσιν. Ὅθεν τοὺς μὲν ψιλοὺς εἶναι, τὰς δὲ ἀνιέναι τὰς τρίχας "προσέταξε· καὶ τοὺς μὲν ἐπὶ τῶν κεφαλῶν φέρειν τὰ φορτία, τὰς "δὲ ἐπὶ τῶν ὤμων [k] ἠνάγκασε. Ἔπειτα δὲ, τοὺς μὲν καθημένους, τὰς

[a] Ed. Rom. ἔξεστί σοι μαθεῖν.

[b] Haec a recentiori manu habet MS.

[c] MS. πρὸς τὸ δυσαθλία. Ed. Rom. καὶ τὸ δυσαθλία. Praepositio in MS. similis est literae ξ. Exempla pete a Bastio p. 727. Brunckius e Triclinio πρὸς τὸ δυσάθλιαι.

[d] Ed. Rom. ποῦ τὸ πονεῖν ἐστι. Recte Brunckius.

[e] Ed. Rom. ἐστὶ δεινά.

[f] Ita ed. Rom. pro ὁμοίως. Triclinius etiam ἐναντίως.

[g] Ita ed. Rom. pro ἡμῖν καί.

[h] Ita Triclinius. MS. ἑλκυσθῆναι. Ed. Rom. ἐκθηλύναι.

[i] Ita Triclinius. MS. τῶν ὅπλων στερηθέντες ἀσμένως. Ed. Rom. τῶν ὅπλων ἀναγκαίως στερηθέντες.

[k] Ita ed. Rom. pro ἀναγκάσαι.

" δὲ ὀρθὰς ἑστώσας οὐρεῖν. [a] Καὶ τοὺς μὲν β̄ ἱμάτια περιέβαλε, τὰς " δὲ ἕν· ὑπολαμβάνων ἅμα τοῖς ἐπιτηδεύμασι καὶ τὰς ψυχὰς αὐτῶν " [b] ἐκθηλύνειν. [c] Ὃ καὶ Λυδοῖς ὕστερον συμπεσεῖν φασίν."

340. Αἱ δὲ σύννομοι] Αἱ ἀδελφαὶ, ἢ αἱ γυναῖκες.

349. Νηλίπους] Ἀνυπόδητος.

354. Μαντεῖ' ἄγουσα: Ποῖα μαντεῖα; [c] ὅτι ὅπου ἂν ταφήσεται, σωτήριος ἔσται τῇ γῇ ἐκείνῃ.

362. Τὸ ἑξῆς· ζητοῦσα τὴν σὴν τροφήν.

*Ibid.* Τροφὴν] Ἀντὶ τοῦ, τὴν δίαιταν.

363. Τὸ ἑξῆς· δὶς γὰρ οὐ βούλομαι ἀλγεῖν.

367. Πρὶν μὲν γὰρ αὐτοῖς: Πρώην ἦσαν σκοπήσαντες τῷ Κρέοντι παραχωρῆσαι τὴν σὴν βασιλείαν.

*Ibid.* Κρέοντί τε] Ὁ τε̄ πλεονάζει.

368. Σκοποῦσι] Μετοχή ἐστιν, οὐ ῥῆμα.

370. Ἀλιτηροῦ] [d] Ἁμαρτώλου, μιαρᾶς.

373. Λαβέσθαι] Ἀντιλαβέσθαι.

375. Τὸ χ̄ παράκειται, ὅτι πρεσβύτερον φησὶ τὸν Πολυνείκη.

378. Πολλαχοῦ τὸ Ἄργος κοῖλον [e] φασὶ, καθάπερ καὶ ἐν Ἐπιγόνοις·

> Τὸ κοῖλον Ἄργος οὐ κατοικήσαντ' [f] ἔτι.

Καὶ ἐν [g] Θαμύρᾳ·

> Ἐκ μὲν Ἐριχθονίου ποτιμάστιον ἔσχεθε κοῦρον
> Αὐτόλυκον, πολέων κτεάνων σίνιν Ἄργεϊ κοίλῳ.

Ὅμηρος·

> [h] Οἳ δ' εἶχον κοίλην Λακεδαίμονα.

380. Ὡς αὐτίκ' Ἄργος: Ὡς αὐτίκα καὶ τὸ Ἄργος πρὸς οὐρανὸν [i] βιβῶν, καὶ τὸ Καδμείων πέδον τιμωρίᾳ ὑποτάξων. Τὸ γὰρ τιμὴ ἔσθ' ὅτε πρόστιμον δηλοῖ. Ὅμηρος·

> [k] Εἰ δ' ἂν ἐμοὶ τιμὴν Πρίαμος.

ἑκάτερον δὲ ἢ ἀντὶ τοῦ κα̅ι̅ ἐστί. τὸ δὲ ἑξῆς οὕτως· [ὡς] αὐτίκα ἢ τὸ Καδμείων πέδον τιμῇ καθέξων, ἢ τὸ Ἄργος πρὸς οὐρανὸν βιβῶν, [ἢ] [l] ὑψώσων τῇ εὐκλείᾳ. Ὡς [m] πορθησόντων Ἀργείων τὰς Θήβας, καὶ

[a] Ed. Rom. καὶ ταῖς μὲν, δύο ἱμάτια περιέβαλε. τοῖς δὲ, ἕν. Brunckius ex conjectura Valckenarii ad Herodoti II. 36. καὶ τοῖς μὲν—ταῖς δὲ ἕν.

[b] Ed. Rom. ἐκθηλύνεσθαι.

[c] MS. Ed. Rom. ὅπου δ' ἂν ταφήσεται. Brunckius e Triclinio ὅπου δ' ἂν ταφῇ.

[d] Abest ἁμαρτωλοῦ ab ed. Rom.

[e] Ed. Rom. φησὶ pro φ.

[f] MS. κατοικήσαντα ἔτι.

[g] Ita ed. Rom. pro θαμυρία.

[h] Od. Δ. 1.

[i] Ita bis ed. Rom. pro βιῶν.

[k] Il. Γ. 288.

[l] Ed. Rom. ὑψώσω.

[m] Ita ed. Rom. pro πορθησάντων.

κατὰ τοῦτο ἐνδόξων [a] γενησομένων. Ὑπερβατὸν οὖν ἐστι, καὶ τὸ ἑξῆς οὕτως· ὡς αὐτίκα ἢ πρὸς οὐρανὸν τὸ Ἄργος οἴσων, ἤγουν ἐπὶ μέγα αὔξημα· ἢ τὸ Καδμείων πέδον τιμῇ καθέξων. Ἄλλως γὰρ ἀκούειν, τραχύτερον.

382. Ταῦτ' οὐκ ἀριθμός] Οὐ μέχρι λόγων προκόπτοντα.

386. Ὥραν] Φροντίδα.

388. Ποίοισι τούτοις: Οἱ ὑπομνηματισάμενοι γράφουσιν οὕτω· Χρησμὸς τοιοῦτος γέγονεν, ὁποτέρῳ ἂν ὁ Οἰδίπους πρόσθηται, τοῦτον [b] κρατεῖν καὶ χωρὶς [καὶ] κατὰ κοινὸν τοῖς Θηβαίοις, ὅτι ἔσται αὐτοῖς μεγάλων κακῶν αἴτιος, ἐὰν μὴ θάψωσιν αὐτὸν ἐπὶ τῆς χώρας. Ἐβουλόμην δὲ αὐτοὺς [c] μαρτυρίῳ χρήσασθαι ἢ συγγραφέως ἢ ποιητοῦ.

390. Εὐνοίας χάριν: Ἐν τοῖς ἀναγκαιοτέροις τῶν ἀντιγράφων γρ. εὐσοίας χάριν, ὃ καὶ οἱ ὑπομνηματισάμενοι ἀξιοῦσιν. Εὔσοιαν δὲ φασὶ τὴν [d] εὐθένειαν, καθάπερ καὶ ἐν Ἀμφιτρύωνι·

> Ἐπεὶ δὲ βλάστοι, τῶν τριῶν μίαν λαβεῖν
> εὔσοιαν ἀρκεῖ.

[Εἰς τὸ αὐτό.] Ἵνα εὐνοῇς αὐτοῖς.

392. Κράτη] [e] Δύναμιν.

395. Γέροντα δ' ὀρθοῦν: Τὸν ἅπαξ ἐν νεότητι πεσόντα, ἐν γήρᾳ ὀρθοῦσθαι ἀδύνατον.

*Ibid.* Φλαῦρον] Χαλεπόν.

399. Στήσωσι] Κατοικίσωσι.

*Ibid.* Ὅπως κρατῶσι μέν σου] Ἀντὶ τοῦ, ὅπως σχῶσί σε.

401. Κειμένου] Ἀντὶ τοῦ, οἰκοῦντος.

402. Κείνοις ὁ τύμβος: Ὁ τύμβος δυστυχῶν ὁ σὸς, κείνοις βαρύς. Ἀντὶ τοῦ, ἐπὶ ξένης σοῦ θαπτομένου, δυστυχήσουσιν ἐκεῖνοι.

403. Κἄνευ θεοῦ: Οἷον, πῶς ἂν τις ταῦτα δύναιτο μαθεῖν ἄνθρωπος ὢν, θείας δυνάμεως χωρίς; [f] πέπαιγμαι. [g] Ὁ καὶ ἐπίσταται ὅτι Πυθόχρηστόν ἐστι τὸ λεγόμενον.

404. Προσθέσθαι] Ἀντὶ τοῦ κατοικίσαι.

405. Χώρας] Τῆς Θήβης.

[a] MS. γινομένων. Ed. Rom. γεγνησομένων.

[b] Ed. Rom. κρατήσειν. Vide annotationem ad κάμπτειν v. 91.

[c] Ed. Rom. μαρτυρίᾳ χρήσασθαι ἢ συγγραφέως τινὸς, ἢ ποιητοῦ.

[d] Ed. Rom. εὐσθένειαν.

[e] Deest in ed. Rom.

[f] Deest πέπαιγμαι in ed. Rom.

[g] Brunckius fere cum Triclinio: τοῦτο δὲ λέγει, ἐπεὶ οὐκ ἐπίσταται.

405. Μηδ' ἵν' ἂν σαυτοῦ: Μηδὲ ἐὰν σε ὅπου ἂν σαυτοῦ ἐξουσιάσῃ. Λείπει τὸ ἐὰν ῥῆμα· ἢ ἀπὸ κοινοῦ τὸ προσθέσθαι.

406. Κατασκιῶσι] Οἷον, ἐν Θήβαις με χώσουσιν;

407. Τοὔμφυλον αἷμα] Ὁ πατρῷος φόνος.

408. Οὐκ ἆρ' ἐμοῦ γε] [a] Εἰ οὐ θάπτουσί με ἐν Θήβῃ. Ὁ δὲ μὴ πλεονάζει.

409. Βάρος] Διὰ τὸ μὴ κατασχεῖν σε.

410. Ποίας φανείσης: Ποίας αἰτίας γενομένης βλαβήσονται; Ἀντὶ τοῦ, ὑπὸ θεῶν, ὑπὸ Ἐρινύων, ἢ ὑπὸ τίνος.

413. Παρὰ τῶν θεωρῶν κλύουσα.

414. Ἐφ' ἡμῖν] Ἀντὶ τοῦ, δι' ἐμέ.

415. Οἱ μολόντες] Οἱ θεωροί.

422. Ἐν μηδενὶ ἑτέρῳ τὸ τέλος αὐτοῖς ἀποβαίη τῆς μάχης, ἢ ἐν ἐμοί. Οἷον, μηδεὶς ἄλλος κύριος γένοιτο, ὥστε διαλῦσαι τὴν ἔριν αὐτῶν, ἢ ἐγώ.

424. Κἀπαναιροῦνται] Κατ' ἀλλήλων ἐπαίρουσιν.

425. Εἰ γὰρ ἐν τῇ ἐμῇ ἐξουσίᾳ γένοιτο, οὐδὲ εἷς αὐτῶν ζήσεται.

430. Αὐτοῖν ἐπέμφθην: Τὸ ἐφ' ἑαυτοῖς οὐκ ἐπήρκεσαν. Ἐνῆν γὰρ αὐτοῖς τὸ ἐφ' αὐτοῖς τοῦτο πρᾶξαι, ὡς αὐτάρκως κεκολασμένου τῇ πηρώσει.

431. Θέλοντι] Τὸ ἐξορισθῆναι.

436. Τούτου τοῦ ἔρωτος οὐδείς με ἐποίει ἀπολαῦσαι. Τοῦ ἀποθανεῖν δὲ φησίν.

437. Πέπων] Ὅτε θυμὸς ἦν πέπειρος.

438. Ὅτε ἐκεῖνοι ἔγνωσαν [b] πέψαντά με τὸν θυμόν.

443. [c] Οἷον, ἀντιλογίας βραχείας ἔδει ποιήσασθαι αὐτοὺς ὑπὲρ τοῦ πατρὸς διωκομένου τῶν Θηβῶν.

448. Τὼ δὲ] Ἐκεῖνοι δὲ, οἱ ἄῤῥενες.

450. Τοῦδε συμμάχου] Ἐμοῦ.

452. Ἐγᾦδα] Ἐγὼ οἶδα, ἐγᾦδα.

457. [d] Εἰ ὑμεῖς συμβάλησθέ μοι, ἑαυτῶν συμβάλλεσθε. Χρησμὸς γὰρ ἦν, [e] ὡς εἰ Ἀθηναῖοι τοῦ τάφου αὐτοῦ ἐγκρατεῖς γένων-

[a] Ed. Rom. Μὴ κρατήσωσι. ἤγουν θάπτειν με ἐν θήβῃ.

[b] MS. πέμψαντά με nec plura.

[c] Haec omittit ed. Rom.

[d] MS. Εἰ ὑμεῖς συμβάλησθέ μοι ἑαυτῶν συμβάλλεσθε. Ed. Rom. εἰ ὑμεῖς συμβάλλεσθέ μοι, ἑαυτοῖς συμβάλλεσθε.

[e] MS. ὡς εἰ ἀθηναῖοι—γένονται. Ed. Rom. ὡς ἦν οἱ ἀθηναῖοι—γένωνται.

ται, ἔσοιτο αὐτοῖς ποτε σωτὴρ πολιορκουμένοις ὑπὸ Θηβαίων, εἴτε κατὰ τὸν Πελοποννησιακὸν πόλεμον, εἴτε καθ' ἕτερον. Ταῦτα δὲ εἰκὸς ποιητικώτερον ὑπὸ τοῦ Σοφοκλέους πεπλάσθαι, ἐπὶ θεραπείᾳ τῶν Ἀθηναίων. Πολλαχοῦ δὲ οἱ τραγικοὶ χαρίζονται ταῖς πατρίσιν ἔνια.

462. Ἐπεὶ δὲ τῆσδε γῆς: Ὅτι δὲ σώζειν ὑπισχνῇ τὴν πόλιν, ὑποθέσθαι σοι βούλομαι τὰ χρήσιμα. Ἀττικῶς δὲ πάνυ τῇ συντάξει, καὶ πιθανὴ λοιπὸν ἡ χάρις τῶν ἐγχωρίων ἀνδρῶν. Παραινοῦσι γὰρ αὐτὸν καθαρσίων τυχεῖν, ἵνα ἧττόν πως ἐναγὴς φαίνοιτο.

465. Ὡς φῄς, προξένει μοι καὶ πάρεχε τὰ χρήσιμα· οὐ γὰρ ὀκνήσαιμι τελεῖν. [Εἰς τὸ αὐτό.] Πρόξενος ἐμοὶ καὶ φίλος γίνου, [b] ὑποσχομένῳ πᾶν ὃ λέγεις ποιήσειν.

*Ibid.* Προξένει] Λέγε.

467. [c] Καὶ κατέστεψας: Καθικέτευσας, μετὰ ἱκετηρίων ἀφίκου. Ἐὰν δὲ γράφηται [d] κατέστειψας, οἷον, κατεβάτευσας, ὃ καὶ πιθανώτερον. Δι' αὐτὸ γὰρ τοῦτο κελεύουσιν αὐτῷ καθαίρεσθαι, ὅτι εἰς ἄβατον ἐπέβη τόπον τοῦ ἱεροῦ τῶν σεμνῶν.

*Ibid.* Κατέστειψας] Κατεβάτευσας. [Εἰς τὸ αὐτό.] γρ. κατάστεψον, μεθ' ἱκετηρίων ἀφηγοῦ.

469. Πρῶτον μὲν ἱερᾶς: Ἐξ ἀενάου πηγῆς ὕδωρ ἄρυσαι, καὶ οὕτω χοὰς ταῖς θεαῖς ποίησον. Ἀπὸ τῶν κρατήρων, πλήσας αὐτοὺς ἀπὸ τοῦ ἀντληθέντος ὕδατος.

471. Ἀντὶ τοῦ, καὶ ὅταν ἀρύσωμαι, τί πράξω;

472. Ἀνδρὸς εὔχειρος: Ἐπὶ τὸν Δαίδαλον ἡ ἀναφορά, περὶ οὗ Φερεκύδης φησὶν οὕτω· "Μητίνῳ δὲ τῷ Ἐρεχθέως καὶ Ἰφινόῃ γίνεται "Δαίδαλος, ἀφ' οὗ ὁ δῆμος καλεῖται [e] Δαιδαλίδαι Ἀθήνῃσι."

*Ibid.* Εὔχειρος] Εὐπαλάμου. [Εἰς τὸ αὐτό.] Εὐπαλάμου κατὰ τὴν μετάληψιν.

473. Καὶ λαβὰς ἀμφιστόμους: [f] Τὰ ὦτα, ὧν ἐστι λαβέσθαι. Ἀμφιστόμους δὲ, τὰς ἑκατέρωθεν ἐστομωμένας, ἢ διὰ τὸ ἑκατέρωθεν

[b] MS. (qui hoc scholion habet a recentiori manu) ὑποσχομένω πᾶν ὃ λέγω ποιήσειν. Ed. Rom. ὑποσχόμενος πᾶν ὃ λέγω ποιήσειν. Qui in schol. praeced. Προξένει. λέγε μοι καὶ πάρεσχε.

[c] MS. Καὶ κατέστιψας: καθικέτευσας. Ed. Rom. Κατάστεψον. καθικέτευσον.

[d] Ita ed. Rom. pro κατέστιψας.

[e] Ita ed. Rom. pro δαιδαλίδά. Fr. LVIII. [Vid. Wesseling. Diod. Sic. IV. 76.]

[f] Ed. Rom. τὰ ὦτα διὰ τὴν προτομήν. ὧν ἐστι λαβέσθαι. Brunckius e Triclinio: τὰ ὦτα φησὶ τοῦ κρατῆρος, ὧν ἐστι λαβέσθαι.

τοῦ στόματος ταύτας εἶναι, ἢ τὰς πρόσωπά τινα θηρίων ἑκατέρωθεν ἐχούσας. Ἔρεψον καὶ τῶν κρατήρων τὴν κεφαλήν.

473. Λαβάς] [a] Ὠτία.

*Ibid.* Ἀμφιστόμους] Διὰ τῶν προτόμων.

475. Οἰὸς νεαρᾶς] Ἀντὶ τοῦ νέας.

*Ibid.* Οἰοπόκῳ μαλλῷ: [b] Στολισμῷ καὶ κροκισμῷ· ὅτι στέμματα ἔλεγον καὶ τὰ ἔρια. Καὶ παρ' Εὐριπίδῃ·

[c] Ω̃ι στέμματα ξήνασ' ἐπέκλωσεν.

*Ibid.* Λαβών] Ἐρίῳ στέψον.

477. Χοὰς χέασθαι στάντα πρὸς ἕω: Πρὸς τὴν ἀνατολήν. Καὶ γὰρ δὴ καὶ τὰς ἐκθύσεις πρὸς ἥλιον ἐποιοῦντο. Καθάπερ καὶ ἐν Ἠλέκτρᾳ·

[d] Τοιαῦτα τοῦ παρόντος, ἡνίχ' ἡλίῳ
δείκνυσι τοὔναρ, ἔκλυον ἐξηγουμένου.

Καὶ οἱ τοὺς καθαρμοὺς δὲ ἐπιτελοῦντες, πρὸς τὴν ἕω ἵστανται. Κρατῖνος ἐν Χείρωνι·

Ἄγε δὴ πρὸς ἕω πρῶτον ἁπάντων ἵστω, καὶ λάμβανε χερσὶν
σχῖνον μεγάλην.

*Ibid.* Πρὸς πρώτην ἕω] Ἀντὶ τοῦ, περὶ τὸν ὄρθρον.

*Ibid.* Ἕω] Ἀνατολήν.

478. Τὸ ὕδωρ ἐπὶ τῶν κρατήρων χέω;

479. Τρισσάς γε πηγάς] Ἀντὶ τοῦ, τὸ ὕδωρ ἀπὸ τριῶν πηγῶν.

*Ibid.* Τὸν τελευταῖον] Τὸν ὕστερον κρατῆρα.

481. Ὕδατος, μελίσσης: Ὕδατος καὶ μέλιτος· ἀπὸ γὰρ τοῦ ποιοῦντος τὸ ποιούμενον. Καὶ ἐν Ἐρασταῖς·

Γλώσσης μελίσσης τῷ κατεῤῥυηκότι.

Βούλεται δὲ λέγειν τὸ μελίκρατον. [Εἰς τὸ αὐτό.] Λείπει [e] ὁ καὶ.

*Ibid.* Μελίσσης] Μέλιτος.

*Ibid.* Μηδὲ προσφέρειν μέθυ] Ἄοινοι γὰρ αἱ θεαί.

482. Ὅταν δὲ τούτων γῆ: Ὅταν δὲ τὰς χοὰς χέωμεν ἐπὶ γῆς, τί χρή με ὕστερον δρᾶσαι;

483. Τρὶς ἐννέα: Τρὶς ἐννέα τιθεὶς κλῶνας ἐλαίας, ταύτας ποιοῦ τὰς εὐχάς.

[a] Deest in ed. Rom. Sic etiam duae sequentes.

[b] Ed. Rom. οἷον στολισμῷ. καὶ κροκισμῷ λαβὼν στέψον. ὅτι δὲ στέμματα ἔλεγον καὶ τὰ ἔρια.

[c] Or. 12.

[d] V. 424.

[e] Verba λείπει ὁ καὶ desunt in ed. Rom.

485. Ἡδέως ἀκούσαιμι τῶν εὐχῶν. Μέγιστον γὰρ ταύτας μαθεῖν.

486. Ὡς σφᾶς καλοῦμεν: Ὡς καλοῦμεν αὐτὰς Εὐμενίδας, οὕτως αὐτὰς καλῶν, [a] κἀξευμενῶν, καὶ ἵλεως ποιούμενος, ἱκέτευε αὐτὰς δέχεσθαί σε τὸν ἱκέτην ἐπὶ σωτηρίᾳ. [b] Ἐπὶ τῶν στέρνων, ἀντὶ τοῦ, μὴ [c] ἐξ ἐπιπολῆς, ἀλλ' ἐνδιαθέτως.

488. Αἰτοῦ] Οἷον, ἢ σὺ ταῦτα ποίει, ἢ ἄλλος τις ὑπὲρ σοῦ ταῦτα ποιείτω.

489. Ἄπυστα φωνῶν: Ἀνήκουστα. Ἀντὶ τοῦ, ἠρέμα καὶ συντόμως. Τοῦτο ἀπὸ τῆς δρωμένης [d] θυσίας ταῖς Εὐμενίσι φησί· μετὰ γὰρ ἡσυχίας τὰ ἱερὰ δρῶσι. Καὶ διὰ τοῦτο οἱ ἀπὸ Ἡσύχου θύουσιν αὐταῖς, καθάπερ Πολέμων ἐν τοῖς [e] πρὸς Ἐρατοσθένην φησὶν οὕτω· "Τὸ δὲ τῶν εὐπατριδῶν γένος οὐ μετέχει τῆς θυσίας ταύτης." Εἶτα ἑξῆς· "Τῆς δὲ πομπῆς ταύτης Ἡσυχίδαι, ὃ δὴ γένος ἐστὶ παρὰ τὰς "σεμνὰς θεὰς καὶ τὴν ἡγεμονίαν ἔχει, καὶ προθύονται πρὸ τῆς θυσίας "[f] κριὸν Ἡσύχῳ, ἱερὸν ἥρῳ τοῦτον οὕτω καλοῦντες [g] διὰ γὰρ εὐφημίαν. "Οὗ τὸ ἱερόν ἐστι [h] παρὰ τὸ Κυδώνιον, ἐκτὸς τῶν ἐννέα πυλῶν." Καὶ Ἀπολλόδωρος δὲ ἐν τῇ περὶ θεῶν ιζ περὶ τοῦ τῶν Ἡσυχιδῶν γένους [i] καὶ τῆς ἱερᾶς φησί. Καὶ Καλλίμαχος·

[k] Νηφάλιαι καὶ τῇσιν ἀεὶ μελιηδέας ὄμπας
λήτειραι καίειν ἔλλαχον Ἡσυχίδες.

491. Δράσαντι] Ὡς καθαρθέντι.

492. Ἄλλως δέ] Μὴ καθαρθέντι.

495. Οὐχ ὁδωτά: Οὐκ ἐν ὁδῷ, οὐδὲ ἀνυστά. οἷον, οὐ βαδιστέα μοι, οὐδὲ πρακτέον ταῦτα. Λείπομαι γὰρ τῆς πράξεως ὑπὸ δύο κακῶν, [l] τοῦ τε μὴ δύνασθαι καὶ τοῦ μὴ ὁρᾶν.

[a] Brunckius e Triclinio, καὶ ἐξευμενίζων.

[b] Ed. Rom. Στέρνων. ἐκ τῶν στέρνων. Malim ἀπὸ τῶν στέρνων.

[c] Ita ed. Rom. pro μὴ ἐξεπιστο. Sic etiam Triclinius.

[d] MS. hic insertum habet φησί. Delevit editor Rom.

[e] Ed. Rom. ἐν τοῖς περὶ ἐρατοσθένην. MS. praepositionem eodem modo scriptam exhibet quo in verbis πρὸς τὸ δυσαθλία ad v. 330. Polemo ἐν τῷ πρὸς Τιμαῖον allegatur ad v. 100.

[f] Ed. Rom. κριὸν ἡσύχῳ, ἱερὸν ἥρῳ. Brunckius: κριὸν Ἡσύχῳ ἱερὸν ἥρῳ. Mihi ἥρω accusativus esse videtur.

[g] Ita MS. mendose. Ed. Rom. διὰ γοῦν εὐφημίαν. Triclinius διὰ τὴν εὐφημίαν.

[h] Brunckius παρὰ τὸ Κιμώνειον.

[i] Apud Heynium p. 391. Brunckius καὶ τῆς ἱερείας.

[k] F. B. CXXIII. MS. ὄπας et ἡσυχίδαις. Triclinius ὄμπας et ἡσυχίδαι. Alii ὄμπνας. Sequor Bentleium.

[l] Ita Brunckius e Triclinio. MS. τῶι τε μὴ δύνασθαι καὶ τὸ μὴ ὁρᾶν. Ed. Rom. τό, τε μὴ δύνασθαι, καὶ τὸ ὁρᾶν.

497. *Σφῷν δ' ἡ 'τέρα*: Εἰρήκεσαν γὰρ [a] *ὅτι καὶ ἄλλῳ ἐξῆν ὑπὲρ αὐτοῦ τὸν καθαρμὸν ποιήσασθαι.*

499. Ἐκτείνουσαν] *Τεταμένως καὶ συντόμως δρῶσαν καὶ διακονοῦσαν.*

502. Οὐδ' *ὑφηγητοῦ γ' ἄνευ*] [b] Ἄνευ *χειραγωγοῦ*. Ἀπὸ *κοινοῦ δὲ τὸ ἕρπειν*. Οὐκ *ἰσχύω βαδίζειν.*

503. Τὸν *τόπον δ' ἵνα*] Ἔνθα *τὸ ὕδωρ ἐστὶν, ἡδέως ἂν εἰδείην.*

504. [c] Χρῆσται *μ' ἐφευρεῖν*: Χρείη *ἔσται, κατὰ* [d] *συναλιφὴν, χρῆσται· ἀντὶ τοῦ, χρείη ἔσται.* Δηλοῦται *δὲ ταυτὸν τὸ δεήσει· καὶ ἐν* Τριπτολέμῳ·

> Χρῆσται δέ σ' ἐνθένδ' αὖτις—

505. Τοῦ *κεῖθεν ἄλσους*: Τὸ *ἐκεῖθεν τοῦ ἄλσους τούτου· ἐὰν δέ τι τούτων ἀγνοῇς, παρά τινος τῶν ἐπιχωρίων τούτο μαθήσῃ.* [e] Σπάνιν *γὰρ φησὶν ἀντὶ τοῦ, εἴ τι τῆς εἰδήσεως ἀγνοεῖς περὶ τὸν τόπον.*

508. Τοῖς *τεκοῦσι γάρ*: Ὅταν *τις ὑπὲρ γονέων πονῇ, μὴ ἡγείσθω πόνον εἶναι τὸν κάματον.*

510. *Δεινὸν μὲν τὸ πάλαι*: Τῆς Ἰσμήνης *ἀποστάσης, ὁ* Χορὸς *ἐρωτᾷ τὸν* Οἰδίποδα, *καὶ φησὶ, τὸ ἐπεγείρειν μὲν καὶ ἀνακινεῖν τὰ πάλαι συμβάντα, δυσχερές· ὅμως δὲ μαθεῖν ἐπιθυμῶ τὴν αἰτίαν τῆς πηρώσεως· καὶ* [f] *ἔστι παθητικά.* Καλλίμαχος·

> Τί δάκρυον εὗδον ἐγείρεις;

513. Τί *τοῦτο*] Οἷον, *τί βούλει πυθέσθαι;*

*Ibid.* Τᾶς *δειλαίας ἀπόρου*: *περὶ τῆς ἐγκειμένης σοι ἀλγηδόνος ἡδέως ἂν πυθοίμην· ἔξωθεν δὲ ἡ περί.*

515. Μὴ *πρὸς ξενίας*: Μὴ *πρὸς τῆς σῆς ξενίας, ἀναπτύξῃς μου τὰ ἀναιδῆ ἔργα· ἢ* [g] *οὕτω· μὴ τὰς προξενίας σου ἐπὶ ἔργα ἀναιδῆ καταγάγῃς·* [h] *οἱονεὶ, μὴ κατὰ τὴν προξενίαν τὴν σὴν ἔργων γένοιο φαύλων ἀκροατὴς, ἀναπτύξαι καὶ φανερῶσαι τὰ κατ' ἐμὲ βουληθείς.*

[a] MS. *ὅτι καὶ ἄλλως ἐξῆν.* Ed. Rom. *ὅτι καὶ ἄλλους ἐχρῆν.* Brunckius e Triclinio *καὶ ἄλλοις ἐξεῖναι.*

[b] Verba *ἄνευ παιδαγωγοῦ* post *βαδίζειν* collocat Brunckius, qui *δὲ* post *κοινοῦ* omittit.

[c] Ed. Rom. *χρῆ ὅσταί μ' ἐφευρεῖν. χρεία ἔσται. κατὰ συναλοιφὴν χρῆ 'σται, ἀντὶ τοῦ χρεία ἔσται. δηλοῦται δὲ ταυτὸν τῷ δεήσει. καὶ ἐν Τριπτολέμῳ, χρῆ 'σται δ. σ. ἐ. α.* Paullo aliter Triclinius, et ex eo Brunckius. In Oedipo Coloneo leg. videtur *χρὴ στέμμ' ἐφευρεῖν.* De Triptolemi fragmento ampliandum. P. E.

[d] *συναλιφήν.* Sic L. Vide Eustath. ad Od. ζ'. p. 1561, 6.=260, 43. *συναλοιφὴν* vulgo.

[e] *ἦν δέ του σπάνιν τίν' ἴσχῃς ἀντὶ τοῦ, εἴ* R.

[f] *ἔστι παθητικὰ* om. Br. Callim. Fr. 273.

[g] *οὐ* L. R. Br.

[h] *οἷον, εἰ* L. R.

517. Τό τοι πολύ: Τὸ ἀδιάλειπτον κακὸν, [a] τὸ κατὰ τὴν πήρωσιν χρήζω ἀκοῦσαι.

519. [b] Στέρξον ἱκετεύω: Στέρξον ἃ λέγω· καὶ μὴ ἀποστραφῇς τὴν αἰτίαν εἰπεῖν, ὅ ἐστι, προσδέξαι με.

520. Κἀγὼ γὰρ] [c] Πείσομαι δηλονότι εἰς ὃ βούλει.

524. Ἀλλ' ἐς τί] Ἀλλ' ἐς τί [d] χωρήσει σοι τὰ πράγματα;

525. Οὐδὲν ἴδρις] [e] Οἷον οὐδὲν εἰδυῖα ἡ πόλις, ἐνέδησέ με τῇ τοῦ γάμου ἄτῃ.

*Ibid.* Ἴδρις] [f] Εἰδυῖα.

537. Ἐπιστροφαί] Συναθροίσεις, πλῆθος.

539. Ἐδεξάμην δῶρον: Τὸν γάμον τῆς μητρὸς, φησὶν, ἀντὶ τῆς λύσεως τοῦ αἰνίγματος δῶρον ἐδεξάμην, ὃ μήποτε ὄφελον λαβεῖν· ἀντὶ δὲ τοῦ εἰπεῖν, μήποτε ὄφελον ἐγὼ παρὰ τῆς πόλεως ἐξαίρετον [g] ἰδεῖν, οὕτως εἴρηκεν,

Ἐπωφέλησα πόλεως ἐξελέσθαι.

547. Καὶ γὰρ ἄλλους ἐφόνευσα: Τοὺς παρόντας σὺν τῷ Λαΐῳ· [h] ἢ, ὡς ἄλλους φονεύσας ἀθῷός εἰμι καὶ οὐ γέγονα ἔνοχος τῷ μύσει, [i] οὕτως καὶ ἐπὶ τοῦ πατρός· οὐ γὰρ ᾔδειν.

551. Πολλῶν ἀκούων: Χρηστὸς ὁ Θησεὺς τὸ ἦθος εἰσάγεται· καὶ ἔχει καὶ [k] ἐπὶ τοῦτο τῆς οἰκονομίας δεξιώτατα.

558. Προστροπήν] [l] Ὠφέλειαν.

562. Τὸ [n] δεύτερον ὡς ἀντὶ τοῦ ὅτι.

566. Μ' οὐ] Μὴ οὔ.

567. [m] Ἔξοιδ' ἀνὴρ ὢν] Ὅτι ἄνθρωπος.

581. Προσφορὰ] [o] Ἀντὶ τοῦ προσθήκη, πρόσδοσις.

*Ibid.* Δηλώσεται] Ἀντὶ τοῦ δηλωθήσεται.

583. Τὰ λοίσθι' αἰτῇ] γρ. Τὰ [p] λοῖσθ' ἄρ' αἰτῇ [τοῦ] βίου.

584. Ἢ λῆστιν ἴσχεις] Τοῦ ζῆν ἢ ἐπιλέλησαι, ἢ οὐ φροντίζεις.

[a] τὸ τῆς πηρώσεως Br.
[b] στέρξον. ἤγουν πρόσδεξαι, ἃ δηλονότι λέγω· καὶ μὴ ἀποστραφῇς τὴν αἰτίαν εἰπεῖν. Tricl. Br.
[c] πείθομαι Br. Mox εἰς ὅσον R. Br.
[d] συγχωρήσει R. Tum σοὶ δηλαδὴ Br.
[e] ἤγουν οὐδὲν εἰδυῖα ὧν ἔπραττεν Br.
[f] Gl. om. R. Br.
[g] λαβεῖν Br. Tricl.
[h] ἤγουν R. Br.
[i] οὕτω R. Br.
[k] ἐπὶ om. R. Br.
[l] ὠφέλειαν ἢ ἐπιστροφὴν Br.
[m] om. R. Br.
[n] δεύτερον om. R. Br.
[o] ἀντὶ τοῦ om. R. Br. Mox δόσις Br. Tum τὸ δὲ δηλώσεται R. Br.
[p] λοίσθι' R.

585. Ἐνταῦθα γάρ μοι κεῖνα: Διὰ τοῦ [a] τέλους καὶ τὰ μέσα τοῦ βίου εὐτυχήσει· προσδοκῶν γὰρ σὺ ὠφεληθήσεσθαι [b] παρ᾽ ἐμοῦ, ὅταν ἀποθάνω, ζῶντά με γηροβοσκήσεις.

586. Βραχὺ δῶρόν με αἰτεῖς, τὸ ἐν Ἀθήναις θάψαι σε.

602. Πῶς δῆτά σ᾽ ἄν] Πῶς δῆτα οὖν, φησὶ, μεταπέμψαιντο ἄν σε, εἰ μὴ ἔστι δυνατὸν κατελθεῖν, διὰ τὸ πατροκτόνον εἶναι; ὁ δὲ φησί· τὸ θεῖον αὐτοὺς ἐξαναγκάσει τοῦτο πράττειν.

605. Τῇδε πληγῆναι χθονί: Ἀντὶ τοῦ, ὑπὸ ταύτης τῆς χθονὸς πληγῆναι.

619. Τὰ νῦν ξύμφωνα] Οὔπω γὰρ ἦν ἔχθρα Θηβαίοις καὶ Ἀθηναίοις.

623. Σαφής] Ἀντὶ τοῦ, ἀληθὴς, ὡς καὶ Ὅμηρος·

[c] ἐπιστάμενος σάφα εἰπεῖν·

ἀντὶ τοῦ, ἀληθῶς.

624. [d] Τἀκίνητα] οἷον τὰ ἄρρητα.

630. Ἐφαίνετο] Ἀνεφαίνετο· τοιοῦτόν ἐστιν καὶ τὸ παρ᾽ Ὁμήρῳ·

Καὶ εἴρετο δεύτερον αὖτις.

632. Τοιοῦδε] [e] Ἀντὶ τοῦ φίλου.

*Ibid.* Δορύξενος] Φίλος. [Εἰς τὸ αὐτό.] Ἁπλοϊκώτερον δορυξένους καλοῦσι καὶ τοὺς ὅπως δήποτ᾽ οὖν ἐπιξενωθέντας. Ἢ [f] ἐπιτατικῶς καὶ πολεμίοις φίλη.

636. Οὔποτ᾽ ἐκβαλῶ χάριν] Οὐ καταφρονῶ τῆς εἰς αὐτὸν χάριτος. [[g] Εἰς τὸ αὐτό.] Οὐκ ἐκβάλλω, ἀλλὰ καὶ ἐκ τοῦ ἐναντίου ὑποδέχομαι.

638. Σὲ] [h] Τὸν Χορόν.

639. Ἐμοῦ στείχειν μέτα] Εἰς τὸ [i] ἄστυ.

Συνοίσομαι] Συμπράξομαι, ὡς σὺ βούλει.

647. [k] Εἰ δύναιο κρατεῖν τῶν ἐχθρῶν ἐνθάδε μένων, μέγα ἂν δώρημα λέγοις τῆς ἐνταῦθα διατριβῆς.

648. Εἰ σοί γ᾽ ἅπερ φῂς] Εἰ [l] ἐμμένει σοι τὰ ἐπαγγελθέντα.

[a] τέλους φησι καὶ Br. Tricl.

[b] ὑπ᾽ ἐμοῦ R. Br.

[c] Il. δ᾽. 404.

[d] Gl. om. R. Br. qui in seq. ἀντὶ τοῦ ἀνεφ.

[e] φίλου δηλονότι R. Br.

[f] ἐπιστατικῶς L. R. tum καὶ πολεμίοις φίλους R. π. φίλοι L. ἐπιτατικῶς νῦν, ἀντὶ τοῦ, ἢ καὶ πολεμίοις φίλη Br. cum Suida.

[g] [εἰς τ. ἀ.] οὐκ ἐκβ. om. R. Br.

[h] σὲ νὶν] σὲ τὸν χορόν. R. σέ] τὸν Χορόν. νιν] τὸν Οἰδίπουν Br.

[i] ἄστυ] ἄστυ δηλονότι. R. Br.

[k] μέγ᾽ ἂν λέγοις ἤγουν εἰ Br. ἢ εἰ R. qui haec et seq. ponit post gl. proximam.

[l] ἐμμένει R. L. ἐμμενεῖ Br.

649. Τὸ τοῦδέ γ' ἀνδρός] Ἐφ' ἑαυτοῦ πεποίηται τὴν δεῖξιν ὁ Θησεύς.

650. Πιστώσομαι] [a] Πίστιν ἐπιθεῖναι παρακελεύσω.

651. Τούτου τὸ ἑξῆς [b] ἐστιν οὕτως· οὐκ ἂν πλέον λάβοις ὁρκίσας με, ἢ λόγῳ πιστεύσας.

652. Ὄκνος] Φόβος.

653. Τοῖσδε] Τοῖς τοῦ Χοροῦ.

655. Ὀκνοῦντ' ἀνάγκη] Οὐ νεμεσητόν μοι, εἰ [c] ὑπὸ δέους ἐπὶ τὰ αὐτὰ συνεχῶς λέγω· τὸν φοβούμενον γὰρ ἀνάγκη [d] ταυτὰ λέγειν.

*Ibid.* Οὐκ ὀκνεῖ] Οὐδὲν δέδοικεν.

658. Πολλαὶ δ' ἀπειλαί] Ἀντὶ τοῦ, πολλοὶ ἄνθρωποι πολλὰ ἀπειλήσαντες ἐκ θυμοῦ, πέψαντες τὸν θυμὸν, καὶ τὸν καθεστηκότα νοῦν ἀναλαβόντες, ἐπαύσαντο τῶν ἀπειλῶν.

661. Τούτοις] Τοῖς Θηβαίοις.

662. Τῆς σῆς ἀγωγῆς] Λείπει ἡ περὶ. [e] Περὶ τῆς ἐπανόδου.

663. Οὐδὲ] πλώσιμον: [f] Ἀδιάβατον· δεδοίκασι γὰρ ἡμᾶς.

668. [g] Μέχρι τοῦ ἀηδών: Ἡ διατριβὴ τοῦ Χοροῦ πρὸς τὸ ἐγκώμιον τῆς χώρας, αὐτοῦ τοῦ Σοφοκλέους ἐπὶ τὸ ἴδιον ἀπαντῶντος χαρακτηριστικὸν, τὸ γλαφυρὸν καὶ ᾠδικὸν μέλος.

*Ibid.* Ξένε] [h] Ὦ Οἰδίπου.

670. Τὸν ἀργῆτα] Τὸν λευκόγεων.

671. Μινύρεται] [i] Ἄιδει.

674. Ἀνέχουσα] [k] Ἄνω ἔχουσα. Ὡς ἐν Λυκούργῳ Αἰσχύλος·

> Ἄκουε δ' ἂν οὖς ἔχων·

ἀντὶ τοῦ, ἄνω τὸ οὖς ἔχων. [Εἰς τὸ αὐτό.] Ὑπὲρ ἑαυτὴν ἔχουσα τὸ φυτόν.

676. [l] Φυλλάδα μυριόκαρπον: Παρὰ τὸ Ὁμηρικόν·

[a] οὐ πίστιν, φησὶν, ἐπιθεῖναί σε παρακελεύσομαι δι' ὅρκου· πρὸς ὃ ἐπάγει ὁ Θησεύς· Οὐκ ἂν πλέον. . . Br. Tricl.

[b] ἐστιν om. R.

[c] ὑπὸ τοῦ δέους τὰ αὐτὰ Br. Tricl.

[d] ταῦτα R.

[e] ἵν' ᾖ περὶ τῆς σῆς ἀγωγῆς, ἤγουν, ἐπανόδου. R. Br.

[f] πλώσιμον. εὐ διάβατον R. Br. Deinde δεδώκασι γὰρ ἡμῖν L.

[g] Sic L. εὐίππου ξένε τᾶσδε χώρας. ὦ ξένε Οἰδίπου, μέχρι τοῦ ἀηδὼν, ἡ διατ. R. ξένε] ὦ ξένε, ὦ Οἰδίπου. Ἡ διατ. Br.

[h] Gl. om. R. Br.

[i] Gl. om. R. μινύρεται, ἠχεῖ, ᾄδει θρηνοῦσα Br.

[k] ἀνέχουσα κισσόν] Ὑπὲρ ἑαυτὴν ἔχουσα τὸ φυτὸν. ἄνω ἔχουσα τὸν κισσὸν R. Br. qui infra omittunt. Ad φυτὸν in fine, An φύλλον? P. E.

[l] φυλλάδα] ἀπὸ κοινοῦ τὸ ἀνέχουσα. Ἀνήλιον. διὰ τὴν δασύτητα τῶν φυτῶν. Ἀνήνεμον. παρὰ τὸ Ὁμηρικόν. κ. τ. λ. Br. Edidimus cum L. R.

[a] Τὴν μὲν [b] ἄρ' οὔτ' ἀνέμων διάει μένος ὑγρὸν ἀέντων,
Οὔτε [c] μιν ἠέλιος φαέθων ἀκτῖσιν [d] ἔβαλλεν.

'Ἀπὸ κοινοῦ δὲ τὸ ἀνέχουσα. 'Ἀνήλιον δὲ διὰ τὴν δασύτητα τῶν [e] φύλλων.

676. 'Ἀνήλιον] [f] Διὰ τὸ δάσος.

681. Θάλλει δ' οὐρανίας ὑπ' ἄχνας: Οἱ μὲν ὑπομνηματισάμενοι γρ. οὕτως. Τῆς Δήμητρος καὶ Κόρης [οὐ] φασὶν στεφάνωμα τὸν νάρκισσον εἶναι· [g] στάχυσι γὰρ αὐτὰς [h] στεφανοῦσι. Μήποτε δὲ [i] γραπτέον μεγάλαν θεᾶν, τῶν 'Ἐρινύων· καὶ γὰρ τὸ χωρίον, ἐν ᾧ ἦν ὁ Οἰδίπους, αὐταῖς ἀνεῖτο· ὅτι δὲ 'Ἐρινύων ἐστὶ τὸ στεφάνωμα, δῆλον ἐν οἷς Εὐφορίων φησί·

"Πρόπρο δέ μιν δασπλῆτες ὀφειλομένην οἶμον Εὐμενίδες ἀργῆτα θυγατρίδαι Φόρ-
"κυνος [k] ναρκίσσοι ἐπιστεφέες πλοκαμῖδας."

Ἴσως ὅτι παρὰ τοῖς μνήμασιν [l] ὡς τὸ πλεῖστον ἐκφύεται· ἢ ὅτι τοῦ φρίττειν καὶ ναρκᾶν εἰσιν αἱ δαίμονες αἴτιαι, ὥστε διὰ τὸ ὄνομα συνῳκειῶσθαι τὸ φυτὸν αὐταῖς. Μήποτε δὲ τὸν νάρκισσον μεγάλαιν θεαῖν ἀρχαῖον στεφάνωμα ἔφη ὁ Σοφοκλῆς, τῷ συλληπτικῷ χρησάμενος τρόπῳ, ἀντὶ τοῦ εἰπεῖν, θεᾶς ἀρχαῖον στεφάνωμα, τῆς Κόρης· τί δήποτε; ὅτι πρὶν ἢ τὸν Πλούτωνα αὐτὴν ἁρπάσαι, τούτῳ ἐτέρπετο· συλλέγουσαν οὖν φασὶν αὐτὴν τὸν νάρκισσον [m] ἁρπασθῆναι, ὥστε τὸ ἀρχαῖον τούτου ἕνεκα προσκεῖσθαι, οἷον, ὃ ἦν αὐτῇ θυμῆρες στεφάνωμα, πρὶν ἢ συλληφθῆναι. Αὖθις γοῦν φασὶ τὰς θεὰς ἀνθινοῖς μὴ κεχρῆσθαι, ἀλλὰ καὶ ταῖς θεσμοφοριαζούσαις τὴν τῶν [n] ἀνθινῶν στεφάνων ἀπειρῆσθαι χρῆσιν· ὁ δ' Ἴστρος, τῆς Δήμητρος [o] εἶναι στέμμα τὴν μυῤῥίνην καὶ τὴν [p] μίλακα, περὶ ἧς [q] γίνεσθαι τὴν δικασίαν· καὶ τὸν ἱεροφάντην [r] δὲ, καὶ τὰς ἱεροφάντιδας, καὶ τὸν δαδοῦ-

[a] Od. τ'. 440.
[b] ἄρ' om. L. R.
[c] μὴν L. μὲν R.
[d] ἐμβ^α L.
[e] φυτῶν L. R. Br.
[f] Gl. om. R. Br.
[g] Sic R. L. οὐ γὰρ μόνον στάχυσιν αὐτὰς στ. Br. cum Triclin.
[h] Post στεφανοῦσι addit Brunckius, cum Triclin. καὶ δεῖ νοεῖν τὸ μεγάλαιν θεαῖν ἐπ' ἐκείνων εἰρῆσθαι· ἴσως γὰρ ἂν ἀρχαῖον ἦν ταύταις οὗτος στεφάνωμα· ὕστερον δὲ καὶ οἱ στάχυες.
[i] νοητέον μεγάλαιν θεαῖν Br.
[k] ναρκίσσοιο—πλοκαμίδας Br. πρὸς δέ μιν—ναρκίσσοιο—πλοκαμῖδας Triclin. πλοκαμι^δ L.
[l] ὥς τε L. ὅτι R. Br.
[m] ἁρπασθῆναι om. L.
[n] ἀνοίνων L.
[o] εἶναί φησι Br.
[p] σμίλακα R. Br.
[q] γίγνεσθαι τὴν διαδικασίαν R. Br.
[r] δὲ om. R. Br.

χον, καὶ τὰς ἄλλας ἱερείας μυῤῥίνης ἔχειν στέφανον· δι' ἃ καὶ [a] τὴν Δήμητρα προσθέσθαι ταύτην φησί.

681. [b] Ἄχνας] Τῆς δρόσου.

683. Νάρκισσος] Ὄνομα βοτάνης.

*Ibid.* Μεγάλαιν θεαῖν] Ταῖς Ἐρίνυσιν.

684. Ὅ τε χρυσαυγὴς κρόκος: Τοῖς τὸν νάρκισσον τῇ Δήμητρι ἀπονέμουσι τοῦτο συμπράττει, ὅτι κἂν τῇ Νιόβῃ ὁ Σοφοκλῆς τὸν κρόκον ἄντικρυς τῇ Δήμητρι ἀνατίθεται, ὥστε καὶ νῦν τὸν λόγον εἶναι περὶ τῶν Δήμητρος στεφανωμάτων· καὶ αὐτὸ δὲ τοῦτο ἴδιον ἂν εἴη Σοφοκλέους· τοῖς γὰρ ἀνθινοῖς οὐ πάνυ φασὶν ἥδεσθαι [c] τὴν Δήμητρα. [Εἰς τὸ αὐτό.] Ἀπὸ κοινοῦ τὸ θάλλει κατ' ἦμαρ.

686. Μινύθουσι] [d] Λήσουσι τοῦ ῥεῖν.

687. Κηφισοῦ] Ὄνομα ποταμοῦ.

*Ibid.* Κηφισοῦ νομάδες: Κρῆναι νομάδες, αἱ ἐπινεμόμεναι [e] ὥσπερ καὶ καταῤῥέουσαι τὴν γῆν τοῦ Ἰλισσοῦ πηγαί· ἢ ἃς ὁ Κηφισὸς ἐπινέμεται· [f] λέγοι δ' ἂν ἐν τῇ Καδμείᾳ.

688. Ἀλλ' αἰὲν ἐπ' ἤματι: Ἀλλ' ἀεὶ καθ' ἡμέραν, φησὶν, [g] ἐπινίσεται ὁ Κηφισὸς, ὠκυτόκα ποιῶν τὰ πεδία καὶ ἔγκαρπα.

689. [h] Ὠκυτόκος] Ὁ ποταμός.

691. Στερνούχου χθονός: Ἴσον [i] τῷ, γονίμου. Ἢ [k] ἀντὶ τοῦ πεδιούχου χθονός· μεταφορικῶς γὰρ καὶ στέρνα καὶ νῶτα φασὶ [l] τῆς γῆς τὰ πεδιώδη καὶ εὐρέα, καθάπερ αὖ πάλιν αὐχένας, τὰ στενά. [[m] Εἰς τὸ αὐτό.] Γῆς ἐπιπέδου.

692. Νιν] Τὴν Ἀττικήν.

698. Φύτευμ' ἀχείρητον: Ὅτι [n] ἀπέσχοντο τῶν μορίων οἱ Λακεδαιμόνιοι, καὶ ἄλλοι ἱστοροῦσι καὶ Φιλόχορος, ὥστε ταῖς ἀληθείαις ἐγχέων αὐτὰς φόβημα τοῖς πολεμίοις γενέσθαι. Λακεδαιμόνιοι γὰρ [o] ἐμβαλόντες ἐν τῇ Ἀττικῇ δέκα μυριάσι Πελοποννησίων καὶ Βοιω-

[a] τῇ Δήμητρι R. Br.

[b] Hanc et seq. gl. om. R. Br.

[c] τῇ Δήμητρι L. Quae statim sequuntur habent R. Br. post κρόκος, in principio praecedentis glossae.

[d] λήγουσι Br.

[e] ὥσπερ ἐπινεμόμεναι Br. Tricl.

[f] Λέγοι δ' ἂν τὸν ἐν τῇ Ἀττικῇ οὐ τὸν ἐν τῇ Κ. Br. Λ. δ' ἂν τὸν ἐν τῇ Κ. Tricl.

[g] ἐπινίσσεται R. Br.

[h] ὠκύτοκος. ἤγουν ὠκύτοκα ποιῶν R. Br.

[i] τὸ L. Mox γονίμου, γῆς ἐπιπέδου R. Br.

[k] ἀντὶ τοῦ om. R. Br.

[l] τῆς γῆς om. R. Mox αὖ om. Br.

[m] Hanc gl. om. R. Br. Post στενά inserit Brunckius, τὸ δὲ ὅλον, πεδίων ἐπινίσσεται στερνούχου χθονὸς, ἀντὶ τοῦ, ἐπὶ τῶν πεδιάδων τῆς γονίμου χθονός. Scil. e Triclinio.

[n] ἀπέσχοντο τῶν ἐλαιῶν τῆς θεοῦ, τῶν μορίων ὀνομαζομένων οἱ Λακ. Br. Triclin.

[o] ἐμβάντες R. Br. Mox δέκα in L.

τῶν, ἡγουμένου Ἀρχιδάμου τοῦ Ζευξιδάμου Λακεδαιμονίων βασιλέως, ἀπέσχοντο τῶν λεγομένων μορίων, [a] Ἀθηνᾷ θύσαντες, ὡς Ἀνδροτίων φησί.

698. Δαΐων] Πολεμίων.

701. Γλαυκᾶς παιδοτρόφου: Καὶ Ἀριστοφάνης ἐν Νεφέλαις·

[b] Ἀλλ' εἰς Ἀκαδημίαν κατιὼν, ὑπὸ ταῖς μορίαις ἀποθρέξεις.

Ὁ δ' Ἴστρος καὶ τὸν ἀριθμὸν αὐτῶν δεδήλωκεν γρ. οὕτως· * * * [c] ἔνιοι δὲ κλάδον ἀπὸ τῆς ἐν Ἀκαδημίᾳ ἐλαίας, ἀπὸ τῆς ἐν ἀκροπόλει φυτευθῆναι φασίν· ἐπάρατον δὲ [d] ποιήσαντας τοὺς ἐμβαλόντας αὐτὰς ἐκκόψειε, φίλος ἢ πολέμιος· δι' ὃ Λακεδαιμόνιοι τὴν λοιπὴν γῆν δῃοῦντες, τῆς μὲν Τετραπόλεως ἀπέσχοντο διὰ τοὺς Ἡρακλείδας· τῶν δὲ μορίων, διὰ τὰς ἀράς. Ὁ δὲ Ἀριστοτέλης καὶ τοῖς νικήσασι τὰ Παναθήναια, ἐλαίου τοῦ ἐκ μορίων γινομένου δίδοσθαι φησί.

702. Τὸ μὲν] Τὸ φυτὸν τῆς ἐλαίας.

705. Μορίου] [e] Ὄνομα τόπου.

*Ibid.* Μορίου Διός: Μόριον Δία εἶπεν τὸν ἐπόπτην τῶν μορίων [f] ἐλαιῶν· καὶ ἔστιν ὁ λεγόμενος Μόριος [g] Ζεὺς [περὶ Ἀκαδημίαν] ὥς φησιν [h] Ἀπολλόδωρος· Περὶ Ἀκαδημίαν ἐστὶν ὅ τε τοῦ Καταιβάτου Διὸς βωμὸς, ὃν καὶ Μόριον καλοῦσι, τῶν ἐκεῖ μορίων παρὰ τὸ τῆς Ἀθηνᾶς ἱερὸν ἱδρυμένων.

711. Εὔιππον] Παρ' ὅσον ὁ Κολωνὸς ἱππεὺς ἐλέγετο, καὶ Ποσειδῶν καὶ Ἀθηνᾶ αὐτόθι Ἵππιοι.

712. Ὦ παῖ Κρόνου: Αὐτόθι φασὶ Ποσειδῶνα πρῶτον ἵππους ζεῦξαι καὶ χαλινῶσαι· καὶ ταῦτα δὲ ἐπὶ θεραπείᾳ φησὶ [i] τῶν οἰκείων ὁ Σοφοκλῆς· ὁ γὰρ Κολωνὸς ἱππεὺς ὠνομάσθη, παρ' ἃς ἐξεθέμην αἰτίας [k] διὰ τὸν Ἄδραστον. Ὁ δὲ ἐπὶ τὸ [l] σεμνότατον ἄγει τὸ πρᾶγμα, τῇ ποιητικῇ καταχρώμενος ἀδείᾳ. Περὶ τὰ [m] τρία ταῦτα κεφάλαια μάλιστα διατρίβουσι τοῦ ἐγκωμίου, ὅτι εὔφορος ἡ χώρα, καὶ ὅτι ἱππικοὶ Ἀθηναῖοι, καὶ ὅτι ναυτικοί.

scriptum eo compendio, quo *καὶ* exarari solet.

[a] *ἀθηναν θησαντες* L. sine acc.

[b] v. 1001.

[c] *εἶναι δὲ κλάδων τῆς* R. *κλάδον τῆς* Br. *κλάδον ἀπὸ τῆς* Triclin. Mox *ἣν ἀπὸ τῆς* R. Br. *ὃν ἀπὸ τῆς* Triclin. Vid. P. E. ad v. 694.

[d] *ἐποιήσαντο εἴ τις τῶν ἐμβαλόντων αὐτὰς* R. Br. *ἐπαράτους δὲ εἶναι τοὺς ἐμβαλόντας αὐταῖς, ἢ ὅστις ἐκκόψειεν* Triclin.

[e] Gl. om. R. Br.

[f] *ἔλασον* L. *ἐλαῶν* R.

[g] *Ζεὺς περὶ Ἀκαδημίαν* R. Br.

[h] Fr. p. 401. apud Heynium. [*περὶ Ἀκαδημίαν*] desunt in Elmsleii apographo.

[i] *τῆς οἰκείας* R. Br.

[k] *κατὰ Ἀνδροτίωνα* R. Br. pro *διὰ τὸν Ἄδραστον*, quomodo Triclin.

[l] *σεμνότερον* Triclin.

[m] *τρία δὲ ταῦτα* Br. Triclin.

717. Πλάτα] Κώπη.

718. Ἑκατομπόδων Νηρηΐδων] Ἀκολούθως, ὅτι αἱ Νηρηΐδες ν̄ εἰσίν.

720. Ὦ πλεῖστ' ἐπαίνοις] [a] Ἀντιγόνη ταῦτα φησὶν, ὁρῶσα προσιόντα τὸν Κρέοντα μετὰ χαρᾶς· ἐπὶ τὸν Οἰδίπουν δὲ ἀφῖκται ὁ Κρέων, καὶ μὴ πείσας [b] αὐτὸν παρασπᾶται αὐτοῦ τὴν Ἀντιγόνην, φθάσας κατὰ τὴν ὁδὸν καὶ τὴν Ἰσμήνην ἀφελέσθαι.

726. [c] Εἰ γέρων κυρῶ] Ἐγώ.

731. Ὃν μήτ' ὀκνεῖτε] Ὅν τινα, [d] ἀντὶ τοῦ ἐμὲ, μὴ φοβεῖσθε.

738. Οὕνεχ' ἧκέ μοι γένει] Ἀντὶ τοῦ, ὅτι προσήκει μοι πενθεῖν τὰ τούτου ἀτυχήματα, ὑπὲρ πάντας Θηβαίους.

741. [e] Ἴκου] Ἐλθέ.

742. Ἐκ δὲ τῶν] Ἐγὼ μάλιστά σε καλῶ, ὅσῳπερ πλεῖστον ἀλγῶ τοῖς σοῖς παθήμασιν.

746. Κἀπὶ προσπόλου μιᾶς] Τῆς Ἀντιγόνης· εἴληπτο γὰρ ὑπ' αὐτοῦ ἡ Ἰσμήνη.

755. Ἀλλ' οὐ γάρ ἐστι] Ὥστε συγγνώμης εἰμὶ ἄξιος λέγων· οὐ γὰρ δύναμαι κρύπτειν.

761. Ὦ πάντα τολμῶν] [f] Ἐν εὐλογοφανέσι λόγοις πανοῦργα βουλευόμενε.

763. Πείρα: Βαρυτόνως ἀναγνωστέον πείρᾳ, οὐ περισπωμένως· οὕτω Δίδυμος.

768. Μεστὸς] Ὡς ἐπὶ κεράμου· ὅ ἐστιν, ὅτε κορεσθεὶς τοῦ θυμοῦ, λοιπὸν τὰ συμφέροντα ἐβουλευόμην, καὶ οὐκ ἔτι ἤθελον φεύγειν.

769. Τοὐν δόμοισιν] [g] Ἀντὶ τοῦ ἐν Θήβαις.

773. Γένος] Τὸ Ἀττικόν.

775. Καί τοι τις αὐτὴ] Καὶ σὺ οὖν βούλει με εὐεργετεῖν μὴ θέλοντα.

781. Τοιαῦτα] [h] Ἀντὶ χάριτος.

785. Πάραυλον] Ἀντὶ τοῦ, ἐν ἀγροῖς.

[a] ἡ Ἀντιγόνη R. Br.

[b] αὐτὸν ἐλθεῖν εἰς τὴν αὐτοῦ πατρίδα Br. Triclin. Tum περισπᾶται L. σπεύδει ἀφελέσθαι Triclin.

[c] Ed. Rom. εἰ γέρων ἐγώ. κυρῶ δηλονότι. Nihil horum habet MS. præter ἐγὼ in textu, cui supra scriptum κυρῶ. P. E.

[d] ἀντὶ τοῦ om. R. Br.

[e] Gl. om. R. Br.

[f] εὐλογοφανεσι (λ supra) L. ὦ ἐν εὐλογοφανέσι R. Br.

[g] ἐν Θήβαις δηλονότι R. Br.

[h] χάριτος δηλονότι R. Br.

*Ibid.* Πόλις δέ σοι] Καὶ ἵνα [a] ἡ Θήβη ἀβλαβὴς ἔσται ἐκ ταύτης τῆς γῆς. Ἄναιτος δὲ, ἀντὶ τοῦ, ἀβλαβὴς, ἀναιτίατος.

787. Οὐκ ἔστι σοι ταῦτ'] Οὐ προβήσεταί σοι ὁ σκοπός.

791. Ἆρ' οὐκ ἄμεινον] Ἆρα οὐ πλέον [b] σου τὰ ἀποβησόμενα ταῖς Θήβαις οἶδα;

792. [c] Ἐκ σαφεστέρων κλύω] Ἀντὶ τοῦ, καὶ σαφέστερον οἶδα.

793. Καὐτοῦ Ζηνός: Δοκεῖ γὰρ ὁ Ἀπόλλων παρὰ Διὸς λαμβάνειν τοὺς χρησμοὺς, ὡς καὶ ἐν Ἰφικλείᾳ φησὶ, καὶ Αἰσχύλος ἐν Ἱερείαις·

> Στέλλειν ὅπως τάχιστα· ταῦτα γὰρ πατὴρ
> Ζεὺς [d] ἐγκαθιεῖ Λοξίᾳ.

Καὶ Ἀριστοφάνης Ἥρωσιν.

794. Ὑπόβλητον: Οὐκ ἀληθὲς, ἀλλὰ [e] πεπλασμένον. Ἀπὸ τῶν ὑποβαλλομένων εἰς τὰ γένη τοὺς παῖδας.

795. Στόμωσιν] [f] Ἀντὶ τοῦ δείνωσιν, καὶ πανουργίαν.

800. Ἀντὶ τοῦ, ἐν τῷ μὴ πείθεσθαί σε, μᾶλλον σὺ δυστυχεῖς, [g] ἤπερ ἐγώ.

803. Πείθειν] [h] Πείθειν με εἰς τὸ ἀκολουθῆσαί σοι.

*Ibid.* Τούσδε] Τοὺς ἀπὸ τοῦ Χοροῦ.

805. Λῦμα: Κάθαρμα· ὅ ἐστιν, [i] ἀπαίδευτος μέχρι γήρως μενεῖς.

807. Ὅστις ἐξ ἅπαντος] [k] Βουλόμενος ἐκ παντὸς δοκεῖν δίκαια λέγειν.

808. Ἄλλο ἐστὶ τὸ φλυαρεῖν, καὶ ἄλλο τὸ [l] ἀναγκαῖα λέγειν.

810. Τοῖς κατὰ σὲ οὐ δοκῶ καίρια λέγειν.

812. Πρὸ τῶνδε] Καὶ πρὸ τοῦ Χοροῦ.

813. Μαρτύρομαι] Μάρτυρας [m] καλῶ.

[a] αἱ Θῆβαι ἀβλαβεῖς ἔσωνται R. consentiente fere Br. qui ἔσονται.

[b] σοι R. qui mox cum Br. ἐν ταῖς Θ.

[c] Hanc gl. om. Br.

[d] Brunckius ad Oed. Tyr. 628. *In Aeschyli v. quem citat Sophoclis Schol. ad Oed. Col. 791, codex T. sinceram scripturam exhibet* ἐγκαθιεῖ, *ut demum excudi curavimus.* Non solum cod. T. verum etiam membranae Laur. atque adeo ed. Rom. ἐγκαθιεῖ habent. P. E. Post Λοξίᾳ Br. edidit θεσπίσματα.

[e] πεπλασμένον, νόθον, καὶ οἱονεὶ ὑποβολιμαῖον Br.

[f] ἀντὶ τοῦ om. R. Br.

[g] ἢ R. Br.

[h] πείθειν με om. Br.

[i] ἀπαίδευτος καὶ ἀκάθαρτος Br. Tricl.

[k] ὁ βουλόμενος R. Br.

[l] τὰ ἀναγκαῖα Br.

[m] καλῶ τούσδε Br.

814. Ἢν σ' ἕλω] Ἐάν σε ἕλω, [a] δικαίως σε δηλονότι. Τιμωρήσομαι γὰρ τούσδε, οἷα ἀνταμείβῃ με ῥήματα.

815. Τῶνδε] Τῶν ἀπὸ τοῦ Χοροῦ.

*Ibid.* Βίᾳ] Βιαζόμενος τοὺς ἐμοὺς συμμάχους καὶ φύλακας.

816. Κἄνευ τῶνδε] Καὶ χωρὶς τοῦ λαβεῖν σε εἰς Θήβας.

821. Τήνδε] Τὴν [b] Ἀντιγόνην.

822. Ἰὼ ξένοι] Τῷ Χορῷ φησί.

826. Τήνδε] Τὴν Ἀντιγόνην· τοῖς ἀκολούθοις δὲ ἑαυτοῦ φησὶν ὁ Κρέων.

829. Τί δρᾷς ξένε] Πρὸς τὸν Κρέοντα ἕλκοντα τὴν [c] Ἀντιγόνην.

830. Τῆς ἐμῆς] [d] Ἀδελφῆς μου γάρ θυγάτηρ ἐστιν.

836. Εἴργου] Φυλάττου, χωρίζου.

*Ibid.* Σοῦ μὲν ὂν] Οὐκ ἀπείρξομαί [e] σου.

837. Πόλει] [f] Ταῖς Θήβαις.

840. Ὁδοιπορεῖν] [g] Ἀναχωρεῖν ἐντεῦθεν, ὦ Κρέων.

842. Ἐναίρεται σθένει: Τουτέστι, βίᾳ πορθεῖται.

845. Πρὸς βίαν] Ἀπαγομένης δὴ τῆς Ἀντιγόνης ὑπὸ τῶν προστεταγμένων παρὰ τοῦ Κρέοντος· ἐν μέρει δὲ παθητικά ἐστιν.

848. Ἐκ τούτοιν] Ἐκ τῶν θυγατέρων, αἷς ὡς σκήπτροις ἐχρῆτο καὶ βακτηρίᾳ.

858. Πόλει] Ταῖς [h] Θήβαις.

864. Μὴ γὰρ αἵδε δαίμονες] Μὴ ἄφωνος γενοίμην εἰς τὸ καταρᾶσθαί σε.

866. Ὄμμα] [i] Φησὶ τὴν Ἀντιγόνην.

875. [k] Τὸ παλαῖον φησὶ βαρύ.

879. Ταύτην δ' ἄρα οὐκέτι νομιῶ πόλιν, εἰ σὺ [l] ἀπάξεις τοῦτον.

881. Τά γ' οὐ τελεῖ] Ταῦτα ἃ λέγει, οὐ πληρώσει.

882. Εἰ τελέσω, [m] Ζεὺς εἰδείη.

[a] δικαίως δηλονότι, τιμωρήσομαι γ. τ. R. σε δηλονότι—γὰρ τούσδε om. Br.

[b] Ἀντιγόνην δηλονότι R. Br.

[c] Haec in ms. bis leguntur.

[d] Sic ms. a correctore, nam prima manus scripserat ἀδελφή μου γάρ ἐστι. P. E. Br. dedit, ἀδελφῆς γάρ ἐστι τῆς ἐμῆς θυγατήρ.

[e] σου om. R. Br.

[f] ταῖς Ἀθήναις δηλονότι R. Br.

[g] σοὶ δ' ἔγωγ', ὦ Κρέων, λέγω ἀναχωρεῖν ἐντεῦθεν Br.

[h] Ἀθήναις R. Br.

[i] ἤγουν Br.

[k] Ed. Rom. γράφεται καὶ βαρύ.

[l] τοῦτον ἀπάξεις Br.

[m] Ζεὺς ἂν εἰδείη Br.

884. Ἀνεκτέα] [a] Μεμπτέον· οὕτω γὰρ φασὶ, σκαπτέα, φυτευτέα, ἀντὶ τοῦ σκαπτέον, φυτευτέον.

887. Τίς ποθ' ἡ βοή: [b] Ἄκρως τῇ οἰκονομίᾳ τὸ μαθεῖν τὸν Θησέα τὰ γενόμενα, πρὸς [c] θυσίαις ὄντα τοῦ [d] Ἱππίου Ποσειδῶνος, ὑπὲρ τοῦ μὴ διατριβὴν [e] ἐγγενέσθαι μηνύοντός τινος.

890. Θᾶσσον] Ταχύτερον ἢ ὡς ἔδει βαδίζειν.

899. [f] Ἄνιπτον: Ἀπὸ ὑποδημάτων. Ἀντὶ τοῦ, ὡς ἔχει [g] σχήματος ἕκαστος.

900. Σπεύδειν ἀπὸ ῥυτῆρος: Ἀντὶ [h] τοῦ βλαύτης· τῶν δὲ ἐξηγησαμένων ἁπάντων [i] αὐτὸ Πραξιφάνης δοκεῖ ἄμεινον ἀποδιδόναι, ἀκούων τὸ ὑπόδημα, οἷον, τῶν ποδῶν τὸ κάλυμμα.

*Ibid.* Ἔνθα δίστομοι: Ὡς σχιστῆς οὔσης ὁδοῦ [k] ἐκεῖσε.

903. Ξένῳ] Τῷ Κρέοντι.

905. Εἰ μὲν δι' ὀργῆς ἧκεν: Εἰ μὲν δι' ὀργῆς [l] ἐληλύθει, ἐν ταύτῃ τῇ ὀργῇ, ἧς ἦν οὗτος ἄξιος.

908. Τούτοισι κοὐκ ἄλλοισιν: Ὡς ἀπὸ ξένης γῆς ἀπέσπασεν, οὕτω καὶ αὐτὸς ἐπὶ ξένης γῆς ἀποσπασθήσεται. Οὐκ [m] ἀναχωρεῖς γὰρ ἐντεῦθεν, πρὶν [n] ἂν ἀγάγῃς τὰς κόρας.

912. Οὔθ' ὧν πέφυκας] [o] Τῶν προγόνων.

916. Ἄγεις θ' ἃ χρῄζεις καὶ παρίστασαι: [p] Ἀντὶ τοῦ, μεθίστασαι· εἰώθεσαν δὲ οὕτω λέγειν· καὶ ἀντὶ τοῦ ἐφυγάδευσαν ἡμεῖς [q] ἂν εἴποιμεν, μετεστήσαντο· παρεστήσαντο δὲ λέγουσιν.

*Ibid.* Καὶ παρίστασαι βίᾳ: Τὸ παρίστασαι ἴσον ἐστὶ [r] τῷ καταδουλοῖς καὶ ὑποχείριον ποιεῖς· καὶ πάλιν [s] παραστήσασθε τούσδε τινάς φασί. Παραφυλάττεσθαι δὲ, ὡς δεινοποιεῖ τὰ τοῦ Κρέοντος ὁ

[a] ἀνεκτέον R. Br.

[b] σοφῶς ἄγαν ἐχρήσατο τῇ οἰκονομίᾳ ὥστε μαθεῖν Br. σοφῶς γ' ἂν Tricl. ceterum cum Br. conveniens.

[c] ταῖς θυσίαις R. Br.

[d] ἱππείου R.

[e] ἐγγίγνεσθαι Br. γενέσθαι Tricl.

[f] θυμάτων ἄπο. ἀπὸ τῶν θυσιῶν. ἀντὶ τοῦ ὡς κ. τ. λ. R. et fere Br.

[g] ἕκαστος σχήματος Br.

[h] τῆς βλάστης ms. τῆς βλαύτης Rom.

[i] ms. αὐτόν. neutrum R.

[k] ἐκεῖ Br.

[l] ἐληλύθειν R. Br.

[m] ἀναχωρήσεις Br.

[n] ἀναγάγῃς R. Br.

[o] Gl. om. R. Br.

[p] ἀντὶ τοῦ καταδουλοῖς αὐτὴν βίᾳ καὶ μ. R. Br.

[q] δὲ ἂν R. Br.

[r] τὸ L.

[s] παραστήσασθε—τινες P. E. παρίστασαι δὲ τοὺς δὲ φησί Triclin. Mox παραφυλάττεσθαι. καὶ δεινοποιεῖ R. παραφυλάττεσθαι δὲ χρὴ ὡς δ. Br. παραφυλάττεσθαι δὲ χρὴ ὡς δεινοποιεῖται Triclin.

Θησεὺς τῇ καλουμένῃ αὐξητικῇ κεφαλαιώσει, καὶ συνάπτει πολλὰ κεφάλαια. [Εἰς τὸ αὐτό.] [a] Ἀντὶ τοῦ, καταδουλοῖς αὐτὴν βίᾳ.

929. Σὺ δ' ἀξίαν οὐκ οὖσαν: Οὐκ οὖσαν ἀξίαν αἰσχύνεσθαι. [aa] Αἰσχύνη δὲ πατρίδος πολίτου ἁμαρτία.

*Ibid.* Πόλιν] [a] Τὴν Θήβην.

934. Εἰ μὴ μέτοικος τῆσδε: Ἀντὶ τοῦ, ἔνοικος· οὐ γὰρ αὐτὸ τοῦτο τὸ [b] ἔνοικος, ὡς ἡμεῖς φαμὲν, εἴρηται· μετοίκους δὲ καλοῦμεν τοὺς ἀπὸ ἑτέρας χώρας [c] οἰκοῦντας πρὸς τοὺς μετοικισθέντας ποθέν· τοῦτο δὲ ἔνοικον. Χέχρηται δὲ καὶ Αἰσχύλος ἐπὶ τῶν οἰωνῶν ἐν Ἀγαμέμνονι λέγων οὕτω·

τῶνδε μετοίκων·

[d] ἀντὶ τοῦ ἐνοίκων. Μετοίκους γὰρ εἶπε τῶν ὑψηλῶν τόπων τοὺς οἰωνοὺς κἀκεῖσε ἀντὶ τοῦ ἐνοίκων.

*Ibid.* Μέτοικος] [e] Ἀντὶ τοῦ ἔνοικος.

939. Ἐγὼ οὔτ' ἄνανδρον: Τὴν ῥητορείαν παραφύλαξον, εἰ τῶν μὲν κατηγορηθέντων αὐτοῦ οὐχ [f] ἅψεται, καινὰ δέ τινα ἐνθυμήματα καὶ πάνυ εὔλογα ἐξευρίσκων ἀντερεῖ.

942. Αὐτούς] Τοὺς Ἀθηναίους.

943. Ξυναίμων] [g] Τῶν συγγενῶν.

945. Οὐδ' ὅτῳ γάμοι] Παρ' ὅσον αὐτὸς τέκνον ἐστὶ τὴν μητέρα γεγαμηκώς.

947. Τοιοῦτον αὐτοῖς Ἄρεος: Ἤιδειν δὲ εὔβουλον ὄντα τὸν Ἄρειον πάγον· τοῦτον δὲ χθόνιον εἶπεν, οἷον, [h] εὐγενῆ καὶ αὐτόχθονα, ἐγχώριον· οὐχ, ὡς οἱ ἐξηγησάμενοι οἴονται, παρὰ τὸ τοὺς δικαζομένους ἐν αὐτῷ ὑπὸ τὴν χθόνα εἶναι. Χθόνιον τοίνυν, τὸν αὐτόχθονα· [i] λέγοι δ' ἂν τὴν Ἀρεοπαγῖτιν βουλήν· τὸν γὰρ πάγον εἰς τὸν ὄχθον [k] μετατέθεικεν· εἴρηται δὲ περὶ τῆς προσηγορίας αὐτοῦ πολλαχοῦ.

950. Ὧι πίστιν ἴσχων] Ὧι ἐγὼ θαρρῶν.

954. Θυμοῦ γὰρ οὐδὲν γῆρας: [l] Οἷον, οὐκ ἔστι θυμοῦ κρατῆσαι

[a] Hanc gl. h. l. om. R. Br.
[aa] αἰσχύνει δὲ πατρίδα R. Br.
[b] μέτοικος R. Br.
[c] Pro οἰκοῦντας—ποθέν Brunckius habet μεταβαίνοντας καὶ κατοικοῦντας ἐν ἑτέροις. Mox τοῦτο δὲ ἔνοικον om. R. Br.
[d] V. 58. ἀντὶ τ. ἐ. om. Br. Deinde μετοίκους—ἐνοίκων om. R. Habet Br. cum Triclin. ubi ἐκεῖ pro κἀκεῖσε, et ἐνοίκους in fine.
[e] Gl. om. R. Br.
[f] ἅψηται L. R.
[g] Gl. om. R. Br.
[h] ἐγγενῆ Br.
[i] λέγει—Ἀρεοπαγίτην R.
[k] μετατέθηκεν L. R. Br.
[l] οὐκ ἔστι φησὶ θυμοῦ Br. Tricl.

ἄνθρωπον ὄντα· οὐ [a] καταγηράσκει τὸ ὠμὸν τοῦ θυμοῦ, εἰ μὴ ἐξέλθοι τοῦ βίου ἄνθρωπος· ἀδύνατον γάρ ἐστι ζῶντα ἄνθρωπον μὴ θυμῷ χρήσασθαι. Τοῦτο δὲ καὶ παροιμιακῶς λέγεται, ὅτι ὁ θυμὸς ἔσχατον γηράσκει· [b] λέγεται δὲ διὰ τοὺς πρεσβυτέρους· [c] ὅσῳ γηράσκουσι, τὸν θυμὸν ἐῤῥωμενέστερον ἔχουσιν. Καὶ Ἀλκαῖος, ὡς λέγομεν, [d] οὐ κατὰ κοινὸν αὐτοῦ μιμνήσκεται.

960. Ὦ λῆμ' ἀναιδές: [f] Τὴν ὑστάτην ὑποφορὰν πρὸς τὸν Κρέοντα [g] μηκέτι ὑπὸ τοῦ Θησέως [h] λέγεσθαι, ἀλλ' [i] ὑπὸ τοῦ Οἰδίποδος· ἡ δὲ αἰτία πρόδηλος· καὶ [k] ἅμα παραφύλαττε, εἰ καὶ οὕτω πιθανῶς ποιεῖται τὰς ἐπιχειρήσεις· τῷ γὰρ ὄντι ὁ Οἰδίπους, εἴ τις ἀκριβῶς ἐξετάζοι, ἄδικος μὲν οὐκ ἔστιν, ἀτυχὴς δὲ καὶ περιπαθής.

961. Ἠ σαυτοῦ] Ἐπεὶ τὴν ἀδελφὴν [l] σαυτοῦ λοιδορεῖς.

965. Μηνίουσιν] Ὀργιζομένοις.

973. [m] Ἔα ἦ.

977. Τό γ' ἆκον] Τὸ ἀκούσιον.

978. Τὸ ἑξῆς· μητρὸς δὲ γάμους, [n] τλημων, οὔσης ὁμαίμου σῆς, ἀναγκάζων με λέγειν [o] οὐδ' ἐπαισχύνῃ.

1001. Ἅπαν καλὸν λέγειν νομίζων] Τουτέστιν, ἀθυρόστομος ὤν.

1006. Ὅθ' οὕνεκ' εἴτις γῆ: [p] Ὅτι οὕνεκα. Ἐκ παραλλήλου τὸ αὐτὸ, [q] ἀντὶ τοῦ, εἴθ' ὤφελεν. [r] Ἀντὶ τοῦ, ἀγνοεῖς τοῦτο, ὦ Κρέων, ὅτι εἴ τις χώρα θεοὺς ἐπίσταται [s] γιγνώσκειν, ἡττᾶται περὶ τὸ φιλόθεον [t] τῇ Ἀττικῇ.

1016. Οἵ μὲν ἐξηρπασμένην] Οἱ θεράποντες Κρέοντος.

1023. [u] Ἀλλ' οἱ Ἀθηναῖοι ἐπιδιώκουσιν αὐτούς.

[a] καταγηράσκει δὲ καὶ ἀποσβέννυται Br. Mox ἐξέλθῃ R. Deinde ὁ ἄνθρωπος Br.

[b] λ^ε utrobique L. λέγει utrobique R. Br.

[c] ὅσῳ γὰρ R. Br.

[d] οὕτω κατὰ κοινοῦ Br. et Triclin. qui praeterea ὡς λέγεται.

[f] εἰκότως τὴν ἀνθυποφορὰν Br. Tricl.

[g] οὐκ ἀπὸ Br. Tricl.

[h] πεποίηκεν Br. Tricl.

[i] ἀπὸ L. R. Br.

[k] ἄλλα R. Br. tum καὶ εἰ οὕτος Br. εἰ καὶ οὗτος πιθανὸς R.

[l] σου R. Br.

[m] om. R. Br.

[n] Sic sine acc. L. τλῆμον R. ὦ τλῆμον Br.

[o] οὐκ R. Br.

[p] ἐκ παραλλήλου τὸ ὅτι οὕνεκα τὸ αὐτὸ ὡς τὸ εἴθ' ὄφελον Br.

[q] ὡς τὸ R.

[r] εἴ τις γῆ] ἀγνοεῖς φησὶ τοῦτο Br. Mox ὦ om. R.

[s] σέβειν Br.

[t] ἐν τῇ Ἀττικῇ R. τῆς Ἀττικῆς Br.

[u] ἄλλοι Br.

1024. Ἐπεύξωνται] [a] Οἵ σοι θεράποντες.

1031. Πιστὸς ὢν] Ἀντὶ τοῦ, πιστεύων· καταστρέφει δὲ [aa] εἰς τὸ πεποιθώς.

1044. Εἴην ὅθι δαΐων: Ὁ μὲν Κρέων καὶ ὁ Θησεὺς ἀπῆλθον, [b] ὑπονοῶν αὐτὸν οὐ ψιλὸν ἥκειν, ἀλλὰ μετά τινος χειρὸς, ἣν πλησίον που ἐστρατοπεδευκέναι· κατὰ τοῦτο οὖν [c] καὶ οἱ κατὰ τὸν χορὸν ἄλλως προβεβηκότες τὴν ἡλικίαν, εὐχὴν ποιοῦνται ταύτην· εἴθε εἴην ὅπου αἱ συμβολαὶ καὶ αἱ μάχαι μέλλουσιν ἔσεσθαι· ὑπονοοῦσι γὰρ [d] αὐτῷ τὰ ὅμοια τῷ Θησεῖ περὶ τοῦ Κρέοντος, καὶ [e] φασίν· Εἴθε ἐπόπτης [f] ἐγενόμην αὐτῶν.

1045. Ἐπιστροφαὶ] [g] Ἀντὶ τοῦ ἀναστροφαί.

1046. Χαλκοβόαν] [h] Στερεοβόαν, μεγαλόφωνον.

1047. Ἢ πρὸς Πυθίαις: Ἀπὸ κοινοῦ τὸ ἀκταῖς ληπτέον· λέγοι δ' ἂν Πυθίας ἀκτὰς, τὸν τοῦ Πυθίου Ἀπόλλωνος βωμὸν τὸν ἐν τῷ Μαραθῶνι, ὅθεν καὶ τὴν θεωρίαν ἔπεμπον. Ἱστορεῖ περὶ τούτων Φιλόχορος ἐν τῇ Τετραπόλει, γρ. οὕτως· "ὅταν δὲ σημεῖα γένηται παραδεδομένα ἐν τοῖς ἱεροῖς, τότε ἀποστέλλουσι τὴν θεωρίαν οἱ ἐκ τοῦ γένους, Πυθίαι [i] τε καὶ Δηλιάδες, ὁπότερα ἂν καθήκῃ αὐτοῖς· θύει δὲ ὁ μάντις, ὅταν μὲν τὰ εἰς Δελφοὺς [k] πόμπιμα γένηται, καὶ θεωρία πέμπηται, ἐν Οἰνόῃ καθ' ἑκάστην ἡμέραν ἐν τῷ Πυθίῳ· εἰ δὲ εἰς Δῆλον ἀποστέλλοιτο ἡ θεωρία, κατὰ τὰ προειρημένα θύει ὁ μάντις εἰς τὸ ἐν Μαραθῶνι Δήλιον· καὶ ἔστιν ἱεροσκοπία τῆς μὲν εἰς Δελφοὺς θεωρίας, ἐν τῷ ἐν Οἰνόῃ Πυθίῳ· τῆς δὲ εἰς Δῆλον, ἐν τῷ [l] ἐν Μαραθῶνι Δηλίῳ."

*Ibid.* Πυθίαις] Ὡς ἐπὶ Μαραθῶνα, οὗ τὸ Πύθιον [m] ἵδρυται.

*Ibid.* Ἢ λαμπάσιν ἀκταῖς ἔως τέλη θνητοῖσιν: Τὰ περὶ Ἐλευσῖνα [n] μέρη φησὶ, καὶ [o] εἴη λαμπάσιν ἀκταῖς, ταῖς λαμπαδευομέναις,

[a] οἷς οἱ R. ἤγουν οἱ Br.
[aa] ἐπὶ R. Br.
[b] ὑπονοοῦσι δὲ αὐτὸν R. ὁ δὲ Χορὸς ὑπονοεῖ τὸν Κρέοντα Br. Tricl.
[c] οἱ τοῦ χοροῦ Br. qui mox ἄλλως τε καί.
[d] αὐτῷ om. R. Br.
[e] φ" L. φασιν R.
[f] γενοίμην Br.
[g] ἀντὶ τοῦ om. R. Br.
[h] στερρεοβόαν R. στερροβόαν Br.
[i] δὲ L. R. Br.
[k] πόμπημα R.
[l] ἐν om. R. Br.
[m] ἔστιν R. Br.
[n] τέλη L. supra scripto μέρη. R., τέλη.
[o] εἴη ἂν Br. Mox ἀκταῖς λέγων R. Br.

καὶ καταλαμπομέναις [a] καὶ δαδουχουμέναις ὑπὸ τῆς μυστικῆς φλογὸς, καὶ τῶν ἱερῶν δάδων, περὶ ὧν Αἰσχύλος φησίν·

Λαμπραῖσιν [b] ἀστραπαῖσι λαμπάδων σθένει.

*Ibid.* Λαμπάσιν] Περὶ Ἐλευσῖνα· ἀπὸ τῶν αὐτόθι ἐν τοῖς μυστηρίοις λαμπάδων.

*Ibid.* Ἀκταῖς] Τὸν βωμὸν [λέγει.]

*Ibid.* Τιθηνοῦνται] Ἐπιμελοῦνται, καὶ ἀξιοῦνται θεραπείαις.

1049. Οὗ πότνιαι σεμναί: Αἱ Θεσμοφόροι. Τέλη δὲ, τὰς τελετάς· καὶ Αἰσχύλος·

Ἔφριξ' [c] ἔρως δὲ τοῦδε μυστικοῦ τέλους.

1051. [d] Ὧν] Τῶν τετελεσμένων.

*Ibid.* Ὧν καὶ χρυσέα κλῄς: Ἐπεὶ ἄῤῥητα τὰ μυστήρια, καὶ καθάπερ κλεισὶν ἡ γλῶσσα κατείληπται, ὑπὲρ τοῦ μὴ ἐξενεγκεῖν.

*Ibid.* Προσπόλων Εὐμολπιδᾶν: Ζητεῖται, τί δήποτε οἱ Εὐμολπίδαι τῶν τελετῶν ἐξάρχουσι, ξένοι ὄντες· εἴποι δ' ἄν τις, ὅτι ἀξιοῦσιν [e] ἔνιοι πρῶτον Εὔμολπον ποιῆσαι τὸν Δηϊόπης τῆς Τριπτολέμου τὰ ἐν Ἐλευσῖνι μυστήρια, καὶ οὐ τὸν Θρᾷκα· καὶ τοῦτο ἱστορεῖν Ἴστρον ἐν τῷ [g] περὶ τῶν ἀτάκτων. Ἀκεσόδωρος δὲ πέμπτον ἀπὸ τοῦ πρώτου Εὐμόλπου εἶναι τὸν τὰς τελετὰς καταδείξαντα, γρ. οὕτως· "Κατοικῆσαι δὲ τὴν Ἐλευσῖνα ἱστοροῦσι [h] δὲ πρῶτον μὲν τοὺς αὐ-"τόχθονας, εἶτα Θρᾷκας τοὺς μετὰ Εὐμόλπου παραγενομένους πρὸς "βοήθειαν [i] κατὰ τὸν πρὸς Ἐρεχθέα πόλεμον." Τινὲς δὲ φασὶ καὶ τὸν Εὔμολπον εὑρεῖν τὴν μύησιν τὴν συντελουμένην κατ' ἐνιαυτὸν ἐν Ἐλευσῖνι Δήμητρι καὶ Κόρῃ. [k] Ἄνδρων μὲν οὖν γρ. οὐ τὸν Εὔμολπον εὑρεῖν [τὴν] μύησιν, ἀλλ' ἀπὸ τούτου Εὔμολπον πέμπτον γεγονότα. Εὐμόλπου γὰρ γενέσθαι Κήρυκα· τοῦ δὲ, Εὔμολπον· τοῦ δὲ, Ἀντίφημον· τοῦ δὲ, Μουσαῖον τὸν ποιητήν· τοῦ δὲ, Εὔμολπον τὸν καταδείξαντα τὴν μύησιν, καὶ [l] ἱεροφάντην γεγονότα.

[a] καὶ δαδουχουμέναις om. Br.

[b] ἀστραπαῖσιν L.

[c] ἔρωτι Br.

[d] Gl. infra collocant R. Br.

[e] ἔνιοι om. Rom. Mox πρῶτον τὸν Δηϊόπης τῆς Τριπτολέμου Εὔμολπον ποιῆσαι Br. Tricl.

[g] MS. π̄. quod mutavi in π̄ pro πέμπτῳ. Istri ἐν τῇ ᾱ τῶν Ἀτάκτων mentio est ad v. 1059. P. E.

[h] δὲ om. R. Br.

[i] πρὸς βοήθειαν τὸν κατ' Ἐρεχθέος πόλεμον. L. πρὸς βοήθειαν, εἰς τὸν κατ' Ἐρεχθέος πόλεμον. R. Br. In Br. tamen Ἐρεχθέως cum Triclin.

[k] Ἀνδροτίων R. Br. Ἄνδρων Triclin.

[l] ἱεροφάτην R.

1054. Ἐγρεμάχαν] γρ. [a] ὀρειβάταν, οἱονεὶ, τὸν διὰ τῶν [b] ὀρῶν βαίνοντα τῶν προειρημένων χωρίων.

1059. Ἤπου τὸν ἐφέσπερον: [c] Τὸν Αἰγάλεων φησί· καὶ γὰρ τοῦτο ἐπ' ἐσχάτων ἐστὶν τοῦ δήμου τούτου· καταλέγουσι δὲ χωρία, παρ' ἃ μάλιστα εἰκάζουσι τὴν συμβολὴν γενέσθαι τοῖς περὶ τὸν Κρέοντα καὶ Θησέα. Πέτρας δὲ νιφάδος [d] ἂν εἴη λέγων τὴν οὕτω λεγομένην λείαν πέτραν, [e] ἢ τὸν Αἰγάλεων λόφον, ἃ δὴ [f] περιχώρια φασὶν εἶναι, καθάπερ Ἴστρος ἐν τῇ α̅ τῶν ἀτάκτων ἱστορεῖ, οὕτως· "Ἀπὸ "δὲ τῆς παραλίας [g] ἔπιμεν λείαν πέτραν." Καὶ μετ' ὀλίγα· "Ἀπὸ "τούτου δὲ ἕως Κολωνοῦ παρὰ τὸν Χαλκοῦν προσαγορευόμενον, ὅθεν "πρὸς τὸν Κηφισὸν ἕως τῆς μυστικῆς εἰσόδου εἰς Ἐλευσῖνα· ἀπὸ "ταύτης δὲ βαδιζόντων εἰς Ἐλευσῖνα τὰ ἐπαριστερὰ μέχρι τοῦ λό"φου τοῦ πρὸς [h] ἀνατολὰς τοῦ Αἰγάλεω." Ἤτοι οὖν τὴν καλουμένην λείαν πέτραν, ἢ τὸν [i] Αἰγάλεων. Ὁ δὲ νοῦς· Ἆρα ἐπὶ τὸν ἕσπερον χῶρον τῆς λείας πέτρας [k] προσπελάζουσιν;

1060. Πελῶσι] γρ. Πελάζουσι.

*Ibid.* Τὸν ἐφέσπερον] [l] Ἐπὶ τὸν ἕσπερον.

1061. Οἰάτιδος ἐκ νομοῦ: Οἴα, δῆμος τῆς Ἀττικῆς, ὅθεν καὶ τὸ Οἴηθεν· [m] ἐκ νομοῦ δὲ πάλιν χωρίου Ἀττικοῦ οὕτω καλουμένου, ἐν [n] ᾗ νέμουσιν, ὡς νεμήσεως παρακειμένης [o].

1064. Προσχώρων] Ἀντὶ τοῦ, ἐπιχωρίων.

1065. Θησειδᾶν] Τῶν Ἀθηναίων· ἁπλούστερον δὲ [p] Θησειδᾶν φησὶ, τῶν Ἀττικῶν, τῶν ὑπὸ Θησέα τεταγμένων.

1068. Τὸ ἑξῆς· πᾶσα δ' ὁρμᾶται ἄμβασις.

1076. [q] Τάχ' ἐνδώσειν: Τάχα ἐνδώσει, φησὶν, ὁ Κρέων, τὰν

[a] Sic R. pro ὀρειοβάταν.
[b] ὀρέων R. Br.
[c] τὸ Αἰγ. R.
[d] εἴη ἂν R. Br.
[e] ἢ τὸν Αἰγάλεων—λόφον λείαν πέτραν om. R. Sed agnoscit Triclin.
[f] ἐπιχώρια Triclin. περίχωρα Br.
[g] Sic P. E. ἐπὶ μὲν Triclin. Br. qui χαράδρας pro παραλίας.
[h] ἀνατολὴν Br. Tricl.
[i] Αἰγάλεων λέγει Br. Tricl.
[k] προσπελάσουσι Br. Tricl.
[l] Gl. om. R. Br.
[m] ἢ πάλιν νομοῦ Br.
[n] ᾗ L. R. ᾧ Br.
[o] Sequitur in ms. diphthongus ου, initium alicujus additamenti, quod non complevit librarius. P. E.
[p] Θησιδᾶν L.
[q] τάχ' ἀνδώσειν τὰν δεινά: τάχα ἐνδώσει φησὶν ὁ Κρέων. τὴν πολλὰ δὲ ἀνατλᾶσαν τὴν παρθένον ἀπὸ τῆς ἑτέρας δηλῶν. L. τάχ' ἂν δώσειν. τάχα ἐνδώσει φησὶν ὁ Κρέων. Τὰν πολλὰ τλᾶσαν. τὴν παρθένον ἀπὸ τῆς ἑτέρας δηλῶν. R. Hinc oritur varia lectio, τὰν πολλὰ τλᾶσαν, non mala quidem illa, sed quae nulla idonea auctoritate nititur. P. E.

πολλὰ [a] δεινὰ τλᾶσαν, τὰς παρθένους ἀπὸ τῆς ἑτέρας δηλῶν, ὡς καὶ κατωτέρω τῷ ὁμοίῳ σχήματι χρῆται· δύναται δὲ καὶ ἑτέρα εἶναι προσῳδία, τᾶν δεινὰ τλασᾶν, δεινὰ δ' εὑρουσᾶν.

1077. Δεινά] Τὰ σὰ [b] δεινά.

1094. Διπλᾶς ἀρωγάς] Τουτέστι [c] τῇ διπλῇ ἀρωγῇ, ὃ λέγει τῇ πόλει καὶ τοῖς πολίταις· νῦν δὲ διὰ τοῦ στέργω σημαίνει μὲν οἷον προσίεμαι· τελευτᾷ δὲ εἰς ἴσον [d] τῷ προσκαλοῦμαι.

1113. Ἐμφῦσα] [e] Ἀντὶ τοῦ ἐμφῦσαι.

1119. Ἰδίως ἐσχημάτισε τὸν λόγον· μὴ προσθαύμαζέ μου τὸ λιπαρὲς, τὸ λίαν προσκεκαθικὸς τῆς ψυχῆς τοῖς τέκνοις. Τὸ δὲ ἐχόμενον οὐ καταλλήλως εἶπεν· οὐ γὰρ φησὶν, ἀέλπτως φανέντων ἐμοὶ τῶν τέκνων, μηκύνω τὸν λόγον, ἀλλὰ, [f] τέκνα φανέντα, εἶτα μηκύνω τὸν λόγον.

*Ibid.* Λίπαρες] [g] Ἀρέσκον.

*Ibid.* Πρὸς τὸ λιπαρές] Πρὸς τὸ [h] κελεύειν εἰ μακρηγορήσω.

1138. Μέλου] [i] Ἀντὶ τοῦ ἐπιμελοῦ.

1140. Θαυμάσας ἔχω] Ἀντὶ τοῦ ἐθαύμασα, Ἀττικῶς.

1153. Ἄνθρωπον δὲ, φησὶν, ὄντα [k] οὐδὲν πρᾶγμα κακίζειν δεῖ.

1156. Ἔμπολιν] Ἐν τῇ αὐτῇ πόλει οἰκοῦντα.

*Ibid.* Καθ' ὑπόθεσιν ἱκετεύει ὁ Πολυνείκης πρὸς αὐτοὺς [l] παραγενέσθαι καὶ τὸν Οἰδίπουν, κατά τι λόγιον ἐμπεσὸν, ὅτι πρὸς οὓς ἂν γένοιτο ὁ Οἰδίπους, κρατήσουσι τῆς βασιλείας· τοῦτο οὖν ἀγγέλλει ὁ Θησεύς.

1159. Ἔκυρον] Ἀντὶ τοῦ, ἐκύρουν, ταυτὸν τῷ ἐτύγχανον.

1164. Τὸ ἑξῆς· [m] φασὶν αὐτὸν μολόντ' αἰτεῖν εἰς λόγους σοι ἐλθεῖν.

1171. Ὁ προστάτης] Ὁ ἱκέτης, ὁ προσεστηκὼς τῷ βωμῷ.

1173. Παῖς οὑ 'μὸς ὦ 'ναξ] Πρὸς τὸν Θησέα φησίν. [n] Ὧδε παῖδα αὐτὸν κέκληκεν.

[a] δεινὰ addidit Triclin. qui mox παρθένον pro τὰς παρθένους.

[b] δεινὰ δηλονότι R. Br.

[c] τῇ om. Br.

[d] τὸ L.

[e] Gl. om. R. Br.

[f] τὰ τέκνα Br.

[g] τὸ ἀρέσκον R. Br.

[h] κελεύσιμον R. Br.

[i] ἀντὶ τοῦ om. R. Br.

[k] οὐ δεῖ πράγματα κακίζειν ἀεί. L. R. Br.

[l] παραγενόμενος R. Br.

[m] φησὶν L. σοι φασὶν R. qui om. σοι in fin.

[n] Verba ὧδε π. α. κέκληκεν consulto, ni fallor, omisit editor Romanus. Pene incredibilis est grammatici stupor, qui opinatus sit no-

1178. Εἰκάθειν] Παραγώγως ἀντὶ τοῦ εἴκειν.

1181. Οὐχ ὡς οὐκ ἂν πεισθησομένου τῷ Θησεῖ τοῦ Οἰδίπου, οὕτως ἐδέησεν [a] αὐτῷ καὶ τῆς ἐκ τῆς θυγατρὸς παρακλήσεως, ἀλλ' αὐξήσεως χάριν καὶ τοῦτο παρείληφεν τὸ πρόσωπον ὁ Σοφοκλῆς· ἀμέλει γοῦν πρὸς τὸν Θησέα ἀποκρίνεται, ὡς ἐκείνῳ πεπεισμένος.

1185. Τὸ ἑξῆς· [b] οὐ γὰρ ἃ μή σοι συμφέροντα λέξεται, πρὸς βίαν σε παρασπάσει γνώμης, θάρσει. [c] Τὸ δὲ λέξεται ἀντὶ τοῦ λέξει, ὁ Πολυνείκης δηλονότι.

1194. Ἐξεπᾴδονται] Καταπραΰνονται.

1195. [d] Περὶ τὴν πήρωσιν λέγοι ἄν· οὐ γὰρ τὰ ἐξαρχῆς πραχθέντα [e] ὀνειδίζοι ἂν αὐτῷ· ἀλλ' ἀπὸ τῆς ἄγαν ὀργῆς ἀπέβη· τούτου γὰρ αὐτὸν ἀποτρέπειν βούλεται.

1203. Τίνειν] [f] Ἀντὶ τοῦ ἀμείβεσθαι.

1210. Σῶν] Ἀντὶ τοῦ, σῶιον.

1211. Ὅστις τοῦ πλέονος μέρους: Κατάδηλός ἐστιν ὁ χορὸς ἐν ταυτῷ ἀναφωνῶν καὶ ἀλληγορῶν περὶ τῆς τῶν ἀνθρώπων ἀπληστίας, καὶ ἔοικε τῷ [g] Ἡσιοδείῳ·

Νήπιοι [h] οὐδ' ἴσασιν ὅσῳ πλέον ἥμισυ παντός.

Τείνει δὲ [i] ταῦτα εἰς τὴν δυσποτμίαν Οἰδίπου.

1219. Ὁπότ' ἂν τις] [k] γρ. ὅπου ὅτ' ἂν τις.

***Ibid.*** Ἐς πλέον πέσῃ: [l] Ἐς πλέον τοῦ προσήκοντος· ἀφανῆ τὰ τέρποντα γίνεται καὶ πᾶσιν ἄδηλα.

1220. Τοῦ θέλοντος] Ἀντὶ τοῦ μετρίου, τοῦ ἱκανοῦ.

***Ibid.*** Οὐδ' ἐπὶ κόρος: Ταῦτα καθ' ἑαυτόν. Φησὶ δὲ ὁ χορὸς τῷ

minativum παῖς οὑμὸς cum vocativo ἄναξ jungendum esse. P. E.

[a] αὐτοῦ R.

[b] θάρσει· οὐ γὰρ Br. omisso θάρσει paullo infra.

[c] ὀφείλων δὲ εἰπεῖν, ἃ λέξει ὁ Πολυνείκης, λέξεται εἶπε πρὸς τὸ ἃ, ἤγουν ἃ λεχθήσεται. Br. cum Triclin.

[d] τὰ περὶ τὴν πείρωσιν R. τὰ π. τ. πήρ. Br.

[e] ὀνειδίζει ἂν L. ὀνειδίζει R. Br. Mox ὑπὸ Br.

[f] ἀντὶ τοῦ om. R. Br.

[g] Ἡσιόδῳ L. R. Ἔργ. 40.

[h] οὐκ R.

[i] ταῦτα om. R.

[k] γρ. ὅπου om. R. Br.

[l] τοῦ μετρίου, τοῦ ἱκανοῦ, τοῦ προσήκοντος R. qui post ἄδηλα addit ἄλλως. ἐς πλέον πέσῃ. οὐ παύσονται τοῦ κόρου, πρὶν εἰς θάνατον ἔλθωσιν. οὐδ' ἐπὶ κοῦρος. γράφεται κόρος. ταῦτα καθ' κ. τ. λ. Sic autem Br.: τὰ τέρποντα δ' οὐκ] ἀφανῆ τὰ τέρποντα γίγνεται καὶ πᾶσιν ἄδηλα. ὁπότ' ἄν τις] ὅτε ἄν τις. τοῦ θέλοντος] τοῦ μετρίου, τοῦ ἱκανοῦ, τοῦ προσήκοντος. οὐδ' ἐπὶ κούρος] γράφεται κόρος. ταῦτα καθ' ἑαυτὸν φησὶν ὁ χορὸς, ὅτι ὁ πλεονεκτεῖν ἐθέλων τι κ. τ. λ.

*πλεονεκτεῖν ἐθέλοντι παρὰ τὸ καίριον καὶ τὸ μέτριον,* [a] *ἄχορός ἐστιν οὗτος, ἰσοτέλεστος, ὁμοίως ἀποθνήσκουσιν οἱ τοιοῦτοι· τὸ ἑξῆς δὲ, ἰσοτέλεστος θάνατος, τὰ δὲ ἄλλα διὰ μέσου.* [b] Βῆναι κεῖθεν ὅθενπερ *ἥκει ὡς τάχιστα.* Τοῦτό *ἐστι τὸ ἑξῆς, οἷον, οὐδὲ ἔπεστιν αὐτοῖς κόρος ἰσοτέλεστος τοῦ* Ἄιδου· *τότε γὰρ ὁ τοιοῦτος κόρος λαμβάνει τέλος, ὅτε ἂν ὁ* Ἄιδης *ἐπέλθῃ.* [Εἰς *τὸ αὐτό.*] [c] Οὐ *παύσονται τοῦ κορου πρὶν εἰς θάνατον ἔλθωσιν.*

*Ibid.* Κοῦρος] [d] Οἶμαι *κόρος.*

1223. Ἄλυρος: Ἐπεὶ *ἐν θανάτῳ οὐχ ὑμνοῦσιν· ἢ μετὰ θάνατον οἱ τοιοῦτοι οὐχ ὑμνοῦνται.*

1225. Μὴ *φῦναι τὸν ἅπαντα*: Πάνυ *ἄριστον ἀνθρώποις τὸ μὴ φῦναι, παρὰ τὸ λεγόμενον·*

[e] *Ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον.*

1226. Τὸ *δ' ἐπεὶ φανῇ*: [f] Τούτου *τὸ ἑξῆς· ἐπεὶ δὲ φανῇ, τὸ βῆναι ἐκεῖθεν ὅθενπερ ἥκει ὡς τάχιστα, παραπολὺ τῶν ἄλλων δεύτερόν ἐστιν ἐκείνου,* [g] *τὸ μὴ φῦναι καθόλου.*

1229. Ὡς *εὖτ' ἂν τὸ νέον παρῇ*: Ὡς *ἡνίκ' ἂν* [h] *νηπιότης παρῇ, ταύτας γὰρ φησὶ κούφας ἀφροσύνας, οὐδὲν ἐπιλογίζεται τῶν δεόντων· ἰδίως δὲ αὐτὸ ἐξήνεγκεν, ὡς εἰ ἔλεγεν, τῷ γὰρ νέῳ ἀφροσύνη πάρεστιν.*

1231. Τίς *πλαγχθῇ*: Τοῦτο *ἰδίως ἐξήνεγκεν· βούλεται δέ τι τὸ* [i] *τοιοῦτο σημαίνειν· τίς ἂν πλαγχθείη τῶν πολλῶν μόχθων;*

*Ibid.* [Εἰς *τὸ αὐτό.*] Τίς *ἔξω τοῦ πολύμοχθος εἶναι ἐπλανήθη;*

1232. Τίς *οὐ καμάτων ἔνι φόνοι*: Ταῦτα [k] *ὑπεροπτικῶς εἴρηται κατὰ τοιαύτην ὑπόκρισιν, καθ' ἣν ἐμφαίνεται πρότερον μὲν, ὅταν εἴπῃ, τίς πλάγχθῃ τῶν μόχθων τῶν πολλῶν;* [l] *ὑπακουόμενον τὸ τοιοῦτον, οὐδείς· πάλιν δὲ, ὅταν ἑξῆς ἐπιζεύξῃ, τίς οὐ καμάτων ἔνι;* [m] *τὸ πᾶς· βούλεται γὰρ καὶ νῦν κατὰ τὸ ὅμοιον λέγειν· οὐδείς ἐστι κάματος, ὃς οὐκ ἔνεστιν.*

1248. Αἱ *δὲ νυχίαν ἀπὸ ῥιπᾶν*: Τὰ *ἀπὸ τῶν ὀρῶν φησὶ τῶν προσαγορευομένων* [n] Ῥιπῶν. Τίνες [o] *δὲ οὕτω· καλοῦσι* Ῥίπαια *ὄρη.* Λέγει

[a] *ἄχαρις* Br.
[b] *βῆναι—τάχιστα* om. Br.
[c] Gl. h. l. om. R.
[d] om. R. Br.
[e] Theognis v. 425.
[f] *τοῦτο* R. Br.
[g] *τοῦ* Br.
[h] *ἡ νηπιότης* Br.
[i] *τοιοῦτον* R. Br.
[k] *ἐρωτηματικῶς* Br. cum Triclin.
[l] *ὑπακουομένου τοῦ οὐδείς* Br. Triclin.
[m] *τοῦ πᾶς* Br. Triclin.
[n] *ῥιπαίων* R. Br.
[o] *οὕτω δὲ* R. Br.

δὲ αὐτὰ ἐννύχια, διὰ τὸ πρὸς τῇ δύσει κεῖσθαι· μέμνηται δὲ καὶ Ἀλκμὰν λέγων οὕτω·

Ῥιπὰς ὄρος ἔνθεον [a] ὕλαι νυκτὸς μελαίνας στέρνων.

καὶ ἐν Ἡλιάσιν Αἰσχύλος·

Ῥιπαὶ μὲν δὴ πατρός.

1254. [b] Παραφυλάττετε πάλιν τὴν τέχνην τῆς ῥητορείας αὐτοῦ, ὅτι οὐκ εὐθέως ἐπὶ τὴν ὑπόθεσιν [c] ἑαυτοῦ ἀπαντᾷ, ἀλλὰ προκατασκευάζει τὰ ὅλα εἰς εὔνοιαν.

1262. Ἀδελφά] Κοινὰ δὲ τούτοις, ὡς ἔοικεν, [d] γίνεται.

1270. Ἄκη] [e] Ἐπανάληψις· ἀντὶ τοῦ ἀνακαλέσασθαι αὐτὰ καὶ [f] ἀναλῦσαι.

1277. Τὸ δυσπρόσοιστον] Τὸ δυσπροσπέλαστον.

1291. Ἃ δ' ἦλθον] Λείπει ἡ [g] διά.

1311. Ξὺν ἑπτά τε λόγχαις] Ἕκαστον σύστημα ἑνικῶς ὀνομάζει λόγχην, ὡς εἴ τις ἐπὶ πολλῶν ἵππων [h] εἴποι τὴν ἵππον.

1320. Ἔνιοι οὐ τὸν Ἀταλάντης [i] φασὶ Παρθενοπαῖον στρατεῦσαι, ἀλλὰ τὸν Ταλαοῦ, ὃν ἔνιοι διὰ τοῦ κ Καλαὸν προσαγορεύουσι, καθάπερ Ἀρίσταρχος ὁ Τεγεάτης καὶ Φιλοκλῆς ἱστοροῦσι, συγγραφέων δὲ Ἑκαταῖος ὁ Μιλήσιος.

1321. Ἐπώνυμος] Παρὰ τὸ παρθένος οὕτω κληθείς.

1329. Τῷδ' ἀνδρί] [k] Δεικτικῶς· καὶ ἔστι πυκνὸς ἐν τῷ τοιούτῳ Σοφοκλῆς.

1333. Παθητικόν ἐστι τὸ [l] πρόσωπον πατρῴων κρηνῶν ὁρκοῦν, ὡς εἰ ἔφη, πρὸς τῶν ἐκθρεψάντων σε ὑδάτων.

1346. Ἤρξατο πάλιν ὁ Χορὸς χρηστόν τι [m] συμβουλεύειν.

1354. Ὅς γ' ὦ κάκιστε: Δαιμονίως τῇ ἀποστροφῇ χρῆται ἀπὸ

[a] ὕλας—στέρνον R. Br. ὕλαι—στέρνον Triclin. Mox καὶ ἐν Ἡλ.—πατρὸς om. R. L. sed habet cum Triclinio Br.

[b] παραφυλάττεται L. παραφυλάττου R.

[c] αὐτοῦ R. Vocem om. Br.

[d] ὑπομένει Br.

[e] τουτέστιν ἐπαν. Br.

[f] ἀναλαβέσθαι οὐκ ἔστι Br. cum Triclin.

[g] διὰ, ἵν' ᾖ, δι' ἃ ἦλθον R. Br. Post hanc gl. addunt Tricl. Br. Ἀπίας] οὕτως ἐκαλεῖτο τὸ Ἄργος πρότερον.

[h] εἴπῃ L.

[i] Παρθενοπαῖόν φασι R. Br.

[k] δεικτικῶς, ἐμοὶ Br. qui mox addit σχήματι post τοιούτῳ cum Triclin.

[l] πρὸς R. Br. παθητικόν ἐστι τὸ τοιοῦτο, πατρῴας κρήνας ὁρκοῦν Triclin.

[m] Post h. gl. addit Br. τοῦ πέμψαντος] τοῦ Θησέως. Deinde uterque R. Br. δικαιῶν] δίκαιον κρίνων.

τοῦ Χοροῦ ἐπὶ τὸν Πολυνείκην ὁ Οἰδίπους· παραφύλαξον δὲ, πῶς οἱ αὐτοὶ τῶν λόγων γίνονται τῶν μὲν θηλειῶν ἐγκώμιον, τούτου δὲ κατηγόρημα.

1375. Τοιάσδ' ἀράς: Τοῦτο ἁπαξάπαντες οἱ πρὸ ἡμῶν παραλελοίπασιν· ἔχει δὲ τὰ ἀπὸ τῆς ἱστορίας οὕτως· οἱ περὶ Ἐτεοκλέα καὶ Πολυνείκην δι' ἔθους ἔχοντες τῷ πατρὶ Οἰδίποδι πέμπειν ἐξ ἑκάστου ἱερείου μοῖραν τὸν ὦμον, ἐκλαθόμενοί ποτε, εἴτε κατὰ ῥαστώνην, εἴτε ἐξ ὅτου οὖν, ἰσχίον αὐτῷ ἔπεμψαν· ὁ δὲ μικροψύχως καὶ τελέως ἀγεννῶς, ὅμως γοῦν ἀρὰς ἔθετο κατ' αὐτῶν, δόξας κατολιγωρεῖσθαι. Ταῦτα ὁ τὴν [a] κυκλικὴν Θηβαΐδα ποιήσας ἱστορεῖ οὕτως·

Ἰσχίον ὡς ἐνόησε, χαμαὶ βάλεν, εἶπέ τε μῦθον·  
ὤ μοι ἐγὼ, [b] παῖδες μὲν ὀνειδείοντες ἔπεμψαν.  
εὖκτο Διῒ [c] βασιλῆϊ καὶ ἄλλοις ἀθανάτοισι,  
χερσὶν ὑπ' ἀλλήλων καταβήμεναι Ἄϊδος εἴσω.

Τὰ δὲ παραπλήσια τῷ ἐποποιῷ καὶ Αἰσχύλος ἐν τοῖς Ἑπτὰ ἐπὶ Θήβαις· καὶ ἔοικεν τὸ τῆς ἱστορίας ἥκειν ἐπὶ πολλοὺς, ὡς καὶ παρά τινι [d] ἐκτεθῆναι αὐτὰ πρὸς τὸ γελοιότερον διὰ τούτων·

Ἀεὶ δ' ὁρῶντί γ' ὀξὺ, [e] καὶ τυφλὸς ἦν.  
θυσίας γὰρ [f] ἀπαρχὰς γέρας ἐπέμπομεν πατρὶ  
περισσὸν ὦμον, ἔκκριτον γέρας· τὸ δὴ  
[g] αὐτοί γε συγκόψαντες, οὐ μεμνημένοι,  
λήσειν δοκοῦντες, ἀντὶ τοῦ [h] κεκομμένου  
ἐπέμψαμεν βόειον· ὁ δὲ λαβὼν χερὶ  
ἔγνω 'παφήσας, εἶπέ τ' ἐκ θυμοῦ τάδε·  
Τίς μοι τόδ' [i] ἀνθόμοια μισητὸν κρέας  
[k] πέμπει; [l] γέλωτα δή με ποιοῦνται κόροι,  
θύοντες ὕβρει· τυφλὸς [m] οὔ τοι γνώσεται,  
οὕτω λέγοντες· ὦ θεοὶ, μαρτύρομαι  
ἐγὼ τάδ' ὑμᾶς, καὶ κατεύχομαι κακὰ  
αὐτοῖσιν, αὐτοὺς τῶνδε δὶς [n] τόσα σχεθεῖν.  
χαλκῷ δὲ μαρμαίροντες, ἀλλήλων χρόα  
σφάζοιεν ἀμφὶ κτήμασιν [o] βασιλικοῖς.

[a] μικρὴν R. Br. κυκλικὴν Triclin.  
[b] παῖδές με Br. Triclin.  
[c] βασιλεῖ L. R. βασιλῆϊ Triclin. Mox καταβῆναι L.  
[d] αὐτὰ κεκτῆσθαι L.  
[e] εἰ καὶ R. Br.  
[f] ἀπαρ (χ supra) L.  
[g] αὐτοί om. L. R. Habet Triclin.  
[h] κεκομμένον L.  
[i] Sic Tricl. Br. ἀντόμοιον L. R.  
[k] πέμπων L. R.  
[l] γέλω L. R. Mox τἀμὰ pro με Br. λέγων δὴ τἀμὰ Tricl.  
[m] οὔ τι Br.  
[n] τόσσα σχέθειν L.  
[o] τυραννικοῖς P. E. τοῖς βασιλικοῖς Br. Tricl.

Καὶ Μένανδρος ἐν [a] Ναυκλήρῳ·

Ὅ τε Πολυνείκης πῶς ἀπώλετ' οὐχ [b] ὁρᾷς;

1399. Καὶ αὕτη δευτέρα ἐστὶν ὥσπερ δέησις καὶ [c] παθητικωτάτη, ἐν τῷ ἀπολοφύρεσθαι αὐτὸν τεχναζομένη πάνυ πιθανῶς.

1426. Χρήζει] Ἐν ἴσῳ [d] τῷ χρησμῳδεῖ. Τοῦτο ἐφ' ἑαυτοῦ φησὶ καὶ τοῦ ἀδελφοῦ. Ἡμῖν δὲ οὐ συμβατέα οὐδὲ συγχωρητέα.

1427. [e] Τίς δὲ τολμήσει ἕπεσθαι, κλύων τὰ τοῦδε τἀνδρός;

1429. Καὶ ἐν ταῖς τέχναις ἐστὶ τοῦτο, ὅτι οὐ πάντα δεῖ ἀληθεύεσθαι, ἐὰν μὴ χρήσιμα ᾖ, [f] ἀλλὰ δεῖ καί τι ψεύδεσθαι.

1437. Μέθεσθε δ' ἤδη: Καὶ ἐκ τούτου δῆλον, ὅτι ἐν τῇ παρακλήσει, ἅμα τοὺς λόγους λέγουσα τούτους εἴχετο αὐτοῦ ἡ ἀδελφή.

1444. Τῇδε] Καὶ τοιᾷδε τύχῃ, καὶ ἐναντίᾳ.

1447. Νέα τάδε νέοθεν: [g] Εἰ καὶ ὅτι μάλιστα ξενικά ἐστι τὰ πρόσωπα, καὶ τὰ κατέχοντα τούτους κακὰ, ὅμως [h] συναλγεῖ καὶ εὐλαβεῖται μὴ ἐκ τῆς ὁμιλίας τῆς σὺν αὐτοῖς ἀπολαύσωσί τινος κακοῦ καὶ αὐτοί· ἐν τοιούτῳ οὖν ἤθει καὶ ὁ λόγος αὐτοῖς διάκειται· τοιαῦτα πάρεστιν ἡμῖν, φησὶν, ἄτοπα παρὰ τοῦ ξένου ἀπολαῦσαι, ἐκτὸς εἰ μὴ μοῖρά τις καταλαμβάνει ἡμᾶς, καὶ κατὰ μοῖραν [i] ἀπολαύσομεν, ὧν ἀπολαύομεν.

*Ibid.* Νέοθεν] Νεωστί.

1450. Εἴ τι μοῖρα μὴ [k] τυγχάνει: Εἰ μὴ κατὰ μοῖραν ταῦτα πάσχω, εἴποιμι ἂν ἐκ τοῦ Πολυνείκους νέα μοι κακὰ ἐληλυθέναι.

1451. Μάτην γὰρ οὐδέν: Οἷον, οὐδέν ἐστι [l] μάταιον ὑπὸ θεῶν ἀξιωθὲν πραχθῆναι· ἀλλ' ὃ ἂν [m] γίνηται ὑπὸ θεῶν, τοῦτο καλῶς γίνεται. Τὸ δὲ ἑξῆς· μάτην γὰρ οὐδὲν ἀξίωμα δαιμόνων ἔχω φράσαι, ἐπειδὴ ὁρᾷ ταῦτ' [n] ἀεὶ χρόνος, ἕτερα μὲν αὔξων ἄνω, τὰ δὲ παρ' ἦμαρ

[a] ναυκλήροις R.

[b] Adscripsit Elmsleius *Addit ms.* Nec plura.

[c] παθητικωτάτη. ἀπολοφύρεται γὰρ αὖθις ἑαυτὸν τεχναζόμενος π. π. Br. cum Triclin. qui tamen παθητική.

[d] τὸ L. Sequentia sic Br. οὐχὶ συγχωρητέα] ἡμῖν δὲ οὐ συμβατέα. τοῦτο ἐφ' ἑαυτοῦ φησι καὶ τοῦ ἀδελφοῦ.

[e] τὸ ἑξῆς R. Br.

[f] ἀλλὰ δίκαιον ψεύδεσθαι. R. Similia habet grammaticus ad Ant. .... P. E. ἀλλὰ δεῖ καὶ τινα Br. Tricl.

[g] νεωστί. εἰ καὶ R.

[h] συναλγεῖ ὁ Χορὸς Br. συναλγεῖ καὶ εὐλαβεῖται ὁ Χορὸς Tricl.

[i] ἀπολαύομεν—ἀπολαύσομεν R. Br.

[k] τυγχ^α: L.

[l] μάτην R. Br. Alteram habet Tricl. Mox ὑπὸ θεῶν bis P. E. pro ὑπὸ Θησέως.

[m] γίνεται L. γίγνεται R. γένηται Br. Tricl.

[n] ὁ ἀεὶ R. Br. ἀεὶ ὁ Tricl.

αὖθις (ὅ ἐστιν, εἰς τὸ ἔμπαλιν) τρέπων τὰ ἤδη αὐξηθέντα· οἷον, πάντα ἔχει ὑφ᾽ ἑαυτῷ ὁ χρόνος. τὰ μὲν ὁρᾷ, τὰ δὲ καὶ αὐτὸς [a] ὁρᾶται· τὰ γὰρ πραττόμενα τῷ χρόνῳ φαίνεται· τουτέστιν, ἐν τῷ χρόνῳ πολλαὶ μεταβολαὶ, καὶ ὁρᾶται ὁ χρόνος πολλὰ μὲν αὔξων παρ᾽ ἦμαρ, πολλὰ δὲ εἰς τὸ ἔμπαλιν τρέπων.

1456. Ἔκτυπεν αἰθήρ: Τὸ συνεκτικώτατον τοῦ δράματος ἐν τούτῳ, καθάπερ προεῖπεν ὁ Οἰδίπους·

> [b] Σημεῖα δ᾽ ἥξειν τῶνδέ μοι παρηγγύα,
> ἢ σεισμὸν, ἢ βροντήν τιν᾽, ἢ Διὸς σέλας.

Μεταξὺ οὖν τῶν [τοῦ] Χοροῦ λόγων γίνεται τοῦτο, ἐφ᾽ ᾧ ὁ Χορὸς ἀναβοᾷ, ὅπερ ἦν σύμβολον τοῦ τὸν Οἰδίποδα [c] τεθνάναι. Ὅπερ γνωρίσας ὁ Οἰδίπους, ἀξιοῖ τὸν Θησέα ἐν τάχει παραγενέσθαι.

1459. Τάξίωμα] Τὸ βούλημα.

1464. [d] Ἐς δ᾽ ἄκραν] Ἄκραν φόβαν κρατός. Οὕτως ἀποδώσεις.

1466. Οὐρανία] Ἀντὶ τοῦ, ταχεῖα.

1468. Τί μὰν ἀφήσει: Τοῦτο φησίν· οὐ μάτην γίνεται τὸ κατὰ τὴν διοσημείαν, ἀλλ᾽ ἐπί τινι μεγάλῃ συμφορᾷ· νῦν δὲ συμφορὰν φησὶ τὸ μέσον [e] ὂν τῆς συντυχίας· οἷον, ἐπί τινι γίνεται ἡ διοσημεία.

1469. Ἅλιον] Μάταιον.

1470. Οὐκ ἄνευ ξυμφορᾶς] Ἀπὸ κοινοῦ τὸ [f] ἐφορμᾷ.

1472. Τῷδ᾽ ἐπ᾽ ἀνδρί] [g] Ἀντὶ τοῦ ἐμοί.

*Ibid.* Ἡ θέσφατος τελευτὴ, ἡ θεσπισθεῖσα τελευτή.

1473. Ἀποστροφὴ] Ἀποφυγή.

1474. Τῷ] Τίνι τεκμηρίῳ.

*Ibid.* [h] Συμβαλὼν] Νοήσας, στοχασάμενος.

1478. Ἀμφίσταται] Περιίσταται ἡμῖν μέγας ψόφος.

1480. Ἵλαος ὦ δαῖμον: [i] Εὐσεβέστατα ὁ χορὸς εὔχεται πρὸς τὸν θεὸν, εἰ ἐπί τινι χαλεπῷ ταῦτα πράττει, ἵλεων αὐτὸν γενέσθαι· ὅρα οὖν ὅτι ἡ συμφορὰ ἐπὶ τῆς μέσης ἐννοίας κεῖται.

*Ibid.* Ἵλαος] Λείπει τὸ ἔσο.

[a] ὁρᾶται ποιῶν Br. Tricl. qui mox addunt γίγνονται post μεταβολαί.

[b] V. 95.

[c] τεθνήξεσθαι R. Br.

[d] Brunckius: Διόβολος] ἐκ Διὸς βληθείς. ἐς δ᾽ ἄκραν] οὕτως ἀποδώσεις, ἐς ἄκραν φόβαν κρατός. ἤγουν εἰς ἄκρας τρίχας.

[e] ὄνομα R. Br.

[f] ἀφορμᾷ R. Br.

[g] ἐπ᾽ ἐμοὶ δηλονότι R. Br.

[h] συμβαλὼν om. R. Br.

[i] H. l. inserunt R. Br. λείπει τὸ ἔσο.

1480. Γᾷ ματέρι] Τῇ Ἀττικῇ.

1481. Ἀφθεγγὲς] [a] Χαλεπόν.

1482. Ἐναισίου δὲ συντύχοιμι] Μηδὲ πονηρῷ τινι συντύχω.

1484. Ἀκερδῆ χάριν] Ἧς φαῦλον τὸ κέρδος.

*Ibid.* Μετάσχοιμι] Ἀντὶ τοῦ, σχοίην.

1486. Ἀνήρ] Ὁ Θησεύς.

1488. Τί δ' ἂν θέλοις τὸ πιστόν: Τί τὸ πιστὸν θέλεις ἐμβαλεῖν τῇ φρενὶ ἐκείνου, τῇ τοῦ Θησέως δηλονότι; ἀντὶ τοῦ, τί βούλει πιθανὸν ἀνακοινώσασθαι τῷ Θησεῖ;

1490. Δοῦναί σφιν: [b] Ὅτι ἡ σφιν ἀντὶ τῆς οἱ ἀντωνυμίας κεῖται· ἔδει [c] γὰρ, τελέσφορον δοῦναί οἱ χάριν. [Εἰς τὸ αὐτό.] Ἀντὶ τοῦ, αὐτῷ (κατὰ τιμὴν δὲ πληθυντικῶς) [d] ἃ πάροιθεν ὑπεσχόμην.

1492. Ἰὼ παῖ: Θαυμαστῶς ὁ Χορὸς βοᾷ· [e] ἐπείγει γὰρ τὸ πρᾶγμα.

1493. Ἢ ἐπὶ πρὸς τὸ Ἄκραν, ἵν' ᾖ, ἐπ' ἄκραν πέτραν.

*Ibid.* Γύαλον] [f] Ἀντὶ τοῦ πέτραν.

1494. Ποσειδαωνίῳ] [g] Ποσειδῶνι. [Εἰς τὸ αὐτό.] Ἀντὶ τοῦ, [h] Ποσειδῶνι ἐναλίῳ θεῷ. [i] Ὁ δὲ ἑτέρως ἐσχημάτισεν κτητικώτερόν πως· διὸ κεῖται τὸ χ̄.

1500. κοινός] [k] Ὑμῶν τε καὶ Οἰδίποδος.

1503. Ἐπιρράξασα] [l] Ἐπέῤῥαξεν.

1504. Τύχην] Ἐπιτυχίαν.

1507. Νέορτον] Ἀντὶ τοῦ, νέον.

1508. Τὸ ἑξῆς· Καί σε μὴ ψεύσας.

1512. Σημάτων προκειμένων] Οἷον, διὰ τῶν σημείων.

1519. Γήρως ἄλυπα] Ἕως γήρως.

*Ibid.* Τῇ δὲ κείσεται] γρ. σῇ τε κείσεται.

1523. Μήθ' οὗ κέκευθε] Μήτε ὅπου κρύπτεται ὁ χῶρος.

[a] χαλεπὸν, ἄρρητον, δεινὸν Br.

[b] Alio ordine R. Br.

[c] γὰρ εἰπεῖν Br.

[d] ἃ πάροιθ' R. ἣν πάροιθ' Br.

[e] ἐπάγει R.

[f] Gl. om. R. Br.

[g] Ποσειδῶνι. διὸ (vel δι' ὃ) κεῖται τὸ χ̄. R. Br.

[h] ἀντὶ τοῦ Ποσειδῶνος. ἐνάλιος θεός. L. ἀντὶ τοῦ Ποσειδῶνός ἐστιν ἐναλίου θεοῦ. R. Br. Ed. Rom. ad v. 1495. haec habet; Ἁγιάζων: ἀντὶ τοῦ ἁγίζων, Cujus glossae origo est, quod ms. in textu ἁγιάζων habet suprascripto ἁγίζων cum duobus punctis. P. E.

[i] ἐσχημάτισε δὲ ἑτέρως τὸν λόγον, κτητικώτερόν πως Br. fere cum Tricl.

[k] ὑμῶν τε τῶν τοῦ χοροῦ Br.

[l] ἀντὶ τοῦ ἐπέρραξεν. R. Br.

1525. Εἰ μὲν βαρυτόνως, γειτόνων, τῶν Θηβαίων· εἰ δὲ περισπωμένως [γειτονῶν,] ἀντὶ τοῦ, γειτνιῶν ὁ τάφος.

1526. Ἐξάγιστα] Καθαρά· [a] σημαίνει γὰρ καὶ τὸ ἄγος τοῦτο. Οὕτως· ἐξάγιστα, ἀντὶ τοῦ ἁγνὰ καὶ μὴ οἷά τε ῥηθῆναι· καὶ ἐπὶ τούτου [b] γὰρ χρῶνται πολλάκις.

1531. Χρησίμως καὶ τοῦτο, ὥστε παρὰ τὸν καιρὸν τῆς τελευτῆς παραδιδόναι τὸ ἀπόῤῥητον τῷ πρεσβυτέρῳ υἱῷ, ὑπὲρ τοῦ μέχρι τοῦ παντὸς διαμεῖναι τὴν ὠφέλειαν τοῖς Ἀθηναίοις, δι' ἧς τῶν Θηβαίων κρατήσουσι.

1533. Ἀδῇον] Ἀδῄωτον.

*Ibid.* Αἱ δὲ μυρίαι πόλεις] Κἂν δικαίως τις πολιτεύηται, πολλαὶ πόλεις ἀδίκως ἐπέρχονται.

1541. Ἐντρέπωμεθα] Ἀντὶ τοῦ, ἐπιστρεφώμεθα. [c] Ὅμηρος·

ἐντροπαλιζόμενος.

1542. Ἐγὼ γὰρ ἡγεμών] Ἐγὼ γὰρ ἡγεμὼν ὑμῖν πέφηνα, ὥσπερ ὑμεῖς τῷ πατρί.

1543. Σφώ] Ὑμεῖς.

1547. Οὐ πταίει ὁ ὑποκριτὴς, ἀλλ' εὐθὺ ἄπεισιν, ὥσπερ ἀγόμενος ὑπὸ τοῦ θεοῦ· πάνυ δὲ σεμνῶς καὶ [d] τοῦτο Ἑρμῇ προσέθηκεν.

1549. Φῶς ἀφεγγές: Ὃ τῷ νῷ ὁρᾷ, οὐ τοῖς αἰσθητοῖς ὀφθαλμοῖς.

1553. Πρόσπολοί τε σοί] Οἱ Ἀθηναῖοι.

1556. Τὰν ἀφανῆ θεόν] Τὴν Περσεφόνην φησίν.

1558. Ἐννυχίων] Τῶν ἐν νυκτὶ ἀεὶ καὶ σκότῳ διατριβόντων· τῶν τεθνηκότων.

1560. Τῶν λίσσομαι μήτ' ἐπιπόνῳ: Τὰ ἑξῆς μὲν δῆλα ἐκ τῆς λέξεως· τὸ δὲ δίδου μοι [e] τοῦτο ἀσυνάρτητόν πως φαίνεται ἡμῖν· ἐπιστῆσαι οὖν ἄξιον, λαβόντας καλὸν ἀντίγραφον. Δίδου μοι τὸν ξένον κατανύσαι τὰν παγκευθῆ κάτω νεκύων πλάκα καὶ Στύγιον δόμον, μήτ' ἐπιπόνῳ, μήτ' ἐπὶ βαρυηχεῖ μόρῳ· εὔχονται δὲ αὐτῷ μὴ δυσθανατῆσαι.

1565. Ἀποστρέφει τὸν λόγον πρὸς τὸν Οἰδίποδα.

[a] ῆσ γὰρ καὶ τὸ ἄγος τοῦτο. L. σημείωσαι καὶ τὸ ἄγος τοῦτο R. Deinde ἐνταῦθα οὕτως.

[b] γὰρ χρῶνται πολλαχοῦ R. γὰρ αὐτῷ χ. πολλαχοῦ Br.

[c] Il. ρ'. 109.

[d] τοῦτο Ἑρμοῦ L. τὸ τοῦ Ἑρμοῦ R.

[e] τοῦτο L. Br. τούτῳ R.

1565. Καὶ μάταν πημάτων: [a] Τὸ μάτην ἱκνουμένων ἔν τινι τρόπῳ εἴρηκε, παρ' ὅσον σχεδὸν πάντα τὰ ἁμαρτήματα τῷ Οἰδίποδι ἀκουσίως ἐγένετο· καὶ νῦν οὖν κατὰ τοῦτο μάτην ἂν λέγοι τιμωρίαν [b] ὑπισχεῖν αὐτόν.

1568. Ὦ χθόνιαι θεαί] Ὦ Ἐρινύες.

*Ibid.* Θηρός] Τοῦ Κερβέρου.

1571. Εὐνᾶσθαι] Κοιμᾶσθαι.

*Ibid.* Κνυζεῖσθαί τ'] Λείπει τὸ φασίν· ὁ γὰρ νοῦς τοιοῦτος· ὃν φασὶ κοιμᾶσθαι, [c] κνυζεῖσθαί τε φασί· τοῦτο δὲ αὐτὸς ἀποδέδωκεν, εἰπὼν, λόγος αἰὲν ἀνέχει· ἤρκει δὲ εἰ κατ' ἔλλειψιν [d] ἐξενήνεκτο ὁ λόγος.

1573. Λόγος αἰὲν ἀνέχει] [e] Ἀντὶ τοῦ φασίν.

1574. Ὃν ὦ γᾶς παῖ: Τὸν [f] Κέρβερον ἐξευμενίζομαι τῷ ξένῳ ὁρμωμένῳ καὶ περῶντι νερτέρας νεκρῶν πλάκας, ἀβλαβῶς ὑπαντῆσαι.

*Ibid.* Ὦ γᾶς παῖ] Ἐπανέλαβε· τῷ δὲ ἑνικῷ κέχρηται [g] ἀντὶ πληθυντικοῦ· λέγει γὰρ τὰς Εὐμενίδας· ταύτας δὲ οὕτω καὶ ἐν ἀρχῇ γενεαλογεῖ.

1578. Σέ τοι κικλήσκω: Τουτέστι, τὸν διαπαντὸς κοιμώμενον· φησὶ δὲ τὸν Θάνατον, ὥσπερ δαίμονά τινα ὄντα· πρὸς πάντας γὰρ σχεδὸν τοὺς ὑποχθονίους τὴν παράκλησιν [i] ἐποιήσαντο, τὸν Πλούτωνα, τὴν Περσεφόνην, τὸν Κέρβερον, καὶ νῦν πρὸς τὸν Θάνατον αὐτόν.

*Ibid.* Αἰένυπνον] Ὑφ' ἓν ἀναγνωστέον αἰένυπνον, [h] ἀείυπνον. Οὕτως ἀποδιδόασι.

1579. Ἄνδρες πολῖται, [k] ξυντομωτάτως: Ἀντὶ τοῦ συντόμως. [l] Ἔστι δὲ ὁ ἄγγελος εἷς τῶν ἀκολουθησάντων Θησεῖ θεραπόντων· καὶ ἀφῖκται ἔνια [m] ἀπαγγέλλων τῶν πραχθέντων ἐπὶ τῆς ἐρημίας· οὐ γὰρ πάντα δυνατὸν ἦν θεάσασθαι.

1584. Τὸν ἀεὶ βίοτον: Τὴν ζωήν· εἰώθασι γὰρ τὸ ἀεὶ καὶ ἐπ' ὀλίγου χρόνου τάσσειν. [n] Ὅμηρος·

[a] τὸ δὲ μάτην R. Br.
[b] ὑπίσχειν R. ὑπέχειν Br.
[c] κνύζεσθαι L. R. κνυζᾶσθαι Br.
[d] ἐξενήνεκται L.
[e] Gl. om. Br.
[f] Κέρβερον φησὶν ἐ. Br. qui mox ὁρμωμένῳ εἰς Ἅιδου κ. π. τὰς ν.
[g] ἀντὶ τοῦ πλ. R. Br.
[h] τὸν ἀείυπνον R. Br. omissis statim οὕτως ἀποδιδόασι.
[i] ἐποιήσατο Br.
[k] ξυντομ͂. L. ξυντομώτατος R. ξυντομωτάτως—συντόμως ponit Br. post θεάσασθαι.
[l] Οὗτος ὁ ἀγ. εἷς ἐστι Br.
[m] ἀπαγγελῶν Br.
[n] Il. ν΄. 517.

[a] ἔχων κότον ἐμμενὲς αἰεί.

1584. [Εἰς τὸ αὐτὸ] [b] Τὸ μακρὸν γῆρας.

1587. Ὡς μὲν γὰρ ἐνθένδε: Ὑπέρβατον· ὡς μὲν γὰρ ἐνθένδε εἷρπεν, ὑφ᾽ ἡγητῆρος οὐδενὸς φίλων, ἀλλ᾽ αὐτὸς ἡμῖν [c] πᾶσιν ἐξηγούμενος, καὶ σὺ παρὼν οἶδας.

1588. Ὑφ᾽ ἡγητῆρος] Κατὰ [d] συναλιφήν· λέγει δὲ ὅτι ὑπ᾽ οὐδενὸς ἡγητῆρος.

1589. Ἐξηγούμενος] Προηγούμενος.

1590. Ἐπεὶ δ᾽ ἀφῖκτο τὸν καταρράκτην: Ὃν ἐν [e] ἀρχῇ εἶπεν χαλκόπουν ὁδὸν, τοῦτον νῦν ὑποτίθεται ἐκτὸς τῆς σκηνῆς, καὶ οὐκ ἔτι ἐν ὄψει τοῦ θεάτρου· καὶ νῦν καταρράκτην [f] προσηγόρευσεν διὰ τὸ νομίζειν ἐκεῖνον τὸν τόπον [g] κατάβασιν ἔχειν εἰς Ἅιδου· καὶ εἰσὶν οἳ δι᾽ αὐτῆς τὴν ἁρπαγὴν [h] φασὶ τῆς Κόρης γενέσθαι.

*Ibid.* Ὁδὸν] [i] Ἀντὶ τοῦ οὐδόν.

1592. Μιᾷ] Ὡς πλειόνων οὐσῶν τῶν [k] ὁδῶν.

1593. Κοίλου πέλας κρατῆρος: Τοῦ μυχοῦ· τὰ γὰρ κοῖλα οὕτως ἐκάλουν ἐκ μεταφορᾶς· ὅθεν καὶ τὰ ἐν τῇ Αἴτνῃ κοιλώματα, κρατῆρες καλοῦνται· λέγει δὲ, δι᾽ οὗ [l] καταβῆναι φασὶ τὴν Κόρην ἁρπαγεῖσαν. Πειρίθου τε φησὶ κεῖται ξυνθήματα, οἷον ὑπομνήματα τῆς πίστεως, ἧς ἔθεντο πρὸς ἀλλήλους [m] πρὸ τῆς εἰς Ἅιδου καταβάσεως· ἀμάρτυρον δὲ, εἰ διὰ τούτου τοῦ τόπου κατῆλθον· πιθανῶς δὲ ὁ Σοφοκλῆς πρὸς χάριν τῆς Ἀττικῆς [n] φησὶ δὲ τὸ ἐνταῦθα τὴν εἰς Ἅιδου κατάβασιν [o] Οἰδίποδος γενέσθαι.

1595. Ἐφ᾽ οὗ μέσου στάς: Μέσου, ἀντὶ τοῦ, μεταξὺ τοῦ κρατῆρος, (ὅ ἐστι, τοῦ μυχοῦ,) στάς.

*Ibid.* Στάς] [p] Σταθεὶς, καὶ μηκέτι ὁδεύσας.

*Ibid.* Τοῦ τε Θορικίου πέτρου: Ταῦτα γνώριμα τοῖς ἐγχωρίοις. Θόρικος δὲ, δῆμος τῆς Ἀκαμαντίδος φυλῆς.

[a] ἔχεν Br.

[b] Hanc gl. in principio praecedentis inserunt R. Br.

[c] πᾶσιν ἡμῖν Br.

[d] συναλοιφὴν R. Br. Vide supra ad. v. 504.

[e] V. 58.

[f] προσηγόρευσε R. προσαγορεύει Br.

[g] καταβάσιον L.

[h] φησὶ L.

[i] Hanc gl. in princ. praecedentis exhibent R. Br.

[k] οὐδῶν. Ed. Rom. (in qua bis legitur haec gl.) primo οὐδῶν, deinde ὁδῶν. P. E.

[l] καρῆναι φησὶ L.

[m] περὶ τῆς Ἄδου L. περὶ τῆς εἰς Ἄδου R. Br. Suid.

[n] φησὶν ἐνταῦθα R. Br.

[o] Θησέως Br.

[p] Hanc gl. in principio praecedentis habent R. Br.

1596. [a]Ἀπὸ κοινοῦ τὸ στάς. Κοιλῆς δὲ ἀχέρδου, τῆς τὸν πυθμένα ἐχούσης ὑπόκενον, σαπέντα.

1599. Λουτρά] Ἐπὶ τὸ [b] ἀφαγνισθῆναι αὐτὸν πρὸ τελευτῆς.

1600. Τῶδ' εὐχλόου Δήμητρος: Εὐχλόου Δήμητρος [c] ἱερόν ἐστι πρὸς τῇ ἀκροπόλει· καὶ Εὔπολις Μαρικᾷ·

Ἀλλ' εὐθὺ πόλεως εἶμι· θῦσαι γάρ με δεῖ
κριὸν χλόῃ Δήμητρι.

[d]Ἔνθα δηλοῦται ὅτι καὶ κριὸς θήλεια τῇ θεῷ ταύτῃ θύεται· (οὕτω δὲ τιμᾶται [e]τῆς κατὰ τῶν κήπων χλόης·) θύουσί τε Θαργηλιῶνος ἕκτῃ.

1601. Ἐπιστολάς] Ἐντολὰς, πράξεις.

1603. Ἧι νομίζεται] Ὡς νομίζεται ἐπὶ τοῖς νεκροῖς.

1606. Ζεὺς χθόνιος] Πάνυ σεμνῶς τὸ χθόνιος. Οἷον, μύκημα ἐγένετο, καὶ ἐσείσθη ἡ γῆ, προδηλοῦντος τοῦ θεοῦ τὸν καιρὸν, ἐν ᾧ ἔδει [f] ἀποτάττεσθαι τὸν Οἰδίποδα.

1608. Οὐδ' ἀνίεσαν] [g] Οὐκ ἀνέπεμπον.

1611. Πτύξας] Περιπλέξας.

1614. Τροφήν] [h] Γηροκομίαν.

1617. Ἀντὶ τοῦ, οὐδεὶς πλέον μου ὑμᾶς ἐφίλησεν.

1621. Λύγδην] Λύζοντες.

*Ibid.* Πάντες ἀντὶ τοῦ, [i] ὁμοῦ· κατ' ἐπικράτειαν δὲ πάντες [k] ἔφη, ἑνὸς μὲν [l] ὄντος τοῦ ἄρσενος, τοῦ Οἰδίποδος, δύο δὲ τῶν θηλειῶν· ὅμοιον [m] τῷ,

Μοῦσαι καλαὶ, κἄπολλον, οἷς ἐγὼ σπένδω.

1624. Θώυξεν] Ἐκάλεσεν, ἐβόησεν.

1630. Οἱ] Ἀντὶ τοῦ, πρὸς αὐτόν.

1632. Πίστιν ἀρχαίαν] [n] Διὰ τοῦ ἀρχαίαν βούλεται λέγειν ἀρχὴν πίστεως.

1634. Ὅσ' ἂν] [o]Ὅσα ἄν.

1642. Δικαιοῦν] Δίκαιον [p] νομίζειν.

[a] ἀπὸ—στάς in fine gl. ponit Br.
[b] ἀφανισθῆναι L.
[c] ἧς ἱερὸν Br.
[d] ἔνθα δηλονότι καὶ κριὸς θήλεια τ. θ. τ. θ. οὕτω R. ἔνθεν δῆλον ὅτι καὶ κριὸς τῇ θεῷ ταύτῃ θύεται, οὐ θήλεια μόνον ὄϊς Br. fere cum Tricl. qui μόνη ὄϊς.
[e] ἐκ τῆς τῶν R. Br. Mox θύουσι δὲ αὐτῇ Θαργ. Br. θύουσιν αὐτῇ Tricl.
[f] ἀποσάττεσθαι P. E.
[g] οὐδ' ἀνέπαυον Br.
[h] τὴν γηρ. Br.
[i] ὁμοῦ πάντες R.
[k] φησιν R. Br.
[l] ὄντος ἄρρενος R. Br.
[m] τὸ L. Versus est Callimachi Fr. Bent. LXXXIII.
[n] διὰ τὴν ἀ. βούλεται δὲ λ. R.
[o] ἀντὶ τοῦ ὅσα ἂν R. B. (ὅας R.)
[p] κρίνειν R.

1642. Ἀστακτί] Πολυστακτὶ, πολυδακρύτως.

1647. Ἐξαπείδομεν] Ἴδιον αὐτοῦ τὸ πολλαῖς κεχρῆσθαι [a] προθέσεσι· παραφυλακτέον δὲ πῶς καὶ τὰ ἄρρητα ὑπ' ὄψιν ἤγαγεν ὁ ἄγγελος, ἐκ τῶν σχημάτων μηνύων.

1650. Ἄνακτα δ' αὐτόν: [b] Τὸν δὲ Θησέα εἴδομεν κατὰ τοῦ κρατὸς ἔχοντα [c] χεῖρα ἐπίσκοτον ὀμμάτων· ὅ ἐστι, τῇ χειρὶ σκέποντα τοὺς ὀφθαλμοὺς, πρὸς τὸ μὴ θεωρῆσαι τὸ δεινὸν τοῦ πάθους, [d] ἢ τὸ σχῆμα τῶν θαυμαζόντων ἐνδεικνύμενον.

1653. Βαίον] Ἀντὶ τοῦ, μετ' ὀλίγον, οὐ μετὰ πολύ.

1660. Ἐξέπραξεν] Ἀνεῖλεν.

1661. Ἢ τὸ νερτέρων] Ἢ τὸ νερτέρων γῆς πέδον εὔνουν διαστάν· ὅ ἐστι, χάσμα αὐτῷ εὔνουν ἐγένετο.

1662. Ἀλύπητον] γρ. ἀλάμπετον.

1664. Ἐξεπέμπετο] Ἐξέπνευσεν.

*Ibid.* Ἀλλ' εἴ τις] Ὡς οὐδεὶς ἄλλος.

1665. Εἰ δὲ μὴ δοκῶ φρονῶν: Εἰ δέ τις οἴεταί με μὴ φρονοῦντα [e] τοῦτο λέγειν, οὐκ ἂν αὐτῷ συγχωρήσαιμι, οὐδὲ συγκαταθείμην, ὅτι ταῦτα ὡς ἄφρων λέγω.

1666. Παρείμην] [f] Παραχωρήσαιμι.

1667. Χ' οἱ προπέμψαντες φίλων] Ἀντὶ τοῦ, ὁ Θησεύς.

1669. Φθόγγοις δὲ σημαίνουσιν: Αἱ θυγατέρες ἐν μέρει αὐτοῦ ἀπολοφύρονται, ἐφ' οἷς τε νῦν σὺν τῷ πατρὶ ἔπαθον, καὶ ἅπερ ἐκδέξεται αὐτάς· καὶ ἔστι τὰ ἐφεξῆς τοῦ [g] δράματος οὐκ εὐκαταφρόνητα.

1670. Τὸ ἑξῆς· [h] ἔστι νῶϊν στενάζειν, οὐ τὸ ἔμφυτον μὲν πατρὸς αἷμα, ἄλλο δὲ μὴ, [i] ἀλλὰ πολλὰ δηλονότι.

1674. Ἄλλοτε μὲν πόνον: Πρότερον μὲν, τινὰ ἐπάσχομεν ἐπὶ τῷ πατρί· τὸ δὲ πύματον τοῦτο καὶ ἔσχατον, τὸ κατὰ τὴν ἀφάνισιν αὐτοῦ, οὕτω παράδοξόν ἐστιν, ὡς μηδὲ λόγον εὑρέσθαι ἐπ' [k] αὐτοῖς δυνατὸν εἶναι.

1675. Ἀλόγιστα παροίσομεν] Ἀδιήγητα κακὰ [l] βαστάζομεν.

[a] ταῖς προθέσεσι R. Br.
[b] τὸν Θησέα ἴδομεν R. ἴδομεν κ. τῆς κ. L.
[c] χέρα ἐπίσκιον R. Br.
[d] ἤγουν R. Br.
[e] τοῦ λέγειν L. λέγειν R.
[f] παραχρήσαιμι L.
[g] MS. perspicue ἄρ' pro δράματος, quod recte reposuit editor Romanus. P. E.
[h] ἔστιν ἡμῖν στ. Br.
[i] ἀλλὰ καὶ ἄλλα Br.
[k] αὐτῷ Br.
[l] βαστάξομεν Br.

1676. Ἰδόντε καὶ παθοῦσα: Πολλαχοῦ τῷ σχήματι χρῆται, ἀντὶ τῶν θηλυκῶν τὰ ἀῤῥενικὰ τιθείς. Καὶ ἐν [a] Ἠλέκτρᾳ·

Ὦ τοῖσιν ἐχθροῖς εὖ βεβηκόσιν ποτὲ,
ψυχῆς ἀφειδήσαντε, προυστήτην φόνου.

Καὶ πάλιν·

Ὅρα, κακῶς [b] πάσχοντε μὴ μείζω κακὰ
κτησώμεθα.

Καὶ [c] Ὅμηρος·

Τὼ δὲ βάτην τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι.

Καὶ [d] Ἡσίοδος·

Καὶ τότε δὴ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης,
λευκοῖσιν φαρέεσσι καλυψαμένω χρόα καλὸν,
ἀθανάτων μετὰ φῦλον [e] ἴσαν προλιπόντ' ἀνθρώπους
Αἰδὼς καὶ Νέμεσις.

*Ibid.* Εἰς τὸ αὐτὸ] [f] Ἀντὶ τοῦ, ἰδοῦσαι καὶ παθοῦσαι.

1677. Οὐκ ἔστι] Οὐδὲ εἰκόνα ἔχω λαβεῖν τοῦ πάθους.

1678. Ὡς μάλιστ' ἂν εἰ πόθῳ λάβοις: Ὡς μάλιστά [g] τις ποθῆσαι μαθεῖν ὅπως βέβηκεν, οἷον παραδόξως· καὶ ἐπιφέρει τὴν αἰτίαν τοῦ παραδόξου δοκοῦντος εἶναι. [Εἰς τὸ αὐτό.] [h] Ὡς ἂν ἐπιποθήσαις τὸν τρόπον τῆς τελευτῆς μαθεῖν.

*Ibid.* Τί γὰρ ὅτῳ μήτ' Ἄρης: Πρὸς τὸ ἄνω· τί γάρ ἐστιν εἰκονίσαι ἐκείνῳ πάνυ, ᾧ τινι μήτε πόλεμος μήτε νόσος ἐπῆλθεν, ἀλλ' ἀφανῶς διὰ χάσματος ἀπολομένῳ;

1683. [i] Τὸ τάλαινα διὰ μέσου ἀναπεφώνηται.

*Ibid.* Νῶϊν] Ἡμῖν, ἐμοὶ καὶ Ἰσμήνῃ.

1685. Πῶς γὰρ ἢ τίν' Ἀπίαν γᾶν: Ποῦ γῆς πλανηθεῖσαι, τροφῆς [k] τύχοιμεν; Ἀπίαν δὲ γᾶν, τὴν μακρὰν καὶ [l] ἄπωθεν οὖσαν.

1687. Δύσοιστον: Τὴν δυσπόριστον· ἵν' ᾖ τοῦ πάθους ἐπίτασις,

[a] V. 979. Infra προυστάτην R.
[b] πράσσοντε—χρησώμεθα R. Prius Br.
[c] Il. ε'. 778.
[d] Ἔργων 197.
[e] Sic MS. Ἀθάνατον—ἴσαν R. Rectius vulgo apud Hesiodum ἀθανάτων—ἴτην. P. E.
[f] Hanc gl. in principio praecedentis collocant R. Br.
[g] ἄν τις R. Br.
[h] Haec gl. ante ὡς μάλιστα in R. Br.
[i] νῶϊν δέ, ἡμῖν, ἐμοὶ καὶ Ἰσμήνῃ. τὸ δὲ τάλαινα δ. μ. ἀ. R. Br.
[k] τύχωμεν Br.
[l] ἄποθεν L. R.

[a] ὅτι τροφῆς εὐπορήσαιμεν, ἀηδῶς προσοισόμεθα, τοῦ πατρὸς ἐστερημέναι.

1693. Ὦ δίδυμα τέκνων: Ταῦτα ὁ Χορὸς, [b] παρηγορῶν ἐμμένειν τοῖς ἐγνωσμένοις παρὰ θεῶν· [c] φέρε οὖν τὸ ἐκ θεῶν εἱμαρμένον καλῶς.

1695. Μηδ' ἄγαν οὕτω φλέγεσθον: Ἀντὶ τοῦ, μὴ ἄκρως φλέγεσθε, τὸ ἐκ θεοῦ πεμφθὲν [d] δυσανασχέτως φέρουσαι.

1696. Οὔ τοι κατάμεμπτος ἔβη: Οὐκ ἐν τοιούτοις [e] ἐστὲ ὥστε καταμέμφεσθαι· ἤτοι ὡς ἂν [f] ἐπικουφίζοντες αὐταῖς τὴν συμφορὰν τοῦ βασιλέως, ἢ οἷον, οὐκ ἐν χείρονι νῦν ὑμῖν ἔσται τὰ πράγματα.

1697. Πόθος καὶ κακῶν: Οἱ μὲν περὶ τὸν Χορὸν παραμυθεῖσθαι πειρῶνται αὐτάς· αἱ δὲ οὐδὲν ἧττον ἐπὶ τὰ ἑαυτῶν χωροῦσι καὶ ὀλοφύρονται, καὶ φασίν· ἦν ἄρα τις καὶ κακῶν πόθος, ὡς ἡμεῖς, ἐν κακοῖς ὄντος τοῦ πατρὸς καὶ μὴ ὁρῶντος, ἐστέργομεν αὐτὸν, καὶ νῦν μὴ παρόντα ποθοῦμεν· ὡς ὅτε ἐν χεροῖν κατεῖχον τὸν Οἰδίποδα, περιέστελλον καὶ ἐθεράπευον.

1698. Καὶ γὰρ ὁ μηδαμῇ: Καὶ γὰρ δυστυχοῦντα τὸν πατέρα ἐποθοῦμεν θεραπεύειν, καὶ νῦν μὴ παρόντα ποθοῦμεν.

1702. Ἄφιλητος] Λείπει τὸ ἦς.

1703. Καὶ τάδε μὴ κυρήσῃς] Καὶ τανῦν μὴ γένοιό μοι [g] ἄφιλος.

1705. Ἇς ἔχρῃζε] Ἐφ' ἧς ἤθελε ξένης γῆς ἀπέθανε.

1711. Τὸ σόν] Τουτέστι, τὸ παρὰ σὲ ἄχος τηλικοῦτόν ἐστιν.

1712. Τὸ ἑξῆς· μὴ ἔχρῃζες, ἀντὶ τοῦ, μὴ ὤφελες.

1713. Ἀλλ' ἔρημος] [h] Ἔρημος δέ. [Εἰς τὸ αὐτό.] Μεμονωμένος τῶν συγγενῶν.

1720. Ἀλλ' ἐπεὶ ὀλβίως γ' ἔλυσεν: Ἐπεὶ ὁ Οἰδίπους εὐδαιμόνως ἀπέθανεν, μὴ λίαν θρηνεῖτε.

1723. Δυσάλωτος] Δύσληπτος, ἀλλ' εὐάλωτος.

1725. Ὡς τί ῥέξωμεν: Κατὰ κῶλον ἀλλήλαις διαλέγονται πάνυ παθητικῶς· καὶ μή τινι ἀπίθανον δόξῃ καὶ ἀνοικονόμητον, [i] καὶ τὸ ἐπιθυμεῖν τὴν Ἀντιγόνην ὀπίσω ἀπιέναι ἐπὶ τὸν τοῦ πατρὸς τάφον, μὴ ἐπισταμένην τὰ κατ' αὐτὸν ὅπως ἀπέθανεν· ἀλλὰ τὸ ἦθος [k] ἐστὶ τὸ

[a] ὅτι τροφῆς ἀπορήσομεν R. ὅτι εἰ καὶ τρ. εὐπορήσαιμεν ἀλλ' ἀηδῶς Br.
[b] παραινῶν Br.
[c] φέρειν γὰρ, φησὶ, χρὴ Br.
[d] βαρέως φέρουσαι καὶ δυσανασχετοῦσαι Br.
[e] ἔσται L.
[f] ἐπικουίφζοντος R. ἐπικουφίσοντος Br.
[g] ἀφίλητος Br.
[h] Gl. om. R. Br.
[i] καὶ om. Br. Mox ἀνιέναι R. Br.
[k] ἐννοείτω Br.

παθητικὸν, καὶ [a] μάλιστα πράττουσιν αἱ γυναῖκες ἐν τοῖς τοιούτοις συμπτώμασιν, ἀεὶ ἐπιφοιτᾶν θέλουσαι τοῖς τῶν θανόντων τάφοις.

1729. [b] Τὸ ἑξῆς· οὐχ ὁρᾷς καὶ τόδε, ὡς ἄταφος ἔπιτνε δίχα τε πάντος; τὰ δὲ ἄλλα διὰ μέσου κατ' ἀκόλουθον τῆς [c] Ἀντιγόνης.

1740. Σφῷν] Κακῶς ἡ ἀντωνυμία, διὸ τὸ χ̄.

1751. Τῇ μὲν ἑρμηνείᾳ ἐπιστῆσαι ἄξιον· τὸ δὲ τῆς διανοίας ἀσαφές· φησὶ γὰρ ὁ Χορός· μὴ θρηνεῖτε, ὦ παῖδες· νέμεσις γάρ ἐστι τοῦτον θρηνεῖν, ᾧ τὰ τῆς τελευτῆς κατὰ χάριν ἀπέβη· οὐ χρὴ οὖν τούτους πενθεῖν, οἷς κεχαρισμένον ἐστὶ τὸ ἀποθανεῖν.

1760. [d] Παραφύλαξον τὴν τέχνην, [e] πῶς καὶ αἱ νέαι μὲν [f] ἄπειροι κατὰ τὴν ὑπόθεσιν. Λοιπὸν [g] ἔνια παρὰ τοῦ Θησέως μανθάνομεν, τίνα ἦν ἔνια τῶν εἰρημένων αὐτῷ ὑπὸ τοῦ Οἰδίποδος. [h] Τὰ τελευταῖα καὶ δυστραπελώτερα, καὶ οὐ ῥᾳδίως ἐστὶν αὐτῶν κατακρατῆσαι ἐν τῇ ἐξηγήσει· πεποίηται γὰρ ταῦτα εἰς τὸ ἀσαφέστερον.

*Ibid.* [i] Εἰ ἀρέσκει τούτῳ ταῦτα τὸ μὴ λεχθῆναι ἡμῖν, καὶ ἡμῖν ἀρκεῖ τὸ μὴ ἀκοῦσαι.

1772. Τοῖσιν ὁμαίμοις] Ἐτεοκλεῖ καὶ Πολυνείκει.

1774. Πρόσφορα] Ἀντὶ τοῦ χρήσιμα.

[a] ὃ μάλιστα R. ὅτι τοιαῦτα Br.

[b] τὸ ἑξῆς om. R. Br. Tum οὐ χορᾶς R.

[c] Sequitur apud Br. e Triclinio: Καὶ πάρος] Καὶ πρώην, φησὶν, ὡς εἰς καταφυγήν τινα πρὸς τὰ ἐνταῦθα κατεφύγετε, καὶ τοιαῦτα εὕρατε· καὶ νῦν ποῦ ζητεῖτε καταφεύγειν;

[d] παραφυλακτέον τὴν τέχνην, πῶς αἱ νέαι μὲν ἄπειροί εἰσι τῶν κατὰ τὴν ὑπόθεσιν, ὁ δὲ Θησεὺς ἔνια λέγει τῶν εἰρημένων αὐτῷ ὑπὸ τοῦ Οἰδίποδος, τὰ λοιπὰ δὲ κατὰ τὴν αὐτοῦ ἐντολὴν κρύπτει. Br. Fere cum Triclin.

[e] πῶς αἱ νέαι μὲν ἄπειροι τῶν κατὰ τὴν ὑπόθεσιν R.

[f] ἄπειροι εἰσι τῶν Br.

[g] ἔτι R.

[h] Haec post τὸ χ̄ collocat Br. ad v. 1740.

[i] εἰ ἀρέσκει τὸ μὴ λεχθῆναι ταῦτα, καὶ ἡμῖν ἀ. τ. μ. ἀ. Br. εἰ ἀρέσκει, φησὶν, ἐκείνῳ τὸ μὴ λεχθῆναι ἡμῖν ταῦτα, καὶ ἡμῖν ἀρκείτω τ. μ. ἀ. Triclin.

# ΕΙΣ ΤΗΝ ΑΝΤΙΓΟΝΗΝ.

1. Ὦ κοινὸν αὐτάδελφον: Αὐτάδελφον εἶπεν, ὅτι ἐκ τῶν αὐτῶν γεγόνασι. Πολλάκις δὲ ὁ Σοφοκλῆς ἐπὶ τοῦ ἀδελφοῦ [a] τίθησι τὸ κοινὸν, ὡς νῦν. [Ἄλλως.] Ἐπειδὴ τὸ ἀδελφὸς κοινῶς λέγεται ἐπὶ τῶν μὴ ἐξ ἀμφοτέρων τῶν γονέων ὄντων ἀδελφῶν, ἐπήγαγεν τὸ αὐτάδελφον, ὅπερ παρίστησι τοὺς ἐκ τοῦ αὐτοῦ πατρὸς καὶ μητρὸς γεγονότας· τὸ δὲ κοινὸν ὁ Σοφοκλῆς συνεχῶς ἐπὶ τοῦ ἀδελφοῦ τίθησιν, οἷον καὶ ἐν ταῖς Ὑδροφόροις τέταχεν,

πολύκοινον Ἀμφιτρίταν,

ἀντὶ τοῦ, πολυάδελφον. [Εἰς τὸ αὐτό.] [c] Περιφραστικῶς, ἀδελφὴ Ἰσμήνη.

2. Ἆρ' οἶσθ' ὅ τι Ζεύς: Τὸ ὅ τι ἀντὶ τοῦ, [d] ō. Ὁ δὲ νοῦς· ἆρά γε ἐστὶ τῶν ἀπ' Οἰδίποδος κακῶν, ὁποῖον οὐχὶ [e] ὁ Ζεὺς ἔτι ζώσαις ἡμῖν τελεῖ; ὡς εἰ ἔλεγεν· ἆρα ἔχει τι ὁ Ζεὺς τούτων τῶν κακῶν μεῖζον ποιῆσαι εἰς ἡμᾶς; εἶπεν δὲ διττῶς· πρῶτον μὲν ὅ τι, ἔπειτα δὲ ὁποῖον, ἀρκοῦντος θατέρου.

4. Οὔτ' ἄτης ἄτερ: Δίδυμος φησὶν, ὅτι ἐν τούτοις τὸ ἄτης ἄτερ ἐναντίως συντέτακται τοῖς συμφραζομένοις· λέγει γὰρ οὕτως· οὐδὲν γάρ ἐστιν οὔτε ἀλγεινὸν, οὔτε ἀτηρὸν, οὔτε αἰσχρὸν, ὃ οὐκ ἔχομεν ἡμεῖς· ἄτης ἄτερ δέ ἐστι τὸ ἀγαθόν. [f] Περισσὸν δέ ἐστι καὶ τὸ ἕτερον οὐ, ὥστε ὥσπερ ἀπόφασιν εἶναι· σύνηθες δὲ τοῦτο τραγικοῖς.

7. Καὶ νῦν τι τοῦτ' αὖ φασίν: Ἐγκλιτικῶς προσενεκτέον τὸ τι· οὐ γάρ ἐστιν ἐν ἐρωτήσει ὁ λόγος, ἀλλ' ἐν ἀποφάσει ἀορίστως.

*Ibid.* Πανδήμῳ πόλει] Πάσῃ τῇ πόλει.

9. Ἤ σε λανθάνει: Ἢ λανθάνει σε τὰ τῶν ἐχθρῶν μηχανήματα ἐπὶ τοὺς φίλους ἰόντα; [Εἰς τὸ αὐτό.] τὰ ἀπὸ τῶν ἐχθρῶν κακὰ εἰς ἡμᾶς στείχοντα.

[a] τὸ κοινὸν τίθησιν R. Br.

[c] Haec in principio gl. praecedentis R. Br.

[d] ὁποῖον R. Br.

[e] ὁ Ζεὺς ζώσαις ἡμῖν ἐπιτελεῖ R. Br.

[f] περισσόν ἐστι τὸ Br. qui mox τοῖς τραγικοῖς.

10. [a] Πρὸς] Ἀντὶ τοῦ ἐπί.

11. Φίλων] Λείπει ἡ περί. [b] Περὶ φίλων.

14. Διπλῇ χερί: Τῇ ὑπ' ἀλλήλων· τοῦτο γὰρ δηλοῖ τὸ διπλῇ, οἷον, ὑπ' ἀλλήλων ἀναιρεθέντων τῶν ἀδελφῶν.

15. Ἐπεὶ δὲ φροῦδος: Ἀντὶ τοῦ, ἀφ' οὗ πεπλεύκασιν Ἕλληνες. Ὅμηρος·

[c] ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον [ἔπερσε.]

Τὸ δὲ φροῦδος καθ' ὑπερβολὴν εἴρηται.

*Ibid.* Ἐπεὶ] Ἀντὶ τοῦ ἀφ' οὗ.

16. Οὐδὲν οἶδ' ὑπέρτερον] Οἷον, οὐκ οἶδα ἐν τίσιν εἰμὶ, ἢ ἐν ἀγαθοῖς, ἢ ἐν κακοῖς.

*Ibid.* Ὑπέρτερον] [d] Ἀντὶ τοῦ πλέον.

17. Ἀτωμένη] Ἄτῃ συνεχομένη.

18. Ἤιδειν καλῶς: Ἀντὶ τοῦ, ᾔδεα· καὶ ᾔδειν σε καλῶς [e] τὰ τοιαῦτα μὴ πολυπραγμονοῦσαν.

19. Τοῦδ' οὕνεκ' ἐξέπεμπον: Ἀντὶ τοῦ, διὰ τοῦτό σε ἤγαγον ἐνταῦθα· τὸ δὲ ἐξέπεμπον ἀντὶ τοῦ, μετεπεμπόμην.

20. Καλχαίνουσα: Ἀντὶ τοῦ, πορφύρουσα, καὶ τεταραγμένως φροντίζουσα· κάλχη γάρ ἐστιν ὁ [f] κόχλος τῆς πορφύρας, ἥτις ἐκ τοῦ βυθοῦ τῆς θαλάσσης ἀνιοῦσα βάπτει τὴν καλλίστην πορφύραν· [g] παρ' ὃ καὶ Κάλχας ὁ μάντις. [Εἰς τὸ αὐτό.] [h] Φροντίζουσα. [Εἰς τὸ αὐτό.] Ἐκ βάθους τι μεριμνῶσα, ὡς τὸ βυσσοδομεύων.

21. Οὐ γὰρ τάφου νῷν: Ἀντὶ τοῦ, [i] ἡμῶν· ὁ δὲ λόγος κατ' ἐρώτησιν. Οὕτω πρὸς τὸ ἑξῆς· οὐ γὰρ τῶν κασιγνήτων ἡμῶν τὸν μὲν ἐτίμησε τάφῳ ὁ Κρέων, τὸν δὲ οὔ;

23. Σὺν δίκῃ χρησθεὶς δικαίᾳ] [k] Δικαίᾳ κρίσει χρησάμενος.

26. Πολυνείκους νέκυν] Ἀντὶ τοῦ, αὐτὸν τὸν [l] Πολυνείκη.

30. Θησαυρόν] Ἕρμαιον, εὕρημα.

*Ibid.* Πρὸς χάριν βορᾶς] Πρὸς τέρψιν τροφῆς.

31. Τοιαῦτα φασί: Τὸ ἑξῆς· τοιαῦτα φασὶ τὸν ἀγαθὸν Κρέοντα

[a] ἡ δὲ πρὸς ἀντὶ τῆς ἐπι ληπτέα R. Br.

[b] ἵν' ᾖ περὶ φίλων R. Br.

[c] Od. ά. 2. Supra pro πεπλεύκασιν P. E. em. πεφεύγασιν.

[d] In principio gl. praeced. R. Br.

[e] τοῖς τοιούτοις L. (superscript: α αὖτα)

[f] κόλχος L.

[g] ἀφ' οὗ R. Br.

[h] Gl. om. R. Br.

[i] ἡμῖν R. Br.

[k] ἀντὶ τοῦ δικαίᾳ R. Br.

[l] Πολυνείκην R. Br.

σοὶ κἀμοὶ κεκηρυχέναι. Τὸ δὲ λέγω γὰρ κἀμὲ διὰ μέσου μετὰ πάθους ἀνεφώνησεν· λέγω γάρ, φησίν, ὅτι κἀμὲ προσπεριείληφε τῷ κηρύγματι· ἔτι γὰρ καὶ ἐμαυτὴν ἐν τοῖς ζῶσι καταριθμῶ.

31. [a]Ἀγαθόν: Ἐν εἰρωνείᾳ.

*Ibid.* Λέγω γὰρ κἀμέ] [b]Εἴπερ δεῖ κἀμὲ συγκαταριθμεῖσθαι ἐν τοῖς ζῶσιν.

*Ibid.* Κηρύξαντ' ἔχειν] Ἀντὶ τοῦ, κεκηρυχέναι, [c]ὡς τὸ, σιγήσας ἔχω, ἀντὶ τοῦ, σιγῶ.

33. Νεῖσθαι] Ἀντὶ τοῦ, [d]ἡγεῖσθαι, πορεύεσθαι.

35. Οὐχ ὡς παρ' οὐδέν: Οὐχ ὡς ἔτυχεν ἔχειν τὸ πρᾶγμα, ἀντὶ τοῦ, οὐκ εὐτελῶς καὶ ὡς πάρεργον, ἀλλ' ὡς μέγα. Ἢ οὕτως· οὐχ ὡς οὐδὲν, ἀλλὰ μέγα.

38. Ἐσθλῶν] [e]Λείπει γονέων, ἵν' ᾖ, ἐσθλῶν γονέων.

39. Τί δ' ὦ ταλαῖφρον: Τὸ ἑξῆς· τί δὲ ἂν σοι ἐγὼ προσθείμην πλέον; ἀντὶ τοῦ, σοὶ γενοίμην χρήσιμος, εἰ ταῦτα οὕτως ἔχοι, λύουσα τὸν νόμον καὶ θάπτουσα τὸν ἀδελφόν; Εἰ δὲ γρ. ἢ [f]'φάπτουσα, ἀντὶ τοῦ, λύουσα τὸν νόμον, ἢ [g]βεβαιοῦσα αὐτόν.

*Ibid.* Εἰ τάδ' ἐν τούτοις] [h]Εἰ ταῦτα Κρέων ἐκέλευσε.

40. Προσθείμην: Ἀντὶ τοῦ, ποιήσαιμι.

42. Ἐκ τούτου ἤδη τὸ ἦθος ὅρα, κινδύνευμα καλούσης τὸ ἔργον· τὸ δὲ ποῖ γνώμης πότ' εἶ, ὡς ἀδυνάτοις ἐπιχειρούσης λέγει.

44. Τὸν ἀπηγορευμένον καὶ κεκωλυμένον ὑπὸ τῆς πόλεως τολμᾷς θάπτειν σύ;

45. Τὸν γοῦν ἐμὸν καὶ τὸν σόν: Εἰ μὴ σὺ θέλεις θάπτειν, ἐγὼ τοῦτο ποιήσω μόνη. Ἢ οὕτω· κἂν μὴ προσποιῇ αὐτὸν εἶναι σὸν ἀδελφὸν, ἀλλ' ἀλλοτριοῖς σαυτὴν τῆς συγγενείας, ἐγὼ θάψω τὸν ἐμὸν καὶ σὸν ἀδελφόν. Δίδυμος δὲ φησὶν ὑπὸ τῶν ὑπομνηματιστῶν τὸν ἑξῆς στίχον νενοθεῦσθαι.

47. Ὦ σχετλία Κρέοντος: Αἱ ἀντιλογίαι δῆλαί εἰσιν· ἡ μὲν γὰρ τῷ πράγματι, ἡ δὲ τῇ οἰκειότητι ἀκολουθεῖ.

[a] τὸ δὲ ἀγαθὸν R. Br.

[b] Hanc gl. h. l. om. R. Br. qui post ἀντὶ τοῦ σιγῶ addunt, λέγει δέ· εἴπερ δεῖ κἀμὲ συγκαταριθμεῖσθαι ἐν τοῖς ζῶσι.

[c] καὶ L.

[d] ἡγεῖσθαι tantum R. πορεύεσθαι tantum Br. quod in L. a m. r.

[e] Gl. om. Br.

[f] θάπτουσα L. Sed participii prima litera in rasura est. P. E. θάπτουσα R. 'φάπτουσα Br.

[g] ἐπιβεβαιοῦσα R. Br.

[h] Hanc gl. cum seq. om. R.

48. Ἀλλ' οὐδὲν αὐτῷ τῶν ἐμῶν: Οὐ μέτεστιν αὐτῷ εἴργειν με ἀπὸ τῶν ἐμῶν. Ἢ οὕτως· οὐ [a] μέτεστιν αὐτῷ τὰ ἡμέτερα βουλεύματα εἴργειν.

49. Πατὴρ ὡς νῷν ἀπεχθής: Τὰς συμφορὰς σκόπησον τοῦ παντὸς γένους, καὶ πῶς [b] ὁ πατὴρ ἀκλεὴς ἀπώλετο· οὐ μόνον δὲ ἀκλεὴς, ἀλλὰ καὶ ἀπεχθὴς, διὰ τὸν γενόμενον λοιμόν.

51. Πρὸς αὐτοφώρων ἀμπλακημάτων: Αὐτὸς γὰρ ἑαυτὸν ἐφώρασεν, καὶ ἔγνω συνὼν τῇ μητρί· ἢ ὧν αὐτὸς ἐπόπτης ἐγένετο· ἢ τῶν φανερῶν καὶ πᾶσιν ἐγνωσμένων.

53. Διπλοῦν ἔπος] Διπλοῦν ὄνομα ἔχουσα, μήτηρ τε καὶ γυνή.

54. Ἀρτάναισι] Ἀγχόναις.

*Ibid.* Λωβᾶται] Ἀφανίζει, ἀπόλλυσιν.

58. Μόνα] [c] Μηδενὸς ἐπικούρου ὄντος ἡμῖν.

59. Εἰ νόμου βίᾳ ψῆφον τυράννων: Εἰ τὴν γενομένην ψῆφον τῶν τυράννων τῇ τοῦ νόμου ἀνάγκῃ παραβαίημεν· τουτέστιν, εἰ τὴν ἐξουσίαν τὴν ἐκ τῶν νόμων τοῖς τυράννοις ἑπομένην παραβαίημεν.

60. Κράτη] Τὰς βασιλείας.

61. Ἀλλ' ἐννοεῖν χρὴ τοῦτο μέν: Πρῶτον μὲν ὅτι ἀσθενεῖς ἐσμὲν ἐκ φύσεως, καθὸ γυναῖκες· ἔπειτα καὶ ὑπὸ τῆς τύχης ἀσθενέστεραι, καθὸ [d] ἀσθενέστεραι. [Εἰς τὸ αὐτό.] Παρὰ τὸ Εὐριπίδου·

> Γυνὴ γὰρ τἆλλα [μὲν] φόβου πλέα,
> [e] κακὴ δ' ἐς ἀλκὴν, καὶ σίδηρον εἰσορᾶν.

64. Ἀλγίονα] Λυπηρότερα. [Εἰς τὸ αὐτό.] [f] Λείπει ὥστε ἀκούειν ταῦτα, καὶ τὰ τούτων χείρονα.

65 Τοὺς ὑπὸ χθονός: Ἢ τὸν Πολυνείκη, ἢ τοὺς χθονίους δαίμονας· πιθανῶς δὲ καὶ τοῦ πρέποντος ἐφρόντισε· φησὶ γὰρ, ὅτι ἀπολογήσομαι τοῖς κατὰ χθονός.

66. Ξύγγνοιαν ἴσχειν: Συγγνώμην ἔχειν, ὅτι βίᾳ πράσσω ταῦτα.

67. Τοῖς ἐν τέλει: Τοῖς βασιλεῦσι.

*Ibid.* Τὸ γὰρ περισσὰ πράσσειν: Γνωμολογικῶς ἀπαλλάττεται· τὸ γὰρ παρὰ δύναμίν τι πράττειν, ἠλίθιον.

[a] μετῆν R. Br.
[b] ὁ om. R. et mox ἀκλεῶς, et sic L. pr.
[c] μηδενὸς δηλονότι R. Br.
[d] ὑποτεταγμέναι Br. Mox Εὐριπ^δ L. Εὐριπίδειον R. Br. Versus est Med. 263.
[e] κακή τ' Br.
[f] λείπει δὲ τὸ R. Br.

69. Οὔτ' ἂν κελεύσαιμ', οὔτ' ἂν εἰ θέλοις ἔτι πράσσειν, ἐμοῦ γ' ἂν ἡδέως δρῴης μέτα: Τὸ τέλειον, οὔτ' ἂν [a] κελεύσαιμι· τὸ δὲ ἑξῆς· οὔτε εἰ θέλοις πράττειν ἐμοῦ μέτα, ἡδέως ἂν δρῴης. Δαιμόνιον δὲ τὸ ἦθος. Φησίν, οὔτε σε ἀναγκάσω· ἀλλ' οὔτ', ἂν [b] θέλοις, ἡδέως ἕξομαί σου τὴν ἐπικουρίαν.

71. Ἀλλ' ἴσθ' ὁποῖα σοι δοκεῖ] Γίγνωσκε ὁποῖα σὺ θέλεις, τὸ πείθεσθαι τοῖς τυράννοις· ἢ τοιαύτη γενοῦ, ὁποία καὶ βούλει.

72. Καλόν μοι τοῦτο ποιούσῃ: [b b] Θαψούσῃ τὸν ἀδελφόν· ἀντὶ τοῦ, καλός μοι ἔσται ὁ ὑπὲρ ἀδελφοῦ θάνατος, τουτέστιν εὐκλεέστατος.

74. Ὅσια πανουργήσασα: Δίκαια μετὰ πανουργίας ἐργασαμένη, ὡς αὐτὴ λέγεις· ἐπεὶ προεῖπεν,

τὸ γὰρ
περισσὰ πράσσειν οὐκ ἔχει νοῦν οὐδένα.

Ἢ οὕτως· ὅσια πανουργήσασα, ἀντὶ τοῦ, εὐσεβῶς πάντα ἐργασαμένη.

75. Τοῖς κάτω τῶν ἐνθάδε: Γενναῖον καὶ τοῦτο, εἰς ὑποθήκας συντελοῦν τῆς μετὰ ταῦτα ἐπιδημίας, ὅτι δεῖ εὖ τίθεσθαι, μεμνημένον ἐκείνου τοῦ χρόνου, καὶ ὅτι δεῖ λόγον ὑποσχεῖν κάτω. Ἐπεμβέβληται δὲ ταῦτα τοῖς ποιήμασιν οὐκ ἀχρείως, εἰς εὐσέβειαν προτρεπόμενα.

77. Τὰ τῶν θεῶν ἔντιμ' ἀτιμάσασ' [ἔχε]: Τὰ παρὰ θεοῖς τίμια ἀτίμαζε· τετίμηται γὰρ παρὰ θεοῖς, καὶ ὅσιον νενόμισται τὸ θάπτειν νεκρούς· οἷς μᾶλλον δεῖ πείθεσθαι, ἢ τοῖς τοῦ Κρέοντος κηρύγμασιν.

80. Σὺ μὲν τάδ' ἂν προὔχοιο: Σὺ μὲν [c] τοιαῦτα προφασίζου· τὰς γὰρ προφάσεις, προχάνας ἐκάλουν, ὡς καὶ Καλλίμαχος·

[d] ἀγραδετω πάσῃσιν ἐπὶ προχάναισιν ἐφοίτα.

[e] ἐν τῷ γ̄ Αἰτιῶν. Ἢ σὺ ταῦτα προβάλλου· ἤ, σὺ μὲν τούτοις ἂν σαυτὴν σκεπάζοις.

*Ibid.* Ἐγὼ δὲ δὴ τάφον] Τοῦτο ἤδη τῆς προθυμίας αὐξητικόν.

82. Οἴ μοι ταλαίνης: Φιλόστοργον καὶ ταύτης τὸ ἦθος, ἀλλ' εὐλαβές· δέδοικεν οὖν καὶ περὶ τῇ ἀδελφῇ, καὶ ἀναβοᾷ περιπαθῶς.

83. Πότμον] γρ. βίον.

[a] κελεύσαιμεν L. Hoc dicit grammaticus: cavendum ne literae ΚΕΛΕΥΣΑΙΜ' pro κελεῦσαί με accipiantur, eodem scilicet errore quo legitur in Aldina πρόσφορον ἀκοῦσαί μ' ἔπος El. 227. P. E.

[b] θέλῃς Br. Mox ἀνέξομαι R. Br.

[b b] Sic L. θαπτούσῃ R. Br.

[c] μέντοι ταῦτα R. Br.

[d] ἀγραδετω (sic) L. Ἀγροδέτω R. ἀγρόνδε Br. e Toupii emend. Mox προχάναισιν L. προχάνῃσιν R. Br.

[e] τρίτῳ τῶν αἰτίων R. Br. Vid. Fragm. Bentl. XXVI.

86. Οἴ μοι καταῦδα: Διὰ τούτου δηλοῖ, ὅτι ἐφ' οἷς ποιῶ ἀγάλλομαι. Πᾶσιν οὖν ἀπάγγελλε αὐτά· ἅμα δὲ καὶ ἐφυβρίζει ἐν οἷς δοκεῖ αὐτῇ προσχαρίζεσθαι.

88. Θερμὴν ἐπὶ ψυχροῖσι] Ἐπὶ ἀδυνάτοις νεανιεύῃ, καὶ ἐπὶ ἀηδέσι τέρπῃ τὴν ψυχήν.

89. Οἷς μάλιστ' ἅδειν με χρή: Τῇ τῶν θεῶν ὁσίᾳ, διὰ τὸ θάπτειν τὸν νεκρὸν, καὶ μάλιστα ἀδελφόν.

90. Εἰ καὶ δυνήσῃ γ' ἀλλ' ἀμηχάνων: Εἰ καὶ δυνήσῃ ἀρέσκειν· ἀλλ' [a] [a] ἀμηχάνων ἐρᾷς.

91. Οὐκοῦν ὅταν δὴ μὴ σθένω: Ὅταν ἀδυνατήσω, τότε παύσομαι· νῦν δὲ ἀναγκαῖον ἐπιχειρεῖν.

92. Οὐδὲ ἐπιβάλλειν τοῖς ἀμηχάνοις καλόν ἐστι.

94. Προσκείσῃ δίκῃ: Ἀντὶ τοῦ δικαίως, ὡς καὶ ἡμεῖς ἔτι φαμὲν ἐν τῇ συνηθείᾳ, βίᾳ, ἀντὶ τοῦ βιαίως· ἢ ἡ [a] προς τοῦ δίκη ἐστὶν, ἵν' ᾖ οὕτως· πρὸς [b] τῷ τῇ δίκῃ ἀπέχθεσθαι, καὶ τῷ θανόντι δυσμενὴς ἔσῃ· καλῶς δὲ τὸ κείσῃ, ἵνα τὴν μετὰ θάνατον αὐτῇ προσγενησομένην τιμωρίαν αἰνίξηται.

96. Πείσομαι γὰρ οὐ τοσοῦτον οὐδέν: Οὐδὲν δεινὸν, φησὶ, πείσομαι, ὅπερ με τῆς εὐκλείας τοῦ καλοῦ θανάτου ἀποστερήσει· ἀντὶ τοῦ, οὐδὲν τηλικοῦτον κακὸν πείσομαι, ὥστε μὴ οὐ καλῶς ἀποθανεῖν.

99. Ἄνους μὲν ἔρχῃ: Ἀνοήτως μὲν καὶ φιλοκινδύνως πράττεις· εὐνοϊκῶς δὲ τῷ θανόντι.

100. Ἀκτὶς ἀελίου: Σύνοδος τινῶν Θηβαίων γερόντων, ἐξ ὧν ὁ Χορὸς συνέστηκεν. Μετάπεμπτοι δὲ ἐοίκασιν οὗτοι ὑπὸ τοῦ Κρέοντος γεγενῆσθαι, ἐπεὶ καὶ τὰς προφάσεις τῆς εἰσόδου τῶν Χορῶν [c] πιθανὰς εἶναι δεῖ· καὶ ἐπειδὴ [d] κατωρθώκασι τῇ προτεραίᾳ οἱ Θηβαῖοι, καὶ οἱ ἄριστοι πάντες τῶν Ἀργείων ἀνῄρηνται, εἰκότως περιχαρεῖς εἰσι, καὶ τῇ παρούσῃ ἡμέρᾳ εὐχαριστοῦσιν. Ὁ δὲ λόγος· ὦ φίλη ἡμέρα παρὰ τὰς πρόσθεν ἡμέρας [e] φαιδρὰ ἡμῖν φανεῖσα.

*Ibid.* Ἀκτίς] [f] Ἀντὶ τοῦ ἀκτίν.

*Ibid.* Τὸ κάλλιστον ἑπταπύλῳ: Τὸ το πρὸς τὸ φανέν. Τὸ δὲ ἑξῆς· ὦ τῆς ἀκτῖνος τοῦ ἡλίου φῶς, τὸ φανὲν ἡμῖν κάλλιστον τῶν προτέρων ἡμερῶν· τοῦτο γὰρ προσληπτέον.

[a] [a] ἀμηχάνων καὶ ἀδυνάτων R. Br.
[a] προσκείσῃ τῷ δίκῃ συνάπτεται Br.
[b] τὸ L. R.
[c] πιθανῶς L.
[d] κατορθώκασι τῇ προτέρα^τ θήβ^οι L.
[e] φαιδρὰ om. R. Br.
[f] Hanc gl. om. R. Br. Pro ἀκτίν ms. ἀκτῖνσο i. e. ἀκτῖνος.

103. Ὦ χρυσέας ἀμέρας: [a] Ὡς ἀκτὶς τῆς ἡμέρας ὀφθαλμός· ὁ δὲ νοῦς· ὦ καλλίστη ἡμέρα, ἐφάνης ἐν Θήβαις, βάντα τὸν Ἀργολικὸν στρατὸν τὸν λεύκασπιν πανσαγίᾳ, τουτέστι πάσῃ σάγῃ καὶ σκευῇ χρησάμενον, [b] ὀξυτέρῳ κινήσασα χαλινῷ φυγάδα.

*Ibid.* Ὦ χρυσέας ἀμέρας βλέφαρον] [c] Περιφραστικῶς ἡ ἡμέρα.

*Ibid.* Δίρκη, κρήνη καὶ ποταμὸς Θηβῶν.

106. Λεύκασπιν] Καὶ [d] Εὐριπίδης·

λεύκασπιν εἰσορῶμεν Ἀργείων στρατόν.

107. Πανσαγίᾳ] Σὺν πανοπλίᾳ. Ἤτοι δὲ τὸν Ἄδραστόν φησιν, ἢ ἀφ' ἑνὸς τὸ πλῆθος δηλοῖ.

108. Πρoδρομον: Ὑπὲρ τὸ δέον δραμόντα διὰ τὴν φυγήν.

*Ibid.* Ὀξυτ 'ρῳ] [e] Ὀξεῖ.

*Ibid.* Κινήσασα χαλινῷ: Οἷον παρασκευάσασα τῶν χαλινῶν μετὰ σπουδῆς ἐφάψασθαι, διὰ τὴν ὀξυτέραν φυγήν.

111. Ὃν ἐφ' ἡμετέρᾳ γᾷ: Ὅντινα στρατὸν Ἀργείων, ἐξ ἀμφιλόγων νεικέων ἀρθεὶς, ἤγαγεν ὁ Πολυνείκης, οἷον, ἀμφιλογίᾳ χρησάμενος πρὸς τὸν ἀδελφόν· διὰ βραχέων δὲ εἶπεν αὐτὸ, ὡς γνωρίμου οὔσης τῆς ὑποθέσεως.

*Ibid.* Ἄρθεις νεικέων: Ἐπαρθεὶς εἰς θυμὸν καὶ παροξυνθείς. Ἀμφιλόγων [f] δὲ, ἢ τῶν ἀμφισβητησίμων, ἢ τῶν ἀμφιβολίας ἐμποιούντων.

112. [g] Τὸ ἑξῆς· αἰετὸς ὥς, ὡς ἀετός.

114. Λευκῆς χιόνος πτέρυγι] Ὡς ἐκ χιόνος οὔσῃ πτέρυγι, ἀντὶ τοῦ λευκοτάτῃ.

*Ibid.* Λευκῆς χιόνος: [h] Τοῦτο ἀλληγορικῶς φησὶν, ὡς ἐπὶ ἀετοῦ· δηλοῖ δὲ ὅτι λεύκασπις ἦν ὁ τῶν Ἀργείων στρατός.

*Ibid.* Λείπει τὸ ὡς, ἵν' ᾖ, ὡς χιόνος· τὸ δὲ πτέρυγι μεταφορικῶς ἐπὶ τῶν ὅπλων ἔλαβεν.

*Ibid.* Στεγανὸς] Ἐστεγασμένος λευκοῖς ὅπλοις.

118. Στὰς δ' ὑπὲρ μελάθρων: Ὡς ἀετὸς [i] ὁ Πολυνείκης κυκλώσας τὰς Θήβας ταῖς τῶν φόνων ἐρώσαις λόγχαις, ἀμφιχανὼν ἔβα· ἐνέμεινε δὲ τῇ μεταφορᾷ.

[a] ὡς L. ὦ R. Br.
[b] ὀξυτόρῳ R. Br.
[c] Hanc gl. om. R. Br.
[d] Phoen. 1106.
[e] Gl. om. R. Br.
[f] δὲ om. R. Br.
[g] αἰετὸς εἰς γᾶν ὥς] τὸ ἑξῆς· ὡς R. Br.
[h] στεγανὸς] ἐστεγασμένος λευκοῖς ὅπλοις. ἀλληγορικῶς δὲ τοῦτό φησιν R. Br.
[i] ὁ om. R. Br.

120. Ἔβα: Ἀντὶ τοῦ, ἡττήθη.

121. Παρήλλαξε τὸ ὄνομα, τὰ χείλη τοῦ ἀετοῦ γένυς εἰπών.

123. Πευκάενθ' Ἥφαιστον ἑλεῖν: Τὸν ἐκ τῆς πεύκης ἐγειρόμενον, ἢ τὸν πικρὸν τοῖς τοῦτο πάσχουσι.

126. Δυσχείρωμα δράκοντι: Ἀπὸ τοῦ δράκοντος τοὺς Θηβαίους δηλοῖ, ἐπεὶ δρακοντογενεῖς εἰσιν. Ὁ δὲ λόγος τοιοῦτος· πάταγος Ἄρεως περὶ τὰ νῶτα τοῦ ἀετοῦ ἐτάθη, τουτέστι, δραπετεύειν καὶ νῶτα αὐτὸν διδόναι πεποίηκεν ὑπὸ τοῦ ἀντιπάλου δράκοντος, ὃς ἐποίησεν αὐτὸν τὸν δράκοντα δυσχερῶς χειρωθῆναι. Πολέμιον δὲ ζῶόν ἐστιν ὁ δράκων πρὸς τὸν ἀετὸν, ὥς φησι [a] Νίκανδρος· [b] τὸ δὲ ἀντιπάλῳ δράκοντι, ἀντὶ τοῦ, ὑπὸ τοῦ ἀντιπάλου δράκοντος, ὡς,

[c] Ἀχιλῆϊ δαμασθείς.

Ἢ οὕτως· τῷ ἀντιπάλῳ δράκοντι τοσαύτη μάχη [d] συνεστάθη, ἣ ἐποίησεν αὐτὸν μὴ δύνασθαι ἡμᾶς χειρώσασθαι· ἵνα δράκοντα λέγῃ τὸν [e] τῶν Ἀργείων στρατὸν, ὡς θανατηφόρον, ἢ τὸν Πολυνείκη, ὡς [f] καὶ αὐτὸν Θηβαῖον ὄντα.

*Ibid.* [g] Ἐγεγόνει ὁ δράκων ἐξ Ἄρεως καὶ Τιλφώσσης Ἐρινύος.

127. Ζεὺς γὰρ μεγάλης γλώσσης: Τοῦτο κοινὸν, ὡς πάντων τῶν [h] Ἑλλήνων μεγαλαυχούντων, ἢ ἰδίᾳ κατὰ Καπανέως· τὰ γὰρ ἑξῆς εἰς αὐτὸν μόνον τείνει.

128. Καὶ σφᾶς εἰσιδὼν: Καὶ τὴν τοῦ χρυσοῦ φαντασίαν ὑπερβεβηκότας τῇ ἰδίᾳ ὑπεροψίᾳ· ὑπερήφανον γάρ τι ὁ χρυσός. Οἱ δὲ φασὶ λείπειν τὴν μετὰ, ἵν' ᾖ οὕτως· καὶ ἰδὼν αὐτοὺς [i] προσνισομένους μετὰ χρυσοῦ, καὶ καναχῆς, καὶ ὑπεροπτίας, ὅ ἐστιν ὑπερηφανίας, οὐκ ἠνέσχετο, ἀλλ' ἐνεμέσησε τῷ κόμπῳ αὐτῶν· ἀεὶ γὰρ τοὺς κόμπους τῆς μεγάλης γλώσσης ὑπερεχθαίρει.

131. Παλτῷ ῥιπτεῖ πυρί: Τῷ κεραυνῷ τῷ ἄνωθεν παλθέντι. [k] Τὸ δὲ βαλβίδων μεταφορικῶς, ἀπὸ τῶν δρομέων.

*Ibid.* Βαλβίδων] Τῶν κρηπίδων τοῦ τείχους.

133. Ἀλαλάξαι: Παιωνίσαι· ἀλάλαγμα δέ ἐστιν ἐπινίκιος ᾠδή.

134. Ἀντίτυπα δ' ἐπὶ γᾷ πέσε: Εἰς ἀντίτυπον δὲ, φησὶ, πτῶμα

[a] Θηρ. 448.
[b] τῷ L. R.
[c] Il. χ. 55.
[d] συνεστάθη L. R. συνετάθη Br.
[e] τῶν om. Br.
[f] καὶ om. R. Br.
[g] Sequentia in principio scholii praecedentis ponunt R. Br.
[h] Ἀργείων Br.
[i] προσνισσομένους R. Br.
[k] Βαλβίδων μεταφορικῶς εἴρηται ἀπὸ τῶν δρομέων, ἀντὶ τῶν κρηπ. R. Br.

ἔπεσεν, διατιναχθεὶς ἄνωθεν κάτω, οὐχὶ πλάγιος. Τὸ δὲ ἀντίτυπος, οὐκ ἀπὸ τοῦ τύπου, ἀλλ' ἀπὸ τοῦ τύψαι συντέθειται· αὐτὸς μὲν γὰρ τὴν ἄνω φορὰν ἐδίωκεν· ὁ δὲ κεραυνὸς τὴν κάτω. Ὅτι δὲ ταντααλωθεὶς σημαίνει τὸ διασεισθεὶς, μαρτυρεῖ καὶ Ἀνακρέων·

Μελαμφύλλῳ δάφνᾳ χλωρᾷ τ' ἐλαίᾳ ταντααλίζει.

Ἄλλως· ἄνωθεν τυπεὶς ὑπὸ τοῦ κεραυνοῦ, κάτωθεν δὲ ὑπὸ τῆς γῆς, [a] ὑπὸ τὸν κεραυνὸν γενόμενος· ὅτι τῷ Ταντάλῳ ἡ Σίπυλος ἐπικατεστράφη.

134. Ταντααλωθείς] [b] Διασεισθείς.

*Ibid.* Πυρφόρος: Πῦρ φέρων ἐν αὐτῷ· ὁ πῦρ τοῖς τείχεσι προσάγων· ἢ πεπυρακτωμένος ὑπὸ τοῦ κεραυνοῦ.

135. Μαινομένᾳ ξὺν ὁρμᾷ: Ὡς ἐπὶ Τυφῶνος καὶ καταιγιδώδους πνεύματος, ἐπέπνει τὴν πόλιν ῥιπαῖς ἀνέμων.

136. Βακχεύων] ἐνθουσιῶν, καὶ μέγα φυσῶν, καὶ πνέων ὀργὴν, ὡς τὸ Μενάνδρου·

[c] ἀλλὰ καὶ πν . . .

138. Εἶχε δ' ἄλλᾳ: Τὸ εἶχεν οὐκέτι ἐπὶ τοῦ Καπανέως, ἀλλ' ἐπὶ τοῦ Ἄρεως [d] ἐστίν· ὅτι Ἄρης βοηθῶν ἡμῖν, πανταχοῦ τροπὰς ἐποιεῖτο τῶν πολεμίων· τοῦτο δὲ φησὶν, ὡς εἰ ἔλεγεν, οὐδεὶς τόπος ἀπήλλακτο ταραχῆς, ἀλλὰ πανταχοῦ ὁμοίως ἐξεφλέγετο ὁ πόλεμος.

139. Στυφελίζων] [e] Ταράσσων.

140. [f] Δεξιόσειρος: Κατὰ τὸ δεξιὸν φερόμενος κέρας· ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἵππων τῶν ἐν τοῖς ἅρμασι [g] παρασείρων· ὅ ἐστι, [gg] δεξιὸς Ἄρης ἡμῖν γενόμενος ὁ κεραυνὸς, καὶ ἀγαθὸς ἡμῖν φανείς. Ἐὰν δὲ ᾖ δεξιόχειρος, ἀντὶ τοῦ, γενναῖος καὶ περιδέξιος. [[h] Εἰς τὸ αὐτό.] ὁ γενναῖος· οἱ γὰρ ἰσχυροὶ ἵπποι εἰς τὴν δεξιὰν σειρὰν ζεύγνυνται τοῦ ἅρματος.

142. Ἔλιπον] Ὅ ἐστι, τὰ ὅπλα ἀπέβαλον.

143. Τέλη] [i] Ὅπλα.

144. Πλὴν τοῖν στυγεροῖν: Στυγερῶν φησὶ τῶν ἀτυχῶν· οἱ τοι-

[a] διὰ Br.

[b] Gl. om. R. Br.

[c] Sic ms. nec plura. Nihil enim erasum aut deletum est. P. E.

[d] ἔστιν om. R. Br.

[e] Gl. om. R. Br.

[f] MS. δεξιόχειρος, cui alterum recte substituit editor Romanus. MS. etiam in textu δεξιόχειρος, correctum tamen ab eadem manu, ni fallor. P. E.

[g] παρασειρόντων R. Br.

[gg] Sic L. R. δεξιόσειρος ἡμῖν P. E.

[h] ἄλλως. δεξιόσειρος R. Br.

[i] Gl. om. R. Br.

οὗτοι γὰρ ἀεὶ στυγνοὶ καθεστήκασιν· οὗτοι δὲ, φησὶν, ἀλληλοκτονηθέντες οὐ διέκριναν τὴν νίκην, ὥστε τοῦ ἡττηθέντος ἀνατεθῆναι τὰ ὅπλα.

145. Καθ' αὑτοῖν] Ἀντὶ τοῦ, κατ' ἀλλήλων.

146. Δικρατεῖς λόγχας: Ἀμφοτέρωθεν ἠκονημένας· ἢ [a] δικρατεῖς φησὶν, ὅτι ἀλλήλους ἀπέκτειναν, καὶ ἡ ἑκατέρου λόγχη οὐκ εἰς κενὸν ἀπεπέμφθη, ἀλλ' ἐκράτησεν τοῦ ἑτέρου.

148. Ἁ μεγαλώνυμος] Ἡ μεγάλην περιποιοῦσα δόξαν.

149. Ἀντιχαρεῖσα Θήβᾳ: Ἀντὶ τοῦ, ἴσον αὐτῇ χαρεῖσα, ὡς ἀντίθεος· θέλει δὲ εἰπεῖν, ὅτι ὅσον ἐφίλει τὴν νίκην, καὶ ἡ νίκη αὐτὴν ἀντεφίλησεν. Πρὸς χαίρουσαν γὰρ αὐτὴν καὶ αὐτὴ χαρεῖσα ἦλθεν· ἢ ἀντὶ τῶν κακῶν χαρεῖσα.

150. Ἐκ μὲν δὴ πολέμων] Πάνυ πιθανῶς τὰ τῆς εὐχῆς· ἐπιμνησθέντες γὰρ δυσχερῶν, πάλιν ἐπὶ τὰ κατ' ἀρχὰς εὔφημα τρέπονται.

154. Ὁ Θήβας δ' ἐλελίζων Βακχεῖος: Ὁ κινησίχθων· ἐλελίχθονα δὲ τὸν Διόνυσον φησὶ, διὰ τὰς ἐν ταῖς βακχείαις κινήσεις· ἢ τὸν τὴν γῆν σείοντα καὶ ἀναβακχεύοντα ταῖς [b] χορείαις. Ὁ δὲ νοῦς· ὁ Θήβας Βακχεῖος, ὁ Θηβαγενὴς Διόνυσος, ὁ τῆς Θήβης πολίτης, ὁ ἐλελίχθων, ἄρχοι τῆς χώρας.

*Ibid.* Ἐλελίζων] Ἐξάρχοι δὲ ὁ Διόνυσος, ὁ τὰς Θήβας ἐλελίζων καὶ κινῶν ταῖς βακχείαις.

155. Ἀλλ' ὅδε γὰρ δὴ βασιλεύς: Ἄριστα καὶ μεγαλοφρόνως διεσκεύασται αὐτῷ ὁ Χορός· ἕτερος γὰρ ἂν ταῦτα πρῶτον εἰσήγαγεν, ὅτι ἡμεῖς συνήχθημεν ὑπὸ Κρέοντος· χάριεν δὲ τὸ πρῶτον μὲν εὐχὴν αὐτοὺς ποιήσασθαι, ἑξῆς δὲ δηλῶσαι ὑπὸ τίνος συνηθροίσθησαν. Παρατήρει δὲ, ὅτι πάντῃ ἐπιμελῶς διαγίνεται δηλῶν ἡμῖν τὰ πράγματα ὁ ποιητὴς, ὥστε ἐσπάρθαι μὲν αὐτὰ καὶ παρακεῖσθαι ἑτέροις προσώποις, πάντα δὲ δηλοῦσθαι· καὶ τὸ τοῦ βασιλέως ὄνομα εὐθὺς παρατήρει, Κρέων ὁ Μενοικέως, καὶ τὸ νεοχμὸς δὲ οὐκ ἔστιν [c] ἀργόν.

156. Νεοχμός: Νέος, νεωστὶ κατασταθεὶς εἰς τὴν ἀρχὴν καὶ τυραννίδα. Τὸ δὲ ἑξῆς· ἀλλ' ἰδοὺ γὰρ Κρέων ὁ νεωστὶ καινὸς βασιλεὺς τῆς χώρας γενόμενος, τῇ προσφάτῳ παρὰ θεῶν αὐτῷ δεδομένῃ ἐπιτυχίᾳ τοῦτο κατορθώσας.

157. Συντυχίαις] Συναντήσεσιν.

[a] δικρατεῖς φησὶν om. R. Br.

[b] χορείας R. Br. Quae sequitur adnotatio, huic praeposita legitur in R. Br.

[c] ἀργὸν, ὅ ἐστι νέος, νεωστὶ κ. τ. λ. Br.

158. Ἐρέσσων] Ἐν ἑαυτῷ κινῶν καὶ μεριμνῶν· ἐκ μεταφορᾶς τῶν ἐρεσσόντων.

159. Σύγκλητον: Σύγκλητον λέσχην τὴν συγκληθεῖσαν ἐξαίφνης ὁμιλίαν· ἐπειδήπερ μεταπεμψάμενος τοὺς ἐντίμους, εἰς ἐκκλησίαν συνήγαγεν.

160. Προύθετο λέσχην] Ἀντὶ τοῦ, ὁμιλίαν συνεκρότησεν.

*Ibid.* Πέμψας] Μεταστειλάμενος.

162. Πολλῷ σάλῳ] Τροπικῶς, ὡς ἐπὶ νεώς.

164. Ὑμᾶς δ' ἐγὼ πομποῖσιν: Διὰ τῶν πομπῶν ὑμᾶς μετεκαλεσάμην χωρὶς ἁπάντων, ἐξαιρέτως πρὸς ὑμᾶς μόνον [a] ἀπεστάλη. Ὁ δὲ λόγος ἐστὶ μὲν καὶ σημαντικὸς τοῦ πράγματος, ἐστὶ δὲ καὶ τεχνικός· ἐγκωμιάζει γὰρ πρῶτον αὐτούς· ἀναγκαῖον δὲ τῷ παριόντι πρῶτον ἐπὶ πολιτικὴν ἀρχὴν, εὔνους ἑαυτῷ καταστῆσαι τοὺς ὑπηκόους· μετεπεμψάμην οὖν, φησὶν, ὑμᾶς, εἰδὼς ὅτι ἄνωθεν πρὸς Λάϊον καὶ Οἰδίποδα εὐνοϊκῶς εἴχετε· ὡς δήπου καὶ πρὸς αὐτὸν [b] τοιούτων φανησομένων. Δηλοῖ δὲ διὰ τούτων καὶ τὴν ἡλικίαν τῶν κατὰ τὸν χορὸν γερόντων, [c] καὶ ἔτι ἄνωθεν ἀπὸ Λαΐου ὄντες ἐν πολιτείᾳ.

*Ibid.* Τοῦτο μὲν: [d] Πρῶτον μέν.

*Ibid.* Τοῦτο δὲ: Δεύτερον.

174. Κατ' ἀγχιστεῖα: Οὐδετέρως· κατ' οἰκειότητα, [e] κατὰ συγγένειαν.

175. Οἱ μὲν Χίλωνι ἀνατιθέασι τὴν γνώμην, οἱ δὲ Βίαντι, ὅτι ἀρχὴ ἄνδρα δείκνυσιν.

179. Μὴ τῶν ἀρίστων] Δέον γὰρ [f] καὶ ἀρίστων βουλευμάτων ἅπτεσθαι, καὶ παρρησιάζεσθαι ἐν αὐτοῖς, μὴ ἀποδειλιῶντα.

181. Νῦν τε καὶ πάλαι] Καὶ πρὶν [g] ἄρξαι καὶ νῦν ὅτε ἐπὶ τὴν ἀρχὴν ἐλήλυθα.

187. Οὔτ' ἂν φίλον] Οὐκ ἂν [h] κτησαίμην φίλον τῆς ἐμῆς πόλεως δυσμενῆ· τοῦτο δὲ εἰς Πολυνείκην συντείνει.

*Ibid.* Χθονός] Πόλεως.

189. Ἥδ' ἐστὶν ἡ σῴζουσα] Ἡ πόλις δηλονότι.

[a] ἀπεστάλη] Nempe ἡ ἀγγελία. Ed. Rom. ἀπεσταλμένων. P. E.
[b] τούτων L. τοιούτων R.
[c] καὶ L. ὡς R. Mox ὄντων R. Br.
[d] Hanc et seq. gl. om. R. Br.
[e] κατὰ L. R. καὶ Br.
[f] καὶ om. R. Br.
[g] ἄρξαι] ἄρξω L. R. ἦρξα Br.
[h] κτησαίμην] κτήσαιμι L. R. Br.

190. Πλέοντες] Πορευόμενοι. [Εἰς τὸ αὐτό.] Ἀπὸ τῶν νεῶν [a] ἡ μεταφορά.

192. Ἀδελφά: Ἴσα, ὁμοῖα. Μέλλων δὲ περὶ ἀπεχθοῦς κηρύγματος λέγειν, μακροτέρῳ χρῆται τῷ λόγῳ· καὶ πρῶτον μὲν ἐγκωμιάζει τὸν Ἐτεοκλέα· ὕστερον δὲ ἐλέγχει τὸν Πολυνείκη, καὶ δείκνυσιν αὐτὸν μίσους ἄξιον, καὶ τῆς τοιαύτης τιμωρίας.

200. Φυγὰς κατελθών] [b] Ἀπὸ φυγῆς κατελθών.

202. Κοινοῦ: Ἀντὶ τοῦ, ἐμφυλίου· ἢ τοῦ ἀδελφικοῦ αἵματος· παροξυντικὰ δὲ λίαν ταῦτα τῶν ἀκουόντων.

206. Ἐδεστόν: Βρωτόν.

207. Ἐκ γ' ἐμοῦ] [c] γρ. ἐξ ἐμοῦ.

212. Λείπει τὸ μὴ θάπτειν [d] ἢ θάπτειν.

213. Ἀντὶ τοῦ, ἔξεστί σοι ὅπως θέλεις νομοθετεῖν.

215. Σκοποί: Φύλακες. Ἀντὶ τοῦ, μελέτω ὑμῖν ἡ φυλακὴ τῶν εἰρημένων.

216. Τοῦτο: Τὸ φορτίον· τὸ δὲ πρόθες, ἀντὶ τοῦ, πρόσθες· χρῶνται γὰρ τῇ πρὸ ἀντὶ τῆς πρός.

219. Λείπει ἡ διά. Διὰ τὸ μὴ ἐπιτρέπειν μηδὲ συγχωρεῖν τοῖς [e] ἀπειθοῦσιν· ἔλεγον δὲ καὶ τὴν πειθὼ, πίστιν.

221. Καὶ μὴν ὁ μίσθος γ' οὗτος] Ὁ θάνατος δηλονότι.

222. Ἄνδρας τὸ κέρδος: [f] Ἕνεκα κέρδους ἔνιοι καὶ τοῦ θανάτου καταπεφρονήκασιν· οἷον, ὑπ' ἐλπίδων τοῦ διαφυγεῖν, καὶ τοῖς ἐπικινδύνοις ἔργοις ἐπιχειροῦσιν· οὐ γὰρ προσεδόκα τινὰ τῶν οἰκείων τοῦτο ποιήσειν· θήλειαι γὰρ ἦσαν.

223. Ἐρῶ μὲν οὐχ ὅπως τάχους ὕπο: Οὐ τοῦτο λέγω, ὅτι μετὰ σπουδῆς ἀσθμαίνων πρὸς σὲ πεπόρευμαι· πολλάκις γὰρ ἐπιστὰς, ἐλογισάμην πότερον ἔλθω πρὸς σὲ, ἢ μή.

225. Ἐπιστάσεις] Ἐνστάσεις.

226. Ἀναστροφήν] Ὑποστροφήν.

228. Τάλας τί χωρεῖς] Ταῦτα ἡ ψυχή μου παρῄνει.

*Ibid.* Οἷ] Ἀντὶ τοῦ, οὗπερ.

[a] ἡ δὲ μεταφορὰ ἀπὸ τῶν νεῶν R. Br.
[b] Gl. om. R. Br.
[c] Gl. om. R. Br.
[d] ἢ θάπτειν om. R. Br.
[e] ἀπιθοῦσιν R.
[f] ἕνακα R. Mox καὶ τοῦ θανάτου ἔνιοι R. Br.

230. Οὐκ ἀλγυνῇ] Οὐ τιμωρηθήσῃ.

231. Βραδύς] γρ. ταχύς. Καίτοι ταχὺς ὤν, βραδέως ἤνυον τὴν ὁδόν.

234. Σοὶ κεἰ τὸ μηδὲν ἐξερῶ: Καὶ εἰ μηδέν σοι τερπνὸν λέξω. ἢ οὕτω· [a] καὶ εἰ τὸ μηδέν σοι μέλλω λέγειν· καὶ γὰρ ἐκ τοῦ εἰπεῖν καὶ σιγῆσαι οὐδὲν ἄλλο λείπεται, ἢ θανάτῳ με [b] κολασθῆναι. Ἀκόλουθον δὲ καὶ τὸ ἑξῆς διανόημα· ἐλπίζω γὰρ ὅτι οὐδὲν ἄλλο πάθοιμι, ἢ τὸ μόρσιμον, ὥστε οὐδέν μοι χεῖρον ἀποβήσεται ἐκ τοῦ εἰπεῖν.

235. Τῆς ἐλπίδος γὰρ ἔρχομαι: Ὑπὸ γὰρ τῆς ἐλπίδος νενικημένος ἐλήλυθα. [c] Ἢ οὕτως· ἀντειλημμένος τῆς ἐλπίδος ἐλήλυθα.

241. Κἀποφράγνυσαι κύκλῳ.] Κύκλῳ σαυτὸν ἀσφαλίζῃ, ἢ αὐτὴν τὴν πρᾶξιν.

244. Οὔκουν ἐρεῖς πότ᾽, εἶτ᾽ ἀπαλλαχθείς: Τοῦ ἀγγέλου περιπλέκοντος τὸν λόγον, καὶ εὐλαβουμένου σημῆναι τὸ πραχθὲν, ἐπιθυμῶν ὁ Κρέων ἀκοῦσαι, εὔελπιν αὐτὸν ποιεῖ, ὡς ὅτι οὐδὲν πείσεται· οὐ γὰρ ἀπειλεῖ κελεύων εἰπεῖν, ἀλλὰ φησὶν, ὅτι δηλώσας τὸ πρᾶγμα, ἄπιθι ἀθῷος· δίδωσιν οὖν καὶ ἀνδράσι βασιλικοῖς τὸ ψεύσασθαι διὰ τὸ χρήσιμον.

246. Διψίαν] Ξηράν.

247. Κόνιν παλύνας: Βαλὼν, ἢ λεπτύνας τὴν λεγομένην χυτὴν γῆν.

253. Δικέλλης] Πελέκεως, ἀξίνης.

*Ibid.* Στύφλος] Σκληρά.

251. [d] Ἀρρώξ: Μὴ ἐσχισμένη.

*Ibid.* Ἐπημαξευμένη] Ἐσκαμμένη.

252. Ἀλλ᾽ ἄσημος οὑργάτης τις ἦν: Ὁ τοῦτο ἐργασάμενος, ἄγνωστος ἦν· ἐκπλῆξαι δὲ αὐτὸν βούλεται, ὡς ὅτι ἔκ τινος τῶν κρειττόνων γέγονεν.

255. Ἠφάνιστο] [e] Ἀφανὴς ἦν.

*Ibid.* Τυμβήρης μὲν οὔ· λεπτὴ δ᾽ ἄγος: Οὐ κατὰ βάθος [f] τεθαμμένος, ἀλλ᾽ ὡς [g] ἔχει ἐπιβεβλημένη ἦν ἡ ἄμμος. Τοῦτο δὲ ἐποίησεν ὁ θάψας νόμου χάριν· οἱ γὰρ νεκρὸν ὁρῶντες ἄταφον, καὶ μὴ

[a] εἰ καὶ R. Br.
[b] κολάζεσθαι R. Br.
[c] Sequentia om. Br.
[d] ἀρώξ L. R.
[e] Gl. om. R. Br.
[f] ἦν τεθαμένος R. ἦν τεθαμμένος Br.
[g] ἔτυχε Br.

[a] ἐναμησάμενοι κόνιν, ἐναγεῖς εἶναι ἐδόκουν· ὥσπερ οὖν τὸ τῆς ἀσεβείας τις ἔγκλημα φεύγων, λεπτὴν κόνιν ἐπιχέει τοῖς νεκροῖς, οὕτως [b] οὖν καὶ ἐπάνω τοῦ Πολυνείκους· καὶ τοῦτο δὲ ἡ Ἀντιγόνη καθαρσίων ἕνεκα πεποίηται· λόγος δὲ, ὅτι Βουζύγης Ἀθήνησι κατηράσατο τοῖς περιορῶσιν ἄταφον σῶμα.

260. Φύλαξ ἐλέγχων φύλακα: Ἐπεὶ ἐκ διαδοχῆς αἱ φυλακαὶ γίνονται, ἠποροῦμεν εἰς τὴν τίνος φυλακὴν ἐγεγόνει.

262. Εἷς γάρ τις ἦν ἕκαστος: Ἕκαστος μὲν γὰρ τὸν πλησίον ἐδόκει πεπραχέναι· ἀκριβῶς δὲ αὐτὸν κατελέγχειν οὐκ ἠδύνατο.

264. Ἦμεν δ' ἕτοιμοι καὶ μύδρους: [c] Σίδηρον πεπυρακτωμένον. Εἰώθασι γὰρ οἱ ὀμνύοντες ταῦτα ποιεῖν. Μύδρους γὰρ αἴροντες ἐπαρῶνται μένειν τὰ ὅρκια, ἕως αὐτοὶ φανῶσι, καὶ ῥίπτουσιν αὐτοὺς εἰς θάλασσαν, ὅπως [d] οὖν αἰώνια τὰ ὅρκια ὑπάρχῃ· ὡς καὶ Καλλίμαχος·

Φωκαέων μέχρις κε μένῃ μέγας [e] εἰν ἁλὶ μύδρος.

Καὶ τὸ πῦρ δὲ διαπορευόμενοι ὤμνυον. Ἄλλως. Ἕτοιμοι ἦμεν πάσας βασάνους ὑπομένειν πρὸς ἔλεγχον· εἰώθασι δὲ οἱ ὀμνύοντες καὶ πίστεις διδόντες μύδρους βαστάζειν καὶ πῦρ ὑπερβαίνειν· τοὺς γὰρ μὴ ἐνόχους τῷ ἁμαρτήματι ᾤοντο καὶ ἐν τούτοις μὴ ἀλγεῖν. [Εἰς τὸ αὐτό.] μύδρος, πεπυρακτωμένος σίδηρος. [f] Τοῦτο μέχρι τῆς σήμερον οἱ Ρωμαῖοι ποιοῦσιν Ἑλληνικῶς, πλανώμενοι καὶ ἐν ἄλλοις πλείστοις.

266. Τῳ] [g] Τινί.

268. Τὸ ἑξῆς· ὅτε δὲ ἐρευνῶσιν ἡμῖν, οὐδὲν πλέον τέλος ἐφαίνετο.

275. Πάλος καθαιρεῖ: Ἀντὶ τοῦ, καταλαμβάνει, ὥστε ἀπαγγεῖλαί σοι. Ἐπειδὴ εἰς τὰ ἀγαθὰ κλήρους βάλλουσιν, ἐν ἤθει τοῦτο φησί· καὶ εὔκληροι γάρ τινες λέγονται.

279. Ἡ ξύννοια βουλεύει] [h] Ἡ σύννοιά μοι βούλεται, καὶ οἴεται, μὴ καὶ θεήλατόν ἐστι τὸ πρᾶγμα.

280. Μεστῶσαι] Πληρῶσαι.

281. Ἐναντίον γὰρ ἡ ἄνοια τῷ γήρᾳ.

[a] ἐπαμησάμενοι Br.
[b] ἦν R. Br.
[c] σίδηρον πεπυρακτωμένον om. Br.
[d] ἂν Br.
[e] MS. εἰνάλιος μύδρος. Hoc vitium qui correxit editor Romanus, mendose Φωκείων dedit, quod in Φωκαίων mutandum suspicatur Ernestius Fr. Bentl. CCIX. P. E.
[f] Verba τοῦτο—πλείστοις absunt ab ed. Rom. consulto scil. ab editore omissa, ne Romanam ecclesiam tangere videretur. P. E.
[g] Gl. om. R. Br.
[h] πάλαι ἡ σύννοιά μοι βουλεύεται R. Br.

285. Ἀμφικίονας] Τοὺς ἀμφοτέρωθεν ὑπὸ κιόνων βασταζομένους ναούς.

290. Ἐρρόθουν] [a] Ὕβριζον. [Εἰς τὸ αὐτό.] Ἠρέμα ψιθυρίζοντες ὕβριζόν με.

291. Κρυφῇ κάρα: Οἷον, μὴ πειθόμενοι τοῖς ἐμοῖς κηρύγμασι, μόνον συνήνουν μοι, οὐχ οὕτω διακείμενοι.

292. Λόφον δικαίως εἶχον: Ἡ μεταφορὰ ἀπὸ τῶν ὑποζυγίων τῶν μὴ βουλομένων ὑπὸ τὸν ζυγὸν εἶναι· ταῦτα, φησὶν, ὑπ' ἐκείνων πράττεται τῶν [b] μὴ βουλομένων λάθρα σαλεῦσαι τὴν ἡμετέραν ἀρχήν.

293. Ἐκ τῶνδε τούτους ἐξεπίσταμαι: Ἀπὸ τούτων, φησὶ, τῶν δυσαρεστούντων μου τοῖς κηρύγμασιν, οἱ φύλακες μισθὸν λαβόντες, ἔθαψαν τὸν νεκρόν.

294. Παρηγμένους] Ἠπατημένους.

295. [c] Σημείωσαι περὶ φιλαργυρίας.

302. Μισθαρνοῦντες] μισθὸν λαβόντες.

*Ibid.* Ἤνυσαν] Ἀντὶ τοῦ, ἐτιμωρήθησαν.

303. Ἀντὶ τοῦ, φανεροὶ ἔσονται καὶ τιμωρηθήσονται.

304. Ὅ ἐστιν, εἰ τιμῶ καὶ σέβω τὸν Δία, καὶ μὴ ἐπιορκῶ αὐτόν.

308. Οὐχ ὑμῖν Ἅιδης μοῦνος ἀρκέσει: Οὐκ εὐθὺς ὑμᾶς τῷ Ἅιδῃ [d] παραδώσω, ἀλλὰ τιμωρίαις κρεμασταῖς παραδοὺς, βαρύτερον τὸ ζῆν τοῦ θανεῖν ὑμῖν ἀπεργάσομαι· παρὰ τὸ Ὁμηρικόν·

[e] οὔ οἱ ἔπειτα
ἄρκιον ἐσσεῖται φυγέειν κύνας ἠδ' οἰωνούς.

309. Τήνδε δηλώσηθ' ὕβριν: Ὁμολογήσητε ταύτην τὴν καταφρόνησιν.

310. Ἵν' εἰδότες τὸ κέρδος: Ἵνα μαθόντες ὅθεν δεῖ κερδαίνειν, τὸ λοιπὸν ἐκεῖνα ἁρπάζητε.

315. Ἐπιτρέψεις καὶ ἐμοὶ εἰπεῖν, ἢ ἀπέλθω;

316. Οὐκ [f] εἶσθα] Ἄπιθι· καὶ [g] νῦν γὰρ λέγων ἀνιαρός μοι εἶ.

*Ibid.* Δάκνῃ] [h] Δάκνει σε τὸ πραχθέν.

318. Ῥυθμίζεις] Σχηματίζεις, διατυποῖς.

[a] Ὕβριζον om. R. Br.
[b] μὴ om. Br.
[c] Haec nota deest R. Br.
[d] παραδώσει L.
[e] Il. β'. 392.
[f] οὐκ εἶσθα] Sic legisse grammaticum constat ex ejus interpretatione. Mox MS. ἀνιαρῶς supra scripto ό. P E.
[g] γὰρ νῦν R. γὰρ om. Br.
[h] Gl. om. R. Br.

319. Ὁ δρῶν σ' ἀνιᾷ: Συνετῶς ὑπὲρ τῶν ἀγγελθέντων [a] ἀπελογίσατο, ὡς οὐκ ὢν αἴτιος.

320. Λάλημα δῆλον: Λάλημα τὸ περίτριμμα τῆς ἀγορᾶς, οἷον, πανοῦργος.

321. Ἀντὶ τοῦ, οὐδέποτε ἐφλυάρησα.

323. Ἦ δεινὸν ᾧ δοκεῖ γε: Δεινὸν τοῦτό ἐστι, τὸ ψευδῆ ὑπονοεῖν· οὐκ ἔστι γὰρ τὴν δόξαν ἐκείνων μεταστρέψαι.

324. Κόμψευε νῦν τὴν δόξαν: Σεμνολόγει· τὴν δόκησιν περιλάλει· κομψοὺς γὰρ ἔλεγον, οὓς νῦν ἡμεῖς [b] περπέρους καὶ πολυλάλους φαμέν.

*Ibid.* Εἰ δὲ ταῦτα μή] Τὸ ἑξῆς· εἰ δὲ μὴ φανεῖτέ μοι τοὺς ταῦτα δρῶντας.

325. Τὰ δεινὰ κέρδη: γρ. τὰ δειλά· ἀντὶ τοῦ [c] κακά· ἀπὸ τοῦ τοὺς δειλοὺς εἶναι ἀχρείους.

328. Τοῦτο γὰρ τύχη κρινεῖ: Ἀπιὼν ὁ θεράπων καθ' ἑαυτὸν ταῦτα φησίν· οὐ γὰρ δυνατὸν [d] ἐπὶ τοῦ Κρέοντος ταῦτα λέγεσθαι, ὡς καὶ ἐν τοῖς κωμικοῖς.

332. Πολλὰ τὰ δεινά: Ἐν σχήματι εἶπεν, ἀντὶ τοῦ, πολλῶν ὄντων τῶν δεινῶν, οὐδέν ἐστιν ἀνθρώπου δεινότερον.

334. Τοῦτο] Τὸ γένος τῶν ἀνθρώπων.

336. Χωρεῖ περιβρυχίοισι: Τοῖς ἠχώδεσιν, ἢ τοῖς καλύπτουσι τὴν ναῦν· τοῖς γὰρ ἐν τοιαύτῃ ὥρᾳ τοῦ ἔτους πλέουσι μόνον οὐχὶ [e] τὰ κύματα φέρεται ἡ ναῦς· ἢ τοῖς κυματίζουσι τὴν ναῦν· τὸ μὲν γὰρ καθόλου κεκρυμμένον ὑπὸ ὕδατος, ὑποβρύχιόν ἐστιν. Ὅμηρος·

[g] Τὸν δ' ἄρ' ὑπόβρυχα θῆκε πολὺν χρόνον.

Τὸ δὲ ἕτερον, περιβρύχιον καλεῖται.

*Ibid.* Περιβρυχίοισιν] [f] Ἠχώδεσι.

338. Θεῶν τε τὰν ὑπερτάταν: Τοῦτο ὡς ἐν πανουργίᾳ οὐ δεῖ ἀκούειν, ἀλλὰ διὰ τὴν ἐπίνοιαν αὐτῶν· εἰ γάρ τις καταμάθοι πῶς [h] ἐπενοήσαντο ἀροτριᾶν ἢ σπείρειν, θαυμάσειεν.

340. Ἀποτρύεται: Γεωπονεῖ, ἢ ἀποσχίζει τὴν γῆν· καθότι ἐν τῷ ἀροτριᾶν σχίζει καὶ δαμάζει τὴν γῆν.

[a] ἀπελογήσατο L.
[b] περπαίρους L. R.
[c] τὰ κακὰ R. Br.
[d] ὑπὸ τοῦ Κρέοντος R. πρὸς τὸν Κρέοντα Br.
[e] διὰ τὰ κύματα Br.
[f] Od. ε'. 319.
[g] Gl. om. R. Br.
[h] ἐπενόησαν τὸ R. Br. Mox θαυμάσειεν ἂν Br.

340. Παλλομένων] γρ. ἰλλομένων.

*Ibid.* Παλλομένων] Καὶ περικυκλούντων τῶν ἀρότρων ἔτος ἐξ ἔτους.

341. Ἱππείῳ γένει πολεύων] Ταῖς ἡμιόνοις.

[a] Αἵ γάρ τε βοῶν προφερέστεραί εἰσιν
ἑλκέμεναι νειοῖο βαθείης πηκτὸν ἄροτρον.

Τινὲς δὲ καὶ ἵπποις χρῶνται εἰς ἀροτριασμόν.

344. Ἀμφιβαλὼν ἄγει] Περιβαλὼν τοῖς δικτύοις ἀγρεύει.

346. Πόντου τ' ἐναλίαν φύσιν] Τοὺς ἰχθύας.

347. Σπείραισι δικτυοκλώστοις] Τοῖς σχοινίοις, τοῖς εἰς δίκτυον κεκλωσμένοις, [b] ἢ συγκλείουσι τὰ δίκτυα· ἀπὸ κοινοῦ δὲ τὸ ἀμφιβαλὼν ἄγει.

348. Περιφραδής] Πάντα εἰδώς.

349. Κρατεῖ δὲ μηχαναῖς: Καθολικὸν τοῦτο φησὶν, ὅτι ἐν ζώοις ὁ ἄνθρωπός ἐστι πολυμήχανος καὶ ἔντεχνος· καὶ [c] Θεόκριτος·

σοφόν τοι χρῆμ' ἄνθρωπος.

Ἐπεὶ δὲ ἀνωτέρω εἶπεν, ὅτι περιγίνεται πάντων τῶν ζώων ὁ ἄνθρωπος, ἐνταῦθα τὸ μηχαναῖς προσέθηκεν ἐπὶ τῶν [d] τιθασευομένων· οὐ γὰρ μόνον κρατῆσαι δυνατὸς, ἀλλὰ καὶ τιθασσεῦσαι.

351. Ἀμφίλοφον ζυγόν] Ἀντὶ τοῦ, περιβαλὼν αὐτῷ ζυγὸν περὶ τὸν λόφον, ὑπάγει. Ἢ ἀμφίλοφον, τὸν ἀμφιτράχηλον, τὸν ἀμφοτέρωθεν συνέχοντα τοὺς λόφους τῶν ὑποζυγίων. Καὶ λείπει ἡ ὑπό· ὑπὸ ζυγὸν ἄγει. [Εἰς τὸ αὐτό.] [e] Λείπει ἡ ὑπό.

352. Οὔρειόν τ' ἀδμῆτα ταῦρον] Ἀπὸ κοινοῦ τὸ ὑπὸ ζυγὸν [f] ἄξεται.

354. Φθέγμα] Τὴν ἀνθρωπίνην διάλεξιν.

355. Καὶ ἀστυνόμους ὀργάς: Τὴν περὶ τῶν μετεώρων φιλοσοφίαν. Τὴν τῶν νόμων ἐμπειρίαν, δι' ὧν τὰ ἄστεα νέμονται, ὅ ἐστι, διοικοῦνται.

357. Δυσαύλων] Δυσχερῆ τὸν ἐπαυλισμὸν ποιούντων.

*Ibid.* Αἴθρια] Ψυχρά.

358. Δύσομβρα φεύγειν βέλη] Εὐαίσθητός ἐστι καὶ οἰκοδομημάτων.

[a] Hom. Il. κ'. 352. Infra καὶ ante ἵπποις om. R. Br.

[b] οἷ R. οἷς Br.

[c] Idyll. XV. 83. In versu Theocriti σοφόν τι R. Br. Praeterea ὤνθρωπος Br.

[d] MS. τιθασευομένων, sed mox τιθασσεῦσαι. Illa Atticorum, haec recentiorum scriptura est. P. E.

[e] Gl. om. R. Br. Sequentem etiam.

[f] MS. ἔξεται supra scripto ἄ.

358. Παντόπορος: Εἰς πάντα μηχανὰς ἐξευρίσκων, καὶ ἐπ' οὐδὲν ἄπορος τῶν μελλόντων, θανάτου μόνον οὐχ εὗρεν ἴαμα.

363. Νόσων δ' ἀμηχάνων: Ὡς ἰατρικὴν, δίαιταν, γυμναστικὴν, καὶ τὰ ὅμοια· ταῦτα δὲ οὐκ ἂν ἕτερον ζῶον μηχανήσαιτο.

364. Ξυμπέφρασται] Ἐπινενόηκεν καὶ γινώσκει.

365. Σοφόν τι τὸ μηχανόεν: Τὸ μηχανόεν τῆς τέχνης σοφὸν ἔχων· ὅ ἐστι, τὸ [a] μηχανικὸν τῆς ἐπιτεχνήσεως σοφὸν ἔχων, ὡς οὐκ ἄν τις [b] προσδοκήσειεν, οὐ μίαν ὁδὸν βαδίζει, τὴν ἐπὶ τὰ ἀμείνω, ἀλλὰ ποτὲ μὲν ἐπὶ τὰ ἀγαθὰ φέρεται, ποτὲ δὲ ἐπὶ τὰ χείρω. [Εἰς τὸ αὐτό.] [c] Τὸ μηχανόεν σοφόν τι καὶ παρὰ προσδοκίαν ἔχων, ὡς οὐκ ἄν τις προσδοκήσειεν.

368. Νόμους παρείρων χθονός: Ὁ πληρῶν τοὺς νόμους καὶ τὴν δικαιοσύνην, ὑψίπολις γίνεται, ὅ ἐστιν, ἐν τῇ πόλει ὑψηλός.

370. Ἄπολις ὅτῳ τὸ μὴ καλόν: Ἄπολις δὲ ἐκεῖνος καὶ ταπεινὸς τῇ πολιτείᾳ, ᾧ τινι μὴ τὸ καλὸν σύνεστιν, καὶ ὅστις οὐ μετὰ τόλμης τὸ καλὸν ἐκπληροῖ.

372. Ξύνεστι] [d] Ἀντὶ τοῦ σύνεστιν.

375. Ὃς τάδ' ἔρδει] Ὃς τοιοῦτον ἐπιτετήδευκε βίον.

376. Ἐς δαιμόνιον τέρας] Ὁρῶντες ἑλκομένην τὴν Ἀντιγόνην, ἐκπλήττονται ὅτι γυνὴ ἦν ἡ ὑπερβᾶσα τὸ κήρυγμα.

*Ibid.* Ἀμφινοῶ] Περισσὴ ἡ ἀμφί.

381. Ἀπιστοῦσαν] Μὴ πειθαρχοῦσαν.

387. Προύβην] [e] Ἐξέβην.

388. Ἄναξ βροτοῖσιν: Ἀπώμοτον, ἀντὶ τοῦ, ἀπηγορευμένον καὶ ἀπροσδόκητον· ἀντὶ τοῦ, οὐκ ὀφείλει τις ἀπομόσασθαι περί τινος, ὅτι οὐκ ἂν αὐτὸ [f] πράξειεν· ἡ γὰρ πρώτη δόκησις ἐκκρούεται [g] ὑπὸ τῆς ἐπιγινομένης δόξης δευτέρας. Τοῦτο δὲ φησὶν, ὅτι, τοῦ Κρέοντος ἀπειλήσαντος, τότε ὤμοσεν μηκέτι ἐμφανὴς ἔσεσθαι· νῦν δὲ εὑρὼν τὴν Ἀντιγόνην, πάλιν ἐλήλυθεν.

389. Ψεύδει γὰρ ἡ 'πίνοια: Ψευδῆ ποιεῖ· ἡ γὰρ ἐπίνοια, ὅ ἐστιν ἡ ἐπιοῦσα γνώμη, τὴν ἀπελπίσασαν γνώμην ψευδῆ ποιεῖ.

[a] μηχανικὸν R. L. μηχανόεν Br.
[b] προσδοκήσειαν L.
[c] Gl. om. R. Br.
[d] Gl. om. R. Br.
[e] MS. ἐξέβην in textu, προύβην supra scriptum pro glossa habet, eodem errore quo ἐγὼ et κυρῶ Oed. C. 726. P. E. ἐξέβην] προύβην R.
[f] πράξειαν L.
[g] ἀπὸ L. R.

392. Ἀλλ' ἡ γὰρ ἐκτὸς καὶ [a] παρ' [ἐλπίδας]: Ἡ ἀπροσδόκητος χαρὰ οὐκ ἔοικεν εἰς τὸ μέγεθος τῇ ἄλλῃ ἡδονῇ· ὅ ἐστι, πᾶσαν ἡδονὴν νικᾷ τὸ μέγεθος τῆς παρ' [b] ἐλπίδας χαρᾶς.

394. Καίπερ ὢν ἀπώμοτος] Καίπερ ὀμωμοκὼς μὴ ἐλθεῖν.

396. Κλῆρος] Ἄνω γὰρ εἶπεν ὅτι [c] κληρώσας ἦλθεν.

397. Θοὔρμαιον] [d] Τὸ κέρδος.

399. Ἐλεύθερος] Λείπει ὤν.

400. Τῶνδ' ἀπηλλάχθαι κακῶν] Ἀντὶ τοῦ, μὴ ὑποπτεύεσθαι.

404. Ὃν σὺ τὸν νεκρὸν ἀπεῖπας: Τὸ ἑξῆς· τὸν νεκρὸν, ὃν σὺ ἀπεῖπας θάπτειν· οὕτω δὲ χρῶνται οἱ παλαιοὶ, ὥστε δύο ἄρθρα, προτακτικόν τε καὶ ὑποτακτικὸν, κατὰ τοῦ αὐτοῦ ὀνόματος παραλαμβάνειν. Κρατῖνος·

ὅνπερ Φιλοκλέης τὸν λόγον διέφθορεν.

406. Καὶ πῶς ὁρᾶται: Ποίῳ τρόπῳ αὐτὴν συνελάβεσθε καὶ κατειλήφατε;

409. Σήραντες] Ἀποψήξαντες.

410. Μυδῶν τε σῶμα γυμνώσαντες: Τὸν ἀπὸ σήψεως ἰχῶρα ἀποστάζον, ὡς τὸ,

[dd] δάκρυσι μυδαλέον.

Ἄλλως. [e] Μυδῶν, ἰχῶρα ἀποπέμπον· τουτέστι, διαλελυμένον καὶ δίυγρον.

411. Ὑπήνεμοι: Ἀντὶ τοῦ, ὑπὸ τὸν ἄνεμον, οὐκ ἐναντίον τοῦ ἀνέμου, ἀλλ' ἐστραμμένοι ἀπὸ τοῦ νεκροῦ, ὅπως μὴ φέρῃ πρὸς ἡμᾶς τὴν ὀσμήν.

413. Ἐπιρρόθοις] Λοιδόροις, ὑβριστικοῖς.

418. Τύφως λέγεται ὁ καταιγιδώδης ἄνεμος. Ἡσίοδος·

[f] ἐκ δὲ Τυφωέος ἔστ' ἀνέμων μένος ὑγρὸν ἀέντων.

Σκηπτὸς [g] δὲ λέγεται πᾶν πνεῦμα θυελλῶδες, ὅταν συνερείδῃ τῇ γῇ, καὶ πάλιν ἄνω αἴρῃ· τὸ δὲ [h] τοιοῦτο καὶ στρόβιλόν τινες καλοῦσι, παρὰ τὸ στροβεῖν.

*Ibid.* Οὐράνιον ἄχος: Τὸ λυποῦν τὸν αἰθέρα, καθὸ ταράσσει [i] αὐτόν. [Εἰς τὸ αὐτό.] Ἀντὶ τοῦ κόνιν. [Εἰς τὸ αὐτό.] Τὸν τυφώνιον ἄνεμον.

[a] παρ ms.
[b] ἐλπιδα R. Br.
[c] κληρωτὸς R. κλῆρος Br.
[d] τὸ ἑρμαῖον τὸ κ. R. Br.
[dd] Electr. 167. δάκρυσι μυδαλέα.
[e] Haec in principio praecedentis gl. apud R. Br.
[f] Theog. 868.
[g] δὲ om. R. Br.
[h] τοιοῦτον R. Br.
[i] αὐτὸν. τὴν κόνιν τὸν τυφώνιον ἄνεμον R.

421. Εἴχομεν] Ἀντὶ τοῦ, ἀντείχομεν πρὸς τὴν κόνιν.

423. Τὸ φιλόστοργον τῆς κόρης διὰ τούτων ὁρᾶται· θάψασα γὰρ οὐκ ἠμέλησε δακρύων καὶ θρηνημάτων.

426. Ψιλόν] Γυμνὸν τῆς κόνεως.

429. [a] Διψὰν ἐκφέρει] Διψίαν φέρει.

*Ibid.* Διψὰν] Ξηράν.

430. Πρόχου] Προχόου.

431. Στέφει] Κοσμεῖ, κύκλῳ περιῤῥαίνει.

432. Ἱέμεσθα] Ἐπορευόμεθα, [b] ὡρμῶμεν.

433. Οὐδὲν ἐκπεπληγμένην] [c] Ἀντὶ τοῦ οὐ περίφοβον.

436. Ὁμολογούσης αὐτῆς ἡδέως καὶ ἀλγεινῶς ἤκουον.

438. Φίλους φησὶ, διὰ τὸ εἶναι τὴν Ἀντιγόνην τοῦ βασιλικοῦ γένους.

439. [d] Οὐδὲν γὰρ προκρίνω τῆς ἐμῆς σωτηρίας.

444. Σὺ μέν] Πρὸς τὸν ἄγγελον φησὶν ὁ Κρέων.

*Ibid.* [e] Ἧι] Ὅπου.

450. Ἡ δίκη, φησὶ, καὶ ὁ Ζεὺς ὥρισαν ὥστε θάπτεσθαι τοὺς νεκρούς· εἰ οὖν ἦσαν αὐτοὶ τοῦτο ἀποκηρύξαντες καὶ κελεύσαντες μὴ θάπτεσθαι τὸν νεκρὸν, ἐπείσθην ἂν αὐτοῖς. Θέλει δὲ εἰπεῖν, ὅτι ἀπὸ τῆς φύσεως δίκαιον ἥγημαι θάπτειν τὸν ἀδελφόν.

454. Ὥστ' ἄγραπτα] Τινὲς φασὶ τὰ γραπτά. Οὐ γὰρ ἄγραφοι τῶν θεῶν οἱ νόμοι.

456. Οὐ γάρ τι σήμερον, φησὶ, ταῦτα ἐγένετο, ἀλλ' ἔστιν ἀΐδια, καὶ ἀρχὴν αὐτῶν οὐδεὶς οἶδεν.

458. Τούτων ἐγώ] Ἀντὶ τοῦ, ὑπὲρ τούτων ἐγώ.

461. Προυκήρυξας] Τὸν [f] θάνατον.

*Ibid.* Τοῦ χρόνου] Τοῦ εἱμαρμένου δηλονότι.

466. Παρ' οὐδὲν ἄλγος] Οὐδεμία λύπη.

467. Ἠνεσχόμην, ὑπερεῖδον.

469. Σοὶ δ' εἰ δοκῶ νῦν μῶρα: Εἰ δοκῶ παρὰ σοὶ εὐήθη πράττειν,

Quae hic omissa, sic infra exhibet Br. θείαν νόσον] τὸν σκηπτὸν, τὸν τυφώνιον ἄνεμον, τὴν κόνιν.

[a] διψίαν] ξηρὰν. γράφεται διψίαν φέρει R. et fere Br.

[b] ὁρμῶμεν L.

[c] οὐ περίφοβον γενομένην R. Br.

[d] ἀντὶ τοῦ ἀλλ' οὐδὲν γὰρ R. Br.

[e] ᾗ θέλεις] ὅπου (ὅποι Br.) καὶ θέλεις R. Br.

[f] θάνατον δηλάδη R. Br.

οὐκ ἔστι περὶ ἐμὲ ἡ εὐήθεια, ἀλλὰ περὶ σέ· ὥστε δεῖ μὴ τὴν ἰδίαν πλάνην τοῖς πλησίον ἐπιφέρειν.

471. Δηλοῖ τὸ γέννημ' ὠμόν: Τὸ σκληρὸν αὐτῆς τοῦ φρονήματος ὁμολογεῖ πατέρα τὸν Οἰδίποδα.

475. Περισκελῆ] Περιεσκληκότα, [a] ἢ κεκαμμένα.

484. Ἦ νῦν] Ὄντως δή.

485. Εἰ ταῦτ' ἀνατί: Εἰ ταῦτα τὰ τολμήματα, καὶ ἡ νίκη αὕτη χωρὶς βλάβης καὶ τιμωρίας.

486. Ἀλλ' εἴτ' ἀδελφῆς εἴθ' [b] ὁμαιμονεστέρας: Εἴτε ἐξ ἀδελφῆς ἐμῆς, εἴτε οἰκειοτέρας καὶ συγγενικωτέρας πάντων τῶν οἰκείων, (τοῦτο γὰρ δηλοῖ τὸ τοῦ παντὸς ἡμῖν Ζηνὸς ἑρκίου κυρεῖ) ἀθῷος οὐκ ἄπεισιν.

490. Τοῦδε βουλεῦσαι τάφου] Λείπει ἡ περί.

492. Ἐπήβολον φρενῶν: Κυρίαν τῶν φρενῶν, καὶ ἑστῶσαν ἐν αὑτῇ.

493. Φιλεῖ δ' ὁ θυμος: Εἴωθεν ἡ ψυχὴ τῶν λάθρᾳ τι κακὸν τεχνωμένων προαλίσκεσθαι, καὶ ἑαυτὴν [c] ποιεῖν καταφανῆ πρὶν φωραθῆναι. Ἄλλως. Τῶν λάθρᾳ τι βουλομένων δρᾶν ὁ θυμὸς προκλέπτεται, καὶ περὶ τὴν κατάστασιν τοῦ σώματος [d] ἔνδηλόν τι γίνεται τὸ κατηγοροῦν τῆς πράξεως αὐτῶν.

495. Μισῶ γε μέντοι: Μισῶ τὸν ἁμαρτάνοντα, καὶ ἐπικοσμοῦντα τὴν ἁμαρτίαν αὐτοῦ. Τοῦτο δὲ φησὶν, ὅτι ἁλοῦσα ἡ Ἀντιγόνη ἔφασκε τῷ θείῳ νόμῳ ἐπαρκεῖν.

499. Τῶν σῶν λόγων] [e] Διὰ τὸ κήρυγμα τοῦ Πολυνείκους αἰνίττεται.

503. Κατέσχον] Ἀντὶ τοῦ, ἔσχον.

506. Ἀλλ' ἡ τυραννὶς πολλά: Οὐκ ἐν ἐπαίνῳ τοῦτο τῆς τυραννίδος· ἀλλ' ἔχει τι εἰρωνείας ὁ λόγος.

508. Σὺ τοῦτο μούνη: Σοὶ μόνῃ τοῦτο δοκεῖ δίκαιον εἶναι, ταφῆναι τὸν Πολυνείκη.

509. Σοὶ δ' ὑπίλλουσι στόμα: Γιγνώσκουσι καὶ οὗτοι· διὰ δὲ σὲ

[a] οὐ Br.

[b] MS. ὁμαιμ, quod pro ὁμαιμονεστέρας accipiendum esse ostendunt verba οἰκειοτέρας καὶ συγγενικωτέρας. Ed. Rom. ὁμαιμονεστέρα et οἰκειοτέρα καὶ συγγενικωτέρα. P. E.

[c] καταφανῆ ποιεῖν R. Br.

[d] εὔδηλον R. Br.

[e] διὰ om. R. Br. Tum περὶ τοῦ Πολυνείκους Br.

τὸ στόμα συστέλλουσι καὶ σιωπῶσιν, ἢ στρέφουσι τοὺς διὰ τοῦ στόματος λόγους.

510. Τῶνδε χωρὶς εἰ φρονεῖς] Ἀντὶ τοῦ, παρὰ τούτους φρονοῦσα.

514. Τιμᾷς] Ἀντὶ τοῦ, νέμεις.

517. Οὐ γάρ τι δοῦλος] [a] Ἀπὸ κοινοῦ τὸ ὤλετο.

*Ibid.* Οὐ γάρ τι δοῦλος ἀλλ' ἀδελφός: Οὐ τοιοῦτός ἐστιν ὁ ἀπολόμενος, ὥστε εἰς χάριν τοῦ Ἐτεοκλέους ἐᾶσαι αὐτὸν ἄταφον· οὐ γὰρ τοσοῦτον αὐτοῦ ὑπερβέβηκεν· οὐ δεῖ οὖν σκοπεῖν, εἴ τι ἐκείνῳ ἀποθύμιον [b] ποιῶ, ἀλλ' εἰ κοινῆς τῆς φύσεως ἔλαχον.

519. Τοὺς νόμους τούτους] [c] Τὸ θάπτειν. [Εἰς τὸ αὐτό.] γρ. τοὺς νόμους ἴσους.

521. Τίς οἶδεν εἰ κάτω 'στίν: γρ. κάτωθεν, ἀντὶ τοῦ, κάτω· ὡς τὸ,

[d] Αἴας ἐγγύθεν ἦλθεν·

ἀντὶ τοῦ, ἐγγύς. Ὁ δὲ νοῦς· τίς οἶδεν εἰ καθ' Ἅιδου ἀλλήλοις [e] διαλλάσσοντες, ἡγοῦνται εὐσεβῆ τάδε;

523. Οὔ τοι συνέχθειν ἀλλὰ συμφιλεῖν: Τὰς φιλίας, φησὶ, κοινὰς ποιοῦμαι, ἀλλ' οὐ τὰς ἔχθρας. Ἐν δὲ [f] τῷ ὑπομνήματι οὕτως· εἰ καὶ ἐχθαίρουσιν ἀλλήλους οἱ ἀδελφοὶ, ἐγὼ οὐ τοιαύτη εἰμὶ τὴν φύσιν, ὥστε σὺν ἑτέρῳ αὐτῶν ἐχθαίρειν τὸν ἕτερον, ἀλλὰ συμφιλεῖν τοῖς φιλοῦσι.

526. Εἰκὸς μὲν τὴν Ἰσμήνην, ὑπὲρ τῆς ἀδελφῆς ἀγωνιῶσαν, στυγνάζειν· οὐδὲν δὲ ἧττον καὶ διότι ὑπωπτεύθη.

527. Φιλάδελφα] [g] Φιλαδέλφως.

528. Νεφέλη δ' ὀφρύων ὕπερ: Ἐὰν ᾖ δοτικὴ, τῇ νεφέλῃ, ἔσται ὁ λόγος, τῇ νεφέλῃ, τουτέστι τῇ στυγνότητι, τῇ ὑπεράνω τῶν ὀφρύων, τὸ αἱματόεν ῥέθος αἰσχύνει ἡ Ἰσμήνη, τέγγουσα εὐῶπα παρειάν· ἐὰν δὲ κατ' ὀρθὴν ᾖ, ἡ νεφέλη, ἔσται μεταξὺ, ἡ νεφέλη δ' ὀφρύων ὕπερ, ἵνα τὸ ἑξῆς τοῖς πρώτοις συνάπτηται· καὶ μὴν πρὸ πυλῶν ἥδ' Ἰσμήνη, φιλάδελφα δάκρυα λειβομένη, αἱματόεν ῥέθος αἰσχύνει, τέγγουσα εὐῶπα παρειὰν, νεφέλη δ' ὀφρύων ὕπερ.

*Ibid.* Αἱματόεν ῥέθος αἰσχύνει: Τὸ ἐπὶ τῷ προσώπῳ ἐρύθημα.

[a] Gl. om. R. Br.

[b] ποιῶν L.

[c] γράφεται ἴσους. λέγει δὲ τὸ θάπτειν R. Br.

[d] Il. ή. 219.

[e] διαλλαχθέντες R. Br.

[f] ἐν δέ τισιν οὕτως R. Br. Mox σὺν τῷ ἑτέρῳ Br.

[g] ἀντὶ τοῦ φιλαδ. R. Br.

Ἀλληγορικῶς δὲ εἶπεν τὴν νεφέλην· ὡς γὰρ ἡ νεφέλη στυγνὴν καὶ ὁμιχλώδη τὴν ἡμέραν ποιεῖ, οὕτω καὶ ταύτην διάδηλον φησὶ γίνεσθαι ταῖς ὀφρύσι [a] συμφοράζουσαν, καὶ τὸ πρόσωπον στυγνὸν καὶ κατηφέστερον πεποιηκυῖαν.

528. Ῥέθος] Ἐρύθημα.

531. Ὡς ἔχιδν'] Ἡ γὰρ ἔχιδνα λάθρᾳ καθεζομένη τῶν ἀνθρώπων ἐκπίνει τὸ αἷμα.

*Ibid.* Ὑφειμένη: Ὑποχαλωμένη, ἐαθεῖσα, ἀπολυθεῖσα.

535. Ἦ 'ξομῇ] Ἦ ἀπαρνῇ εἶναι ἐνώμοτος;

536. Εἴπερ ἥδ' ὁμορροθεῖ: Ὅρα πῶς ἑαυτὴν πρόδηλον ὡς συκοφαντοῦσαν ποιεῖ· ὁμολογεῖ γὰρ πεπραχέναι, ταύτης συντιθεμένης· ὅπερ ἀδύνατον.

*Ibid.* Ὁμορροθεῖ] [b] Ὁμοφωνεῖ.

538. Ἀλλ' οὐκ ἐάσει τοῦτό γ' ἡ δίκη: Ἡ μὲν μὴ δράσασα ὁμολογεῖ πεπραχέναι, καὶ κεκοινωνηκέναι διὰ τὸν πόθον τῆς ἀδελφῆς· ἡ δὲ σπουδάζει ζῶσαν αὐτὴν διαφυλάξαι.

540. Ἀλλ' ἐν κακοῖς τοῖς σοῖσιν: Καὶ διὰ τούτων μὴ δεδρακέναι ὁμολογεῖ.

541. Ξύμπλουν] Κοινωνόν.

542. Ὧν τοὔργον] Ἀντὶ τοῦ, ὑφ' ὧν τὸ ἔργον πέπρακται αἰτιῶν.

545. Ἁγνίσαι] Ἀντὶ τοῦ, τιμῆσαι.

549. Τοῦδε γὰρ σὺ κηδεμών: Ἢ τοῦ βίου, ἐπεὶ φιλοζωοῦσα οὐ συνέπραξας· ἢ τοῦ Κρέοντος, ἐπεὶ μὴ παρέβης αὐτοῦ τὰ ψηφίσματα.

550. Ὠφελουμένη] Ἀντὶ τοῦ, ὠφελοῦσα.

551. Εἰ γέλωτ' ἐν σοὶ γελῶ] Εἰ γελῶ, φησὶν, ἐπὶ σοὶ, ἀλγοῦσα γελῶ· οἷον, καταγελῶ σου, ὅτι οὐκ ἠθέλησάς μοι συμπονῆσαι.

552. [c] Ἀντὶ τοῦ, ποίαν μηχανὴν εὕροιμι;

556. Ἀλλ' οὐκ ἐπ' ἀρρήτοις: [d] Οἷον, προεῖπόν σοι τὰς ἐσομένας τιμωρίας ἐν τῇ παραβάσει· ἀλλ' οὔπω παρὰ γνώμην μου ταῦτα πέπραχας, ἀλλὰ κἀμοῦ συνειδυίας τὰ πραττόμενα.

557. Καλῶς σὺ μέντοι· τοῖς δ' ἐγὼ 'δόκουν φρονεῖν: Σεαυτῇ καλῶς ἐδόκεις φρονεῖν, μὴ συμπράττουσά μοι· [e] ἐγὼ δὲ τούτοις, ἢ

[a] συμφράζουσαν R. Br.

[b] Hoc R. Br. in principio glossae praecedentis, inserta δὲ post ὅρα.

[c] Schol. hoc R. collocat post schol. ad v. 557.

[d] ἀντὶ τοῦ R. Br. pro οἷον.

[e] ἐγὼ δὲ τούτοις om. R. τούτοις δὲ ἐγὼ Br. absque ἢ τοῖς ἀνδράσιν.

τοῖς ἀνδράσιν, ἢ τοῖς ἐμοῖς δόγμασιν. Τινὲς δὲ, τῷ νόμῳ καὶ τῷ δικαίῳ.

558. Ὅτι σὺ μὲν ἔπραξας, ἐγὼ δὲ συνῄδειν.

559. Ἡ δ' ἐμὴ ψυχὴ πάλαι τέθνηκεν: Οἷον, προηκάμην τοῦ ζῆν, βοηθῆσαι βουλομένη τῷ ἀδελφῷ.

561. Τὴν μὲν ἀρτίως ἄνουν πεφάνθαι: Τὴν Ἰσμήνην, ὅτι μὴ συνειργάσατο, [a] ῥίπτει ἑαυτὴν εἰς κίνδυνον.

563. Οὐ γάρ ποτ' ὦ 'ναξ: Τοῦτο φησὶν ὑπεραπολογουμένη τῆς Ἀντιγόνης, ὅτι εἰ καὶ κακῶς ποιεῖ, μεταβληθήσεται· οὐ μένει γὰρ οὐδὲ ὁ ἐξ ἀρχῆς κακὸς νοῦς τοῖς κακῶς φρονήσασι· πρὸς ὃ φησὶ Κρέων, σοὶ γοῦν μένει κακὸς ὁ νοῦς, ὁπότε εἵλου τῶν κακῶν εἶναι κοινωνός.

567. Μὴ λέγ', οὐ γὰρ ἔστ' ἔτι] Ἀντὶ τοῦ, μὴ φρόνει, ὅτι ἐν τοῖς ζῶσίν ἐστι.

568. Νυμφεῖα] Ἀντὶ τοῦ, τὴν νύμφην.

569. Ἀρώσιμοι] Παιδοποιήσιμοι, εὐγεώργητοι.

570. Ἡρμοσμένα] Τὰ τοῦ γάμου φησί.

571. Υἱάσι] [b] Λείπει τὸ συνάπτεσθαι.

573. Καὶ σὺ καὶ τὸ σὸν λέχος: Τὸ σὸν, τὸ ὑπὸ σοῦ ὀνομαζόμενον· οἷον, τὸ ὄνομα τῆς νύμφης, ὃ σὺ προβάλλῃ.

577. Καὶ σοί γε κἀμοί: Οὐ [c] μόνῃ ταύτῃ ὥρισται τὸ ἀποθανεῖν, ἀλλὰ καὶ σοί· μηκέτι οὖν μοι τριβὰς ἐμβάλλετε· ἢ, καὶ ἐμοὶ καὶ σοὶ δέδοκται μηκέτι διατρίβειν ἐν τοῖς λόγοις.

578. Ἐκ δὲ [d] τοῦδε χρή: Ὁ δε περιττεύει· λέγει γὰρ ὅτι χρὴ λοιπὸν μὴ ἀνειμένας [e] εἶναι ταύτας τὰς γυναῖκας, ἀλλὰ φρουρεῖσθαι· φεύγειν γὰρ εἰώθασι καὶ οἱ τολμηροὶ, πλησιάζοντα ὁρῶντες τὸν θάνατον.

579. Ἀνειμένας] [f] Αὐτεξουσίους.

582. Εὐδαίμονες οἷσι κακῶν: Ἀπὸ κοινοῦ τὸ αἰών. Οἷς γὰρ ἂν σεισθῇ δόμος, τούτοις ὁ αἰὼν οὐδὲν ἄτης ἐλλείπει, ἕρπων ἐπὶ τὸ πλῆθος τῆς γενεᾶς· ἀλλὰ πάντα ἐπιφέρει τὰ δεινὰ, ὥστε ὅμοιόν ἐστι [g] τῶν οἴκων τὸ κίνημα ἐκσεισθέντι κύματι ταῖς τοῦ Βορέου πνοαῖς·

[a] καὶ ῥίπτει R. Br.
[b] τὸ συνάπτεσθαι δηλονότι R. Br.
[c] μόνον R. Br.
[d] τᾶσδε L. ut in textu a prima manu. τάσδε R.
[e] εἶναι ἤγουν αὐτεξουσίους R. Br.
[f] Gl. om. R. Br.
[g] τὸ οἴκων κίνημα τῷ ἐκσ. R. Br.

*οἷον γαλήνης οὐ ῥᾳδίως τυγχάνουσιν, ὅσοι ἐν κλύδωνι γίνονται, ἀλλ' οὐδὲ δυστυχίᾳ περιπίπτων οἶκος, εὐχερῶς ἀνανεύει.*

584. Σεισθῇ] [a] Ταραχθῇ.

587. Ὅμοιον ὥστε [b] *ποντίαις*: Τὸ *ἑξῆς· ὅμοιον ὡς ὅταν Θρῄσσῃσιν ποντίαις δυσπνόοις πνοαῖς οἶδμα ἔρεβος ὕφαλον ἐπιδράμῃ, ἀντὶ τοῦ, ἐκ βάθους κινήσῃ τὴν θάλασσαν· τὰ γὰρ βαθέα,* [c] *μέλανα ἐκάλουν.* Ὅμηρος·

Δνοφερὸν χέει ὕδωρ·

*καὶ ὁ* Ποσειδῶν, Κυανοχαίτης.

589. Ἔρεβος] Μέλαν.

*Ibid.* Ὕφαλον] Ἐκ *βάθους.*

591. Δυσάνεμον] Τὴν *ὑπὸ ἀνέμων ταραχθεῖσαν.*

592. Στόνῳ] Λείπει *ἡ σύν· σὺν στόνῳ.*

*Ibid.* Ἀντιπλῆγες] Ἀντιπλησσόμεναι.

596. Οὐδ' *ἀπαλλάσσει γενεάν*: Τὸ *γένος τὸ ἐπιγινόμενον οὐκ ἀπαλλάσσει τὴν γενεὰν, ἀλλ' ἀεὶ ἐν συμφορᾷ ἐστιν.*

597. Ἐρείπει, [d] *καταβάλλει, καταφέρει.*

599. Νῦν *γὰρ ἐσχάτας ὕπερ*: *Λείπει ἄρθρον, τὸ ὁ· τὸ δὲ λεγόμενόν ἐστι τοιοῦτο· νῦν γὰρ ὅπερ ἐτέτατο,* [e] *φησὶ, καὶ σωτηρία* [f] *ἦν τοῖς οἴκοις τοῦ* Οἰδίποδος, *ἐσχάτης ὑπὲρ ῥίζης, ἀντὶ τοῦ, ὅπερ ἔβλαστεν ἄνω τῆς ῥίζης, θάνατος καταλαμβάνει· νῦν γὰρ, φησὶν, ὅπερ ἦν λείψανον γενεᾶς, τοῦτο μέλλει καλύπτειν ἡ κόνις· τὸ καταλειφθὲν φησὶν ἀπὸ* Οἰδίποδος *βλάστημα.*

601. Κατ' *αὖ νιν*] [g] Ἐὰν *στίξωμεν κατ' αὖ νιν, οὐδὲν λείπει τῷ λόγῳ.*

*Ibid.* Νιν] Τὴν *ῥίζαν.*

602. Ἀμᾷ] Θερίζει *καὶ ἐκκόπτει· ἢ καλύπτει.*

603. Λόγου τ' *ἄνοια*: Ἁμαρτία· *ὅτι οἰστρηθεῖσα ὑπὸ τῶν* Ἐριννύων Ἀντιγόνη *τοῦτο τετόλμηκεν.*

[a] Gl. om. R. Br.

[b] MS. *ποντίας ἁλός.* Sed ex interpretatione patet grammaticum legisse *ποντίαις* omisso *ἁλός.* P. E.

[c] *μέλα* L. Homeri locus est Il. ι'. 15.

[d] Hanc gl. ponit supra post *ἀπαλλάσσει* R.

[e] *φ̃* L.

[f] *ἐν* L.

[g] *αὐτὴν τὴν ῥίζαν.* Ἐὰν *δὲ στ.* R. Br. omissa sequente glossa. Mox *κατ' αυνιν* sine acc. in Elmsleii apographo.

604. Τεὰν Ζεῦ δύνασιν] Τοῦτο φησὶν, ὅτι προαιρέσει τοῦ Διὸς πάντα γίνεται.

605. Κατάσχοι: Εὐκτικῶς, ὡς [a] ποιήσαι τρίτου προσώπου· ὑπερηφανίᾳ κρατῆσαι δύναται.

606. Ὁ παντογήρως: Ὁ ἀσθενείας παραίτιος· τὸ γὰρ γῆρας ἀσθενές ἐστιν· ἀσθενοῦμεν δὲ τῇ γλυκείᾳ προσβολῇ τοῦ ὕπνου κατεχόμενοι. Ἢ παντογήρως, ὁ αἰώνιος, καὶ ἄχρι γήρως τοῖς ἀνθρώποις καὶ πᾶσι τοῖς ζώοις παραμένων.

607. Οὔτ' ἀκάματοι θεῶν μῆνες: Ἀντὶ τοῦ, ἡ τοῦ χρόνου περίοδος.

*Ibid.* Ἀγήρῳ δὲ χρόνῳ δυνάστας: Ἀντὶ τοῦ, δυναστεύων καὶ ἄρχων τοῦ ἀγηράου χρόνου, κατέχεις τὸν Ὄλυμπον· ἀγήρων δὲ τὸν τῶν θεῶν χρόνον φησὶν, ἐπεὶ μήτε ὑπὸ δυστυχιῶν, μήτε ὑπὸ ὕπνου ἐλαττοῦται.

611. Τό τ' ἔπειτα: Τὸ ἐσόμενον, [b] καὶ μετ' ἐκεῖνο μέλλον καὶ πάλιν ἐσόμενον. Τινὲς δὲ τὸ ἔπειτα ἰδίως ἐπὶ ἐνεστῶτος λελέχθαι φασὶν, ἀντὶ τοῦ, νῦν.

612. Καὶ τὸ πρὶν] Ὅ ἐστιν, ἀεὶ δυνάμενον βοηθεῖν.

613. Νόμος ὅδ' οὐδὲν ἕρπει: Οὐδεὶς, φησὶν, ἔστι νόμος ἐν πάσαις ταῖς πόλεσιν, ὥστε φεύγειν τοὺς ἀνθρώπους τὸ συμβησόμενον. Ἢ οὕτως· οὐδείς ἐστι νόμος, ὃς δύναται τῶν ἤδη τελειωθέντων κακῶν προσάγειν βοήθειαν. Ἢ οὕτως· ὁ δὲ νόμος ὁ πάντων [c] τῶν ἀνθρώπων κοινὸς τοῦτο ἔχει, μηδένα ζῆν ἄνευ λύπης. [Εἰς τὸ αὐτό.] Ὁ λόγος· σὺ μὲν, ὦ Ζεῦ, ἀγήρως τε καὶ δυνάστης εἰς ἅπαντα τὸν χρόνον εἶ· ἡ δὲ τῶν ἀνθρώπων πολιτεία οὐδέποτε χωρὶς κακῶν ἐστίν.

614. Πάμπολις] [d] Ὁ κατὰ πᾶσαν πόλιν ἕρπων νόμος, ὅ ἐστι, πάντες ἄνθρωποι.

615. Ἁ γὰρ δὴ πολύπλαγκτος: Οὐδὲν, φησὶ, περὶ τῶν μελλόντων ἐπίστανται οἱ ἄνθρωποι, ὥσπερ ὁ Ζεύς· ἠπάτησε δὲ πολλοὺς ἡ ἐλπὶς, κουφόνους ἔρωτας ἐμβάλλουσα· τὰ ἀδύνατα γὰρ ἐλπίσαντες, ἐσφάλησαν. Ἔρωτας δὲ [e] φησὶ καὶ τὰς ἐπιθυμίας.

617. Κουφονόων ἐρώτων: Ἀντὶ τοῦ, τῶν κούφων ἐπιθυμιῶν, ἐν αἷς πολλοὶ ἠπάτηνται, ἕτερα προσδοκήσαντες, ἑτέρων ἀποβάντων.

618. Εἰδότι δ' οὐδὲν ἕρπει] Τῷ ἀνθρώπῳ οὐδὲν εἰδότι ἐπέρχεται.

[a] ποιῆσαι L.
[b] καὶ τὸ μετ' Br.
[c] τῶν om. R. Br.
[d] Haec in principio praecedentis schol. habent R. Br.
[e] λέγει R. Br.

619. [a] Προσ . . . . .] Προσφέρει· πρὶν τοῖς δεινοῖς ἐπικύρσῃ, καὶ εἰς αὐτὸν ἐμπέσῃ τὸν κίνδυνον.

620. Σοφίᾳ γὰρ [b] ἔκ του κλεινὸν ἔπος: Μετὰ σοφίας γὰρ ὑπό τινος ἀοίδιμον καὶ κλεινὸν ἔπος πέφανται, τὸ,

ὅτ' ἂν δ' ὁ δαίμων ἀνδρὶ πορσύνῃ κακὰ,
τὸν νοῦν ἔβλαψε πρῶτον, ᾧ βουλεύεται.

625. Ὀλιγοστόν] Ἀντὶ τοῦ, οὐδὲ ὀλίγον.

629. Τάλιδος: Τᾶλις λέγεται παρ' Αἰολεῦσιν ἡ ὀνομασθεῖσά τινι νύμφη. [c] Καλλίμαχος·

Αὐτίκα τὴν τᾶλιν παιδὶ σὺν ἀμφιθαλεῖ.

[Εἰς τὸ αὐτό.] [d] τῆς νύμφης.

*Ibid.* Μόρον] Λείπει ἡ διά· διὰ τὸν μόρον.

639. Ἀπάτας λεχέων] Ὑπὲρ τῆς τῶν λεχέων [e] ἀποτυχίας ἀχθόμενος.

631. Τάχ' εἰσόμεσθα: Ὁ λόγος [f] παροιμιακῶς, ὁπότε μὴ στοχασμῷ χρώμεθα, ἀλλ' αὐτόπται τῶν πραγμάτων γινόμεθα· προγιγνώσκει μὲν γὰρ καὶ ὁ μάντις, ἀλλὰ στοχασμῷ χρῆται· τάχα οὖν ἀκριβῶς γνώσομαι ταῦτα, παρὰ τοῦ παιδὸς πυνθανόμενος.

632. Τελείαν ψῆφον: Τελείαν, τὴν ἤδη τετελεσμένην· τοῦτο δὲ φησὶν, ὡς μὴ [g] μεταβουλευσάμενος· ἢ τὴν τέλος ἐπάγουσαν τῇ Ἀντιγόνῃ.

635. [h] Παρέλκει τὸ ἔχων.

636. Ἀπορθοῖς] Ὀρθῶς καθηγῇ.

637. Ἐμοὶ γὰρ οὐδεὶς ἀξίως: Οὐδείς μοι προκριθήσεται γάμος τῆς σῆς ἀρχῆς, καλῶς σου ἄρχοντος· πανταχοῦ δὲ μετὰ παρατηρήσεως.

638. Μεῖζον φέρεσθαι] Προκρίνεσθαι.

639. Διὰ στέρνων ἔχειν] Ἀντὶ τοῦ, ἐνθυμεῖσθαι.

640. Γνώμης πατρῴας πάντ' ὄπισθεν: [i] Οἷον, τῆς πατρῴας γνώμης πάντα εἶναι δεύτερα· οἷον χρὴ τὴν πατρῴαν πράττοντα γνώμην,

[a] προσαύσῃ] προσφέρῃ R. Br. Lemma in ambiguo reliquit P. E.
[b] ἔκ τοῦ L.
[c] Fr. CCX.
[d] Gl. om. R. Br.
[e] ἀπάτης ὅ ἐστιν ἀποτυχίας R. Br.
[f] παροιμιακὸς R. Br.
[g] μεταβουλευσόμενος Br.
[h] Gl. om. R. Br.
[i] Οἷον om. R. Br. Mox τὸν τὴν πατρῴαν R. Br.

περὶ τῶν ἄλλων οὐδένα λόγον ἔχειν· ἀσφαλῶς δὲ προσέθηκε τὸ πάντα, μὴ ἄρα ἐκ τοῦ παιδὸς ὑπαντηθῇ, ὅτι πλὴν τῶν χρησίμων.

646. Πόνους] γρ. πέδας, ἵν' ᾖ, ἐμπόδιον, δεσμοὺς, κώλυμα τοῦ πράττειν ἃ βούλεται.

650. Ψυχρόν] Ἀηδές.

*Ibid.* Παραγκάλισμα: Φίλημα, στέργηθρον, κοινώνημα, παρακοίμημα, περιπλοκή.

653. Πτύσας] Καταπτύσας, ἐν οὐδενὶ λόγῳ θέμενος, καταφρονήσας.

659. Εἰ γὰρ τοὺς ἐμοὺς, φησὶν, ἀκόσμως βιοῦντας μὴ τιμωρησαίμην, οὐδὲ τῶν ξένων [a] περιγενήσομαι· ἀπὸ κοινοῦ δὲ τὸ θρέψω.

660. Θρέψω] Ἀντὶ τοῦ, ἕξω.

*Ibid.* Ἐγγενῆ] [b] Συγγενῆ.

661. Εἰ οὖν τηροίην τὰ νόμιμα καὶ τὰ δίκαια ἐπὶ τῆς ἐμαυτοῦ πρώτως οἰκίας, τηροίην ἂν αὐτὰ καὶ ἐπὶ τῆς πόλεως.

663. Ὑπερβάς] Λείπει τὸ δίκαιον.

666. Στήσειε] Καταστήσειεν ἄρχοντα.

667. Τὰ ἐναντία [c] τῷ δικαίῳ δηλονότι.

668. Τοῦτον] Τὸν τῷ βασιλεῖ πειθόμενον.

670. Δορὸς] [d] Ἀντὶ τοῦ τῆς μάχης.

672. Ἀναρχίας] Ἀντὶ τοῦ, ἀπιθείας.

675. Τροπὰς καταρρήγνυσιν] Ἐκ γὰρ διαῤῥήξεως στρατοῦ, τροπὴ γίνεται.

*Ibid.* Τῶν δ' ὀρθουμένων] Τῶν ἀρχομένων.

676. Σώζει]

[e] Αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται.

677. Οὕτως] [f] Τὰ τῶν νόμων.

*Ibid.* Κοσμουμένοις] Τοῖς ἄρχουσιν. Ὅμηρος·

[g] κοσμήτορε λαῶν.

681. Εἰ μὴ τῆς φρονήσεως ὑπὸ τοῦ γήρως σεσυλήμεθα, λέγειν φρονούντως δοκεῖς περὶ ὧν λέγεις. Ὁ δὲ λόγος πάνυ πρεσβυτικῶς καὶ αἰδημόνως εἴρηται.

[a] περιγενήσομεν Br.
[b] Gl. om. R. Br.
[c] τῶν δικαίων L.
[d] τῆς μάχης δηλονότι R. Br. ἀντὶ τῆς L.
[e] Ὅμηρος addunt R. Br. Scil. Il. έ. 531.
[f] Gl. om. R. Br.
[g] Il. α΄. 16. δύω κ. λ. R. Br.

681. Κεκλ μεθα] [a] Σεσυλήμεθα.

685. Ἐγὼ δὲ οὐ δύναμαι ταῦτα ἀποδέξασθαι, ἐπειδὴ μὴ καλῶς ταῦτα λέγεις.

687. [b] Δυνατὸν δὲ καὶ ἑτέρως καλῶς μεταβουλεύσασθαι.

688. [c] Σοὶ δ' οὖν πέφυκα] γρ. Σὺ δ' οὐ πέφυκας.

690. Τὸ σὸν ὄμμα, φησὶ, τοιοῦτόν ἐστιν, ὥστε μηδένα τῶν πολιτῶν ἄντικρύ σου λέγειν τοιαῦτα, οἷς σὺ μὴ τέρψῃ· ἐμοὶ δὲ πάρεστιν ἀκούειν τῶν λάθρᾳ κατὰ σοῦ λεγομένων.

691. Λόγοις τοιούτοις: Λείπει τὸ χρῆσθαι.

692. Ὑπὸ σκότου] Λαθραίως.

696. Διὰ τούτων ὑπεραπολογεῖται τῆς κόρης, ὑπερευπρεπῶς τῇ πόλει περιθεὶς τὸν λόγον.

697. Κυνῶν] [d] γρ. λύκων.

699. Τιμῆς] γρ. στήλης.

700. Ἐρεμνή] Σκοτεινὴ, λαθραία σου.

709. Διαπτυχθέντες: Ἀνακαλυφθέντες· μετέβη δὲ ἀπὸ ἑνικοῦ ἀριθμοῦ, τοῦ ὅστις [e] γὰρ, εἰς πληθυντικὸν, τὸ οὗτοι.

711. Καὶ τὸ μὴ τείνειν ἄγαν: Μὴ αὐθάδη εἶναι, ἀντιτείνοντα τοῖς συμβουλεύουσιν· τοῦτο δὲ παρὰ Σόλωνος·

> Γηράσκω δ' αἰεὶ [f] πολλὰ διδασκόμενος.

Καλλίμαχος.

714. Αὐτόπρεμνα] Αὐτόριζα.

*Ibid.* Ὑπείκει μηδέν] Τοῖς ἱστίοις μὴ ἐγχαλάσῃ.

716. Ὑπτίοις κάτω] Ἀντὶ τοῦ ὑπτίως. [g] Στρέψας τὴν ναῦν.

718. Μετάστασιν] Μετάνοιαν.

719. Ἀντὶ τοῦ, εἰ οἷός τε εἰμὶ λέγειν κἀγὼ διὰ τὸ νέον.

720. Πρεσβεύειν: Ὑπερέχειν. Ἐγὼ, φησὶ, τοῦτο οἶμαι ὑπερέχειν, τὸ τὸν ἄνθρωπον φῦναι πάντα ἐπιστάμενον. Ἡσίοδος·

> [h] Οὗτος μὲν πανάριστος, ὃς αὐτῷ πάντα νοήσει.

722. Εἰ δ' οὖν] Εἰ δέ τις ἀνόητος εὑρεθῇ. [i] Δίδυμος δὲ φησὶ. . .

[a] Gl. om. R. Br.

[b] δυνατόν σε καὶ ἑτέρως μεταβ. R. Br.

[c] Σοῦ δ' οὖν πέφυκα. γράφεται σὺ δ' οὖν πέφυκας. R.

[d] Hanc et seq. gl. om. R. Br.

[e] γὰρ om. R. Br.

[f] πάντα L. Mox Καλλίμαχος om. R. Br.

[g] Sic R. L. στρέψας τὴν ναῦν δηλονότι omissis ἀντὶ τοῦ ὑπτίως Br.

[h] Opp. 269.

[i] Sic ms. nec plura. Imperfectam sententiam prorsus omisit editor Romanus. P. E.

728. Μηδὲν διδάσκου, ὃ μὴ δίκαιόν ἐστί σοι μανθάνειν· ἢ μηδὲν ἔστω, ὃ μὴ δίκαιον.

730. Ἀκοσμοῦντας] Ἀπειθοῦντας, καὶ ἄκοσμα διαπραττομένους.

733. Οὔ φησι Θήβης τῆσδ' ὁμόπτολις: Οὐκ ἐγὼ ταῦτα λέγω, ἀλλὰ πάντες οἱ τὴν πόλιν οἰκοῦντες· χαριέντως δὲ τὴν δίαιταν προσάπτει τῇ πόλει, τῷ μὴ δοκεῖν βούλεσθαι ἀνατρέπειν τὰ τῷ πατρὶ βεβουλευμένα.

734. Πόλις γὰρ ἡμῖν [a] ἅ με χρή: ἅ με χρὴ προστάσσειν τῇ πόλει, ἐκείνη μοι ἔχει κελεύειν;

735. Τὸ χ, ὅτι [b] αὐστηρότερον προσηνέχθη τῷ πατρί.

741. Εἴπερ γυνὴ σύ] Λείπει τυγχάνεις· πάλιν δὲ τὸ χ, διὰ τὸ αὐστηρόν.

742. Διὰ δίκης ἰών] Δικασάμενος, δικαιολογούμενος, παρρησιαζόμενος.

*Ibid.* Ἰὼν] Ἐλθών.

746. Γυναικὸς ὕστερον] Ἀντὶ τοῦ, ἡττηθὲν ὑπὸ γυναικός.

751. Ἡ δ' οὖν θανεῖται: Δι' ἑαυτὸν ἔφη· ὁ δὲ Κρέων ᾤετο δι' αὐτὸν λέγειν.

*Ibid.* Ἐπεξέρχῃ] Περαιτέρω χωρήσεις.

753. Τίς δ' ἔστ' ἀπειλή: Ποίαν ὠφέλειαν ἔχει ἀπειλὴ πρὸς μωρὸν ἄνθρωπον λεγομένη;

758. Τόνδ' Ὄλυμπον] Μὰ τὸν Ὄλυμπον.

759. Δεννάσεις] Λυπήσεις, ὑβρίσεις.

760. Τὸ μῖσος] Τὴν Ἀντιγόνην φησίν.

*Ibid.* Κατ' ὄμματ'] Ὑπ' ὀφθαλμούς.

762. Μὴ δόξῃς] [c] Μὴ νομίσῃς.

*Ibid.* Οὐδαμὰ] Οὐδαμῶς.

765. Ὡς τοῖς θέλουσι τῶν φίλων μένῃς ξυνών: γρ. μαίνῃ. Ὡς μαίνῃ, φησὶ, παρὰ τοῖς φίλοις τοῖς θέλουσιν ὑπομεῖναι τὴν σὴν μανίαν.

767. Νοῦς δ' ἔστι τηλικοῦτος: Ἤτοι ὁ τῶν νέων· ἢ ὁ φρόνιμος· ὁ δὲ νοῦς ὁ τηλικοῦτος, φησὶ, βαρύτατός ἐστιν ἀλγήσας.

770. Αὐτὰ] Τὰς κόρας· δυϊκὸν γάρ ἐστι.

[a] Sic ms. recte, nisi quod solenni errore pro ἅμὲ bis habet ἅμε. Ed. Rom. Πόλις γὰρ ὑμῖν ἅ'ν χρή. ἃ ἄν με χρὴ π. P. E.

[b] αὐστηρῶς R. Br.

[c] Hanc et seq. gl. om. R. Br.

772. Σφε] [a] Αὐτήν.

774. Πετρώδει ἐν κατώρυχι] Ἐν ὑπογείῳ σπηλαίῳ.

*Ibid.* Φορβῆς τοσοῦτον: Ἔθος παλαιὸν, ὥστε τὸν βουλόμενον καθειργνύναι τινὰ, ἀφοσιοῦσθαι βραχὺ τιθέντα τροφῆς, καὶ ὑπενόουν κάθαρσιν τὸ τοιοῦτο, ἵνα μὴ δοκῶσι λιμῷ ἀναιρεῖν· τοῦτο γὰρ ἀσεβές.

777. Ὃν μονον σέβει [b] θεῶν: Διὰ τὸ προκρῖναι τῆς ἰδίας σωτηρίας τὴν πρὸς τὸν κατοιχόμενον δίκην.

779. Ὅτι πόνος περισσός ἐστι. Πλήρης ὀργῆς καὶ ἀβουλίας ὁ λόγος, ὅτι καὶ εἰς θεοὺς θρασύνεται.

781. Ἔρως ἀνίκατε: Διὰ τὸν Αἵμονα τοῦ ἔρωτος μέμνηται· πάλαι γὰρ [c] ὁμονοεῖ τῷ πατρί· νῦν δὲ σχεδὸν πολέμιος γέγονε διὰ τὴν Ἀντιγόνην. Τὸ δὲ ἐρᾶν πλουσίους ἔχει. Καὶ ἡ παροιμία·

Ἐν πλησμονῇ τοι Κύπρις, ἐν πεινῶσι δ' οὔ.

*Ibid.* Μάχαν] [d] Λείπει ἡ κατά.

782. Κτήμασιν] Ἐπεὶ καὶ [e] κτημάτων ἐρῶσι πολλοί.

784. Ἐννυχεύεις] Διατρίβεις.

785. Φοιτᾷς δ' ὑπερπόντιος: Διότι [f] θαλάσσια ζῶα ἐρᾷ· ἢ ὅτι καὶ τὰ πόῤῥω θηρεύει ὁ ἐρῶν, καὶ διὰ θαλάσσης ἄπεισι καὶ πανταχοῦ, ὥστε τοῦ ἔρωτος ἐπιτυχεῖν· ἢ ὅτι πολλοὶ τῶν ἐν πόντῳ ἐρῶσιν.

786. Αὐλαῖς] Ταῖς ἐπαύλεσιν.

790. Ὁ δ' ἔχων] Τὸν [g] ἔρωτα.

791. Σὺ καὶ δικαίων ἀδίκους] Σὺ καὶ δικαίους διαφθείρεις, ὥστε τὰς φρένας αὐτῶν ἀδίκους γίνεσθαι, ὡς Ἡρακλῆς ἐνεχόμενος τῷ ἔρωτι τῆς Ἰόλης, τὰ ἐν Οἰχαλίᾳ ἔπραξεν, ἀφορμὴν τοῦ πολέμου μὴ ἔχων, ἢ τὸν ἔρωτα μόνον.

794. Ξύναιμον] Ξυγγενές· ὅτι υἱοῦ πρὸς πατέρα γέγονε μάχη καὶ διαφορά.

795. Νικᾷ δ' ἐναργὴς βλέφαρων: Ὅτι ὁρῶν τὴν παῖδα ὁ Αἵμων σπουδάζουσαν, καὶ πάντα [h] πράσσουσαν ὑπὲρ τοῦ ἀδελφοῦ, ἥττων αὐτῆς γέγονεν. Νικᾷ οὖν, φησὶν, ὁ ἔρως τῆς νύμφης, ὅς ἐστι πάρεδρος τῶν μεγάλων θεσμῶν ἐν ἀρχαῖς. Τοῦτο δὲ εἶπεν, ὅτι θαυμαστή τις

[a] ἀντὶ τοῦ αὐτήν R. Br.
[b] θὸν i. e. θεόν L.
[c] ὡμονόει Br.
[d] Hanc gl. in principio praecedentis exhibent R. Br.
[e] κτήματα R. Br.
[f] καὶ τὰ θαλάσσια R. Br.
[g] ἔρωτα δηλονότι R. Br.
[h] πράττουσαν R. Br. Mox ἧττον L.

ἐστὶν ἡ τοῦ ἱμέρου ἀρχὴ, καὶ ὥσπερ νομισθεῖσα ἄνωθεν· διὸ καὶ πάρεδρον αὐτὴν φησὶ τῶν θεσμῶν.

798. Πάρεδρος ἐν ἀρχαῖς: Τινὲς παρέδρος Δωρικῶς ἀναγινώσκουσι, κατ' ἔλλειψιν τοῦ ῡ, ἵν' ᾖ παρέδρους· λέγει δὲ τὸν Κρέοντα. Νικᾷ δὲ ὁ φανερὸς ἵμερος τῶν βλεφάρων τῆς εὐλέκτρου νύμφης τὸν Κρέοντα, τὸν ἐν ταῖς ἀρχαῖς τῶν μεγάλων θεσμῶν.

799. Ἄμαχος] Ἀκαταμάχητος.

*Ibid.* Ἐμπαίζει: Ἥδεται, χαίρει.

801. Οἷον, δύναμει παρακούομεν τοῦ ἄρχοντος, δακρύοντες τὴν Ἀντιγόνην, ἣν αὐτὸς κατεδίκασεν.

804. Τὸν παγκοίταν] Τὸν πάντας κοιμίζοντα.

*Ibid.* Θάλαμον] Τὸν θάλαμον τὸν ἐν τῷ τάφῳ.

805. Ἀνύτουσαν] Ἀνοίγουσαν, ἢ τρέχουσαν καὶ πορευομένην.

814. Ἔγκληρον] Μέτοχον.

816. Ἀχέροντι] [d] Λείπει θύραις ἢ κοίταις.

820. Οὔτε ξιφέων] Οὐ διὰ ξιφῶν τὸν μισθὸν τοῦ πλημμελήματος λαχοῦσα καὶ τὴν τιμωρίαν· ἀλλὰ μετ' ἐλευθερίας τεθνήξῃ, ἰδίῳ καὶ καινῷ νόμῳ περὶ τὸ τέλος χρησαμένη, οἷον, οὔτε νοσήσασα, οὔτε ἀναιρεθεῖσα ἐξελεύσῃ τοῦ βίου.

822. Ἄιδαν] Ἤτοι πρὸς τὸν τόπον τοῦ θανάτου, ἢ πρὸς τὴν προαίρεσιν τοῦ ἐπιχειρήματος· ἢ ἀντὶ τοῦ ἰδίοις αὐτῆς νόμοις χρησαμένη.

823. Ἤκουσα δὴ λυγροτάταν: Ἀντὶ τοῦ, [e] λυγροτάτως· ἢ τὴν λυγρὰ ὑπομείνασαν· ἢ λυγρὴν, καθὸ τὴν Λητὼ ὑβρίσαι τετόλμηκεν. Τοῦτο δὲ ἔλαβεν πρὸς τὸ ὅμοιον τοῦ θανάτου, ὅτι οὐδὲ ἡ Νιόβη ὑπό τινος ἀνῃρέθη.

824. Τὰν Φρυγίαν ξέναν] Τὴν Νιόβην.

825 Σιπύλῳ] Φρυγίας [f] ὄρος.

826. Τὰν κισσὸς ὡς ἀτενής: Πολὺς καὶ ἐπιμήκης· ἢ ὁ μὴ ἀνατείνων εἰς ὕψος, ἀλλ' αὐτοῦ περιειλούμενος, καὶ οὐχὶ ὑψηλός. Ὁ δὲ νοῦς· ἣν ἐδάμασεν ἡ πέτρας βλάστησις, ὡς κισσὸς περιβαλοῦσα αὐτήν· περιέφυσεν [g] αὐτὴ, φησὶν, τῇ πέτρᾳ, ὡς κισσὸς δένδρῳ.

*Ibid.* Ἀτενής] [h] Ὁ μὴ εὐθὺς τετραμμένος, ἀλλ' εἰλιτενής.

[d] Gl. om. R. Br.

[e] λυγροτάτης R. Mox τὴν λυγρὰν ὑπομ. ἢ λυγρὴ L. λυγρὰν—λυγρὴ R.

[f] ὄρος ὁ Σίπυλος R. Br.

[g] αὐτῇ φησὶ τῇ R. αὐτῇ φησὶν ἡ Br.

[h] Hanc gl. in principio praecedentis exhibent R. Br.

827. Πετραία βλάστα δάμασεν] [i]Ότι περιεκεκάλυπτο πανταχῇ τῇ πέτρᾳ.

834. Ἀλλὰ θεός τοι καὶ [j] θεογεννής: Καρτερεῖν σε χρὴ, ὡς καὶ ἡ Νιόβη ἐκαρτέρησεν, καίτοι θειοτέρου γένους τυγχάνουσα. Ταντάλου γὰρ ἦν τοῦ Διός. [Εἰς τὸ αὐτό.] [k] Παραμυθούμενος αὐτὴν, θεὸν φησὶ τὴν Νιόβην.

836. Καί τοι φθιμένᾳ] [l] Καίτοι σοι φθιμένῃ, ἢ φθιμένῳ παντὶ, μακαριστὸν ἂν εἴη [m] τὸ τῆς αὐτῆς μοίρας τυχεῖν τοῖς ἰσοθέοις· οἷον, μακάριος ἂν εἴη, ὅστις τοῖς ἰσοθέοις ὁμοίως ἐτελεύτησεν.

837. Ἔγκληρα] [n] Κοινὰ, ὅμοια, τοῦ αὐτοῦ κλήρου καὶ τύχης.

838. Οἴμοι γελῶμαι] Ὑφ' ὑμῶν γελῶμαι, ὅτι θεοῖς [o] ἴσην με λέγετε.

846. Ἐπικτῶμαι] γρ. ἐπιβοῶμαι.

847. Οἵα φίλων ἄκλαυτος] Οἷον, μὴ οἰκτειρομένη παρὰ τῶν φίλων ἀπόλλυμαι.

848. Ἕργμα] Ἕρμα, περίφραγμα.

849. Ποταινίου] Ἔστι μὲν προσφάτου· θέλει δὲ εἰπεῖν καινοῦ καὶ παρεξηλλαγμένου.

851. Οὔτ' ἐν [p] βροτοῖς: Οὔτε ἐν ζῶσι, διὰ τὸ εἶναι ἐν εἱρκτῇ· οὔτε ἐν θανοῦσι, διὰ τὸ ἔτι [q] ἀναπνεῖν.

852. Θανοῦσιν] Λείπει σύνοικος.

853. Προυβᾶσ' ἐπ' ἔσχατον θράσους: Προβᾶσα ἐπὶ τὸ τῆς δικαιοσύνης ἔσχατον βάθρον μετὰ θράσους, βουλομένη τε ὅσιόν τι δρᾶν περὶ τὸν ἀδελφὸν, τὰ ἐναντία πέπονθας· ἔπεσες γὰρ εἰς τὸ κενοτάφιον. Τὸ δὲ ἑξῆς· προβᾶσα ὑψηλὸν εἰς δίκας βάθρον, ἔπεσες ἐπ' ἔσχατον θράσους ἐν τῷ παρακοῦσαι τῶν τοῦ ἄρχοντος προσταγμάτων.

856. Πατρῷον δ' ἐκτίνεις: Ἢ τὰ ἡμαρτημένα τῷ Οἰδίποδι· ἢ ὑπὲρ τῆς κατάρας τοῦ Οἰδίποδος ταῦτα πάσχεις· [r] αὐτὴ γὰρ τὰ δίκαια προέθου ποιεῖν.

858. Ἐμοὶ μερίμνας] [s] Ἢ τὸ τῆς μερίμνης μου.

[i] Hanc gl. om. R.

[j] θεογ<sup>s</sup> ms. θεογενὴς ed. Rom.

[k] Seqq. in pr. gl. praecedentis collocant R. Br.

[l] καὶ γὰρ φθιμένῳ R. Br.

[m] τὸ om. R. Br.

[n] ἤγουν κοινὰ R. Br.

[o] ἴσον L. R.

[p] βρο<sup>τ</sup> L.

[q] ἀνάπτειν L.

[r] αὕτη L.

[s] Hanc gl. om. R. Br.

859. [q] Τριπόλιστον οἶκτον: Πολλάκις ἀναπεπολημένον· ἢ διάσημον, καὶ πανταχοῦ ἀκουόμενον, καὶ πολούμενον· ἢ τὸν πολλάκις ἐπελθόντα τῷ ἐμῷ οἴκῳ [r] ἢ γένει. [Εἰς τὸ αὐτό.] [s] Λείπει εἰποῦσα.

860. Τοῦ τε πρόπαντος ἁμετέρου πότμου] Καὶ τῆς προτέρας ἡμῶν δυστυχίας.

861. Πότμου] Τύχης.

862. Λαβδακίδαισιν] Ἀντὶ τοῦ, Λαβδακιδῶν.

864. Κοιμήματ' αὐτογένητα: Καὶ συνουσίαι τοῦ πατρὸς αὐτογενεῖς, ἢ συγγενικαί· ἢ ὅτι ταύτῃ συνεκοιμήθη ἐξ ἧς γέγονεν. Τὸ δὲ ἑξῆς· κοιμήματ' αὐτογένητα, κοιμήματα δυσμόρου μητρὸς, ἐμῷ πατρὶ αὐτογένητα· ὅτι ὁ αὐτὸς πατὴρ ἅμα καὶ παῖς ἦν.

865. Ἐμῷ πατρί] [u] Λείπει γενόμενα.

866. Οἵων] Λείπει γονέων.

867. Ἀραῖος] Ἐπικατάρατος, διὰ τὰ ἐκείνων ἁμαρτήματα.

868. Ἔρχομαι] Πρὸς τοὺς γονεῖς δηλονότι.

869. Δυσπότμων] Διὰ τὴν πρὸς Ἄδραστον ἐπιγαμίαν, ἥτις αἰτία τοῦ πολέμου κατέστη.

871. Κατήναρές με] [w] Τιμηθεὶς ὑπ' ἐμοῦ.

872. Σέβειν μὲν εὐσέβειά τις: Οἱ τοῦ Χοροῦ τὸ μὲν ἔργον τῆς παιδὸς ἐπαινοῦσιν· οὐ μὴν δὲ [x] θαρσοῦσιν, ὡς καὶ τὴν γνώμην τοῦ βασιλέως διελέγχειν ὡς μοχθηράν· φησὶν οὖν, ὅτι πέπρακται μὲν δι' εὐσέβειαν τὸ ὑπὸ ταύτης· ᾧ δὲ ἡ βασιλεία μέλει, [y] τούτῳ οὐκ ἔστι παραβατὴ ἡ ἀρχὴ, ὅ ἐστι τὰ προστάγματα· παραβαίνουσι δὲ, ὅσοι ἀρχόντων καταφρονοῦσιν. [Εἰς τὸ αὐτό.] [z] Εὐσεβὲς μὲν τὸ σέβειν τοὺς ἀποθανόντας.

875. Αὐτόγνωτος ὀργά] Αὐθαίρετος καὶ ἰδιογνώμων τρόπος.

879. Λαμπάδος] [z] Τοῦ ἡλίου.

881. Ἀδάκρυτον] [a] Πολυδάκρυτον.

883. Ἆρ' ἴστ' ἀοιδὰς καὶ γόους: Πρὸς τοὺς ὑπηκόους τοῦτο φησὶν ὁ Κρέων, ὀργιζόμενος ὅτι μὴ θᾶττον αὐτὴν ἀπήγαγον πρὸς εἱρκτήν.

[q] MS. Τριπόλιστον οἶκον. Ed. Rom. Τριπόλιστον οἶκτον, γράφεται οἶκον. MS. in textu habet οἶκτον, nec nisi librarii errore in scholio scriptum puto οἶκον. P. E.

[r] καὶ γένει R. Br.

[s] λείπει δὲ τὸ εἰποῦσα R. λείπει δὲ εἰπὼν Br.

[u] Gl. om. R. Br.

[w] Gl. om. R. Br.

[x] θάῤῥουσιν R. Br.

[y] τοῦτο L.

[z] Gl. om. R. Br.

[a] ἀντὶ τοῦ πολυδ. R. Br.

Ὁ δὲ λόγος· ἆρα ἴστε, εἰ [b] χρεῖ' ᾖ λέγειν ἀοιδὰς καὶ γόους πρὸ τοῦ θανεῖν, οὐδέποτέ τις παύσαιτο; δεῖ οὖν ἐκ βίας ἕλκειν αὐτήν.

887. Εἴτε χρὴ θανεῖν: Εἰ χρήζει καὶ [c] θέλει. Μετριάζειν δὲ προσποιεῖται τῇ κολάσει, ὡς δηλοῖ καὶ τὸ, ἡμεῖς γὰρ ἁγνοὶ, τουτέστιν, ἀκοινώνητοι τοῦ φόνου τούτου· φησὶ διὰ τὸ μὴ χερσὶν αὐτὴν ἀνῃρηκέναι.

889. Ἡμεῖς γὰρ ἁγνοί: Τὸ κατὰ ταύτην τὴν κόρην, ἁγνοὶ ἡμεῖς ἐσμὲν, καὶ οὐδὲν ἐναγὲς ἐπράξαμεν.

890. Μετοικίας δ' οὖν τῆς ἄνω] [d] Τὸ μεθ' ἡμῶν ἄνω οἰκεῖν.

891. Κατασκαφής] Κατεσκαμμένη, ὑπόγειος.

892. Ἀείφρουρος] [e] Τῷ μὴ πρὸς καιρὸν εἶναι τὴν φρουρὰν, ἀλλὰ διόλου.

895. Μακρῷ] Ἀντὶ τοῦ, πολύ.

897. Ἐν ἐλπίσι τρέφω] [e e] Ἐλπίζω ἀποθανοῦσα πάντας ἕξειν φίλους. [Εἰς τὸ αὐτό.] Εὐεπίφορος ὁ Σοφοκλῆς [εἰς] τὸ τρέφω ἀντὶ τοῦ ἔχω.

899. Κασίγνητον κάρα] Ὦ Ἐτεόκλεις· ἑξῆς γὰρ τοῦ Πολυνείκους μετὰ οἴκτου μνημονεύει.

904. Καίτοι σ' ἐγὼ τίμησα: Παρὰ τοῖς καλῶς φρονοῦσι δοκῶ σε τετιμηκέναι, ὥστε τοὺς συνετοὺς ἀποδέξασθαι τὰ ὑπ' ἐμοῦ εἰς σὲ γενόμενα.

907. Ἀνηρόμην] [f] Ὑπέστην.

908. Τίνος νόμου] Ἀντὶ τοῦ, τίνος νομίσματος καὶ λογισμοῦ.

913. Τοιῷδε μέντοι] Τῷ τοιούτῳ νόμῳ, ὃς ἀποδείκνυσι τὸ κατὰ τοὺς ἀδελφοὺς δίκαιον ὑπερέχειν ἁπάντων, τιμήσασά σε, ἔδοξα τῷ Κρέοντι ἁμαρτάνειν, διὰ τὴν ἔνδειξιν τῆς βίας αὐτοῦ.

916. Ἄγει με] [g] Ἐμφατικώτερον τὸ ἄγει. Οὐ γὰρ εἶπεν, ὅτι ἐκέλευσέν με ἀχθῆναι, ἀλλ' αὐτὸς ἄγει.

918. Οὔτε παιδίου τροφῆς] [h] Οὔτε παῖδα θρέψασαν.

921. Δαιμόνων δίκην] Ἐπεὶ τὰ τοῦ Κρέοντος, θνητοῦ ὄντος, [i] παρέβην.

[b] χρείη Br.
[c] θέλει θανεῖν R. Br.
[d] ἀντὶ τοῦ μέθ' R. ἀντὶ τοῦ, τοῦ Br.
[e] τὸ L.
[e e] εὐεπίφορος Σοφοκλῆς εἰς τὸ τρέφω ἀντὶ τοῦ ἔχω λέγειν. ὁ δὲ νοῦς, ἐλπίζω ἀποθανοῦσα πάντας ἕξειν φίλους R. Br.
[f] ἀντὶ τοῦ ὑπ. R. Br.
[g] ἐμφαντικώτερον L. R.
[h] Gl. om. R. Br.
[i] παρέβη R. Br.

923. Τίν' αὐδᾶν ξυμμάχων] Λείπει καλεῖν.

925. Εἰ μὲν οὖν] Εἰ ταῦτα τοῖς θεοῖς ἀρέσκει, παθόντες τὴν τιμωρίαν, γνοίημεν τὴν ἁμαρτίαν.

927. Εἰ δ' οἵδ' ἁμαρτάνουσιν] Ἐπὶ τὸν Κρέοντα ἡ ἀναφορά.

928. [k] Ἐκδικῶς] Ἔξω τοῦ δικαίου.

929. Ἔτι] Ἔτι ἐν τῷ αὐτῷ κινήματι ἔοικεν ἡ παῖς εἶναι· οἷον, οὐκ ἐνδέδωκεν ὀδυρομένη.

932. Κλαύμαθ' ὑπάρξει] Ἀντὶ τοῦ, κλαύσονται οἱ ἄγοντες αὐτὴν, ἐὰν ἔτι βραδύνωσιν.

*Ibid.* Βραδυτῆτος ὕπερ] Διὰ τὸ ἐν αὐτῇ ἐμβραδύνειν.

933. Οἴμοι θανάτου] Ἀπειληθέντες ὑπὸ τοῦ Κρέοντος οἱ ὑπήκοοι, ἄξουσί με λοιπὸν ἐπὶ θάνατον.

935. Οὐ παραμυθοῦμαί σε θαρρεῖν, ὡς μὴ κεκυρωμένου σοι [l] τοῦ ἀποθανεῖν. Τοῦτο δέ φησιν, ὡς οὐκ ἐνδιδοὺς, ἵνα μὴ ὑπονοήσῃ ἐκείνη μεταπεπεικέναι αὐτὸν δακρύουσα· ἢ ὁ Χορὸς λέγει, ὡς τοῦ Κρέοντος μὴ μεταπεισθέντος.

937. Ὦ γῆς Θήβης] Λοιπὸν πρὸς βίαν αὐτὴν ἄγουσιν [[m] οἱ ὑπήκοοι,] τὰ πρῶτα αὐτὴν ἐλεοῦντες καὶ αἰδούμενοι.

940. Οἱ κοιρανίδαι: Κοίρανοι· τοῖς ἀπὸ τοῦ Χοροῦ φησίν· εἰώθασι γὰρ οὐ μόνον τοὺς βασιλεῖς, ἀλλὰ καὶ τοὺς ἐνδόξους τῶν πολιτῶν οὕτω καλεῖν· ἢ πρὸς τὸν Κρέοντα, ἠθικῶς ἂν αὐτὸν εἰς συμμαχίαν προκαλουμένη· ἢ πρὸς τοὺς πάλαι βασιλέας, τοὺς προγόνους αὐτῆς.

941. Τὴν βασιλίδα] Τὴν βασίλειαν.

943. Σεβίσασα] Τιμήσασα.

944. Ἔτλα καὶ Δανάας: Οἷον, ἡ Δανάη ἔτλη μὴ εἶναι ἐν φωτὶ, ἀλλ' ἐν σκότῳ· [n] ἐπεὶ καὶ αὐτὴ ἐν χαλκῷ οἴκῳ ἐκέκρυπτο.

946. Κρυπτομένα δ' ἐν τυμβήρει: Κατεκλείσθη ὑπὸ τὴν κιβωτόν· ἢ ὑπὸ τὸν ζυγὸν τῆς ἀνάγκης ἦλθε καὶ τῆς εἱμαρμένης· ἢ κατεζεύχθη συνελθοῦσα τῷ Διΐ.

949. Ταμιεύεσκε] Ἀντὶ τοῦ, ἐν αὐτῇ εἶχε τὰς γονὰς τοῦ Διός· ὅ ἐστιν, [o] ἔγκυος ἦν.

951. Μοιριδία] Εἱμαρμένη.

*Ibid.* Οὔτ' ἄν νιν ὄμβρος οὔτ' Ἄρης: Ἄρης νῦν, ὁ πόλεμος· καὶ

[k] ἐνδίκως. ἢ ἐκδίκως ἤγουν ἔξω R. Br.
[l] τὸ L.
[m] οἱ ὑπήκοοι ab editore Romano addita. P. E.
[n] ἐπὶ L.
[o] ἔγγιος R.

γὰρ οὗτος κατὰ μοῖραν ἐγείρεται· βούλεται δὲ εἰπεῖν, ὅτι οὔτε τὰ ἐν οὐρανῷ, οὔτε τὰ ἐν τῇ γῇ, οὔτε τὰ ἐν τῇ θαλάττῃ πραττόμενα, παρὰ μοῖραν γίνεται.

952. Νιν] αὐτήν· τὴν μοῖραν.

955. Ζεύχθη δ' [p] ὀξυχόλως: Τὸ ἑξῆς· ζεύχθη πετρώδει κατάφρακτος ἐν δεσμῷ· μὴ οὕτω δὲ αὐτὸ λάβωμεν, ὅτι καὶ ἡ Ἀντιγόνη ἀσεβὴς οὖσα πέπονθεν ὅπερ ὁ ἀσεβὴς Λυκοῦργος· ἀλλ' ἁπλῶς τῇ παραθέσει τῶν ὁμοίων δυστυχιῶν παραμυθεῖται τὴν κόρην. Τὸν δεσμὸν δὲ τῆς ἀμπέλου πετρώδη εἶπεν, ἀντὶ τοῦ, τὸν ἰσχυρόν.

956. Κερτομίοις ὀργαῖς] Διὰ τὰς κερτομίους ὀργάς.

958. Πετρώδει] Τῷ στερεῷ δεσμῷ τῆς ἀμπέλου.

959. Οὕτω τὰς μανίας δεινὸν ἀποστάζει: Οὕτω καὶ τοῦ Λυκούργου ἀπὸ τῆς μανίας ὀργὴ ἀποβαίνει. Μένος γάρ, ἡ ὀργή. Ἀνθηρὸν δὲ, τὸ ἀκμαῖον καὶ ἀνθοῦν ἐν κακοῖς.

*Ibid.* Δεινὸν] Ἀντὶ τοῦ, πολύ.

960. Μένος] [q] Μανία.

*Ibid.* Κεῖνος ἐπέγνω: Τὸ ἑξῆς· κεῖνος ἐπέγνω τὸν θεὸν [r] κερτομίοις γλώσσης μανίαις ψαύων.

963. Ἐνθέους] Τὰς θεολήπτους Βάκχας.

964. Εὔϊόν τε πῦρ] Τὸ ὑπὸ τῶν Βακχῶν αἰρόμενον ἐν ταῖς Διονυσιακαῖς δαδουχίαις.

965. Φιλαύλους ἠρέθιζε Μούσας: Κακολογῶν αὐτὰς, ἠρέθιζε κατ' αὐτοῦ· λέγει οὖν, ἐτάρασσε καὶ ἐσκόρπιζε τὰς τῶν αὐλῶν ᾠδάς. Ἢ οὕτως· τὰς Μούσας τὰς περὶ τὸν Διόνυσον ἐχλεύαζεν, τουτέστι, τοὺς ὕμνους ἢ τοὺς λόγους· τινὲς δὲ φασὶν, ὅτι καὶ τὰς Μούσας ὕβρισεν.

966. Παρὰ δὲ κυανέων πελαγέων: Ἀντὶ τοῦ, παρὰ δὲ τοῖς κυανέοις πελάγεσι τῆς διδύμης θαλάττης, γέγονεν ἐμφύλια κακὰ περὶ τοὺς Φινείδας. Κυανέοις δὲ πελάγεσιν εἶπεν, τοῖς ὑπὸ τῶν Κυανέων πετρῶν περιεχομένοις. Διδύμας [s] δὲ ἁλὸς, ἢ διὰ τὸ διαχωρίζεσθαι ὑπ' αὐτῶν τὴν θάλασσαν, ἢ διὰ τὸ συνιέναι αὐτὰς καὶ ἑνοῦσθαι, διδύμας αὐτὰς φησίν.

[p] ὀξυχο (suprascripto λ). L. ὀξυχόλῳ R.
[q] Gl. om. R. Br.
[r] κερτομίοις γλώσσαις μανίας (suprascripto αις) ψαύων, L. κ. γλῶσσαν μανίαις ψ. R.
[s] δὲ om. R. Br. qui infra om. αὐτάς.

968. Ἀκταὶ Βοσπόριαι] Αἱ ὑπὸ τοῦ Βοσπόρου τοῦ πελάγους περιεχόμεναι.

969. Ἠδ' ὁ Θρῃκῶν Σαλμυδησσός: Ὁ Θρᾳκικὸς Σαλμυδησσός· πέλαγος δέ ἐστι δυσχείμερον περὶ Θρᾴκην· Αἰσχύλος·

[t] Σαλμυδησσία γνάθος
ἐχθρόξενος ναύτησι, [u] μητρυιὰ νεῶν.

970. Ἵν' ἀγχίπολις Ἄρης: Παρὰ γὰρ Θρᾳξὶ τιμᾶται ὁ Ἄρης, ὡς καὶ ὁ ποιητής·

[w] Τὼ μὲν ἄρ' ἐκ Θρῄκης [x] Ἐφύρους μέτα θωρήσσεσθον.

Τὸ δὲ ἵνα τοῖς ἄνω συνάπτεται, ἵνα ἀκταὶ Βοσπόριαι, καὶ οὐδὲν λείπει· ὅσοι δὲ γρ. ὃν Ἄρης, περιττὸν λαμβάνουσι τὸ ὄνομα.

971. Δισσοῖσι Φινείδαις: Τῶν δισσῶν Φινείδων, Πληξίππου καὶ Πανδίονος, ἢ [y] Τηρύμβα καὶ Ἀσπόνδου.

973. Τυφλωθὲν] Τὸ ἑξῆς· τυφλωθὲν ὀμμάτων κύκλοις.

974. Ἀλαστόροισι] Τοῖς ἄλαστα πεπονθόσιν, ἢ τοῖς δυστυχέσι κύκλοις τῶν ὀμμάτων.

975. Ἀραχθὲν] Ἀντὶ τοῦ, τυφλωθέν.

*Ibid.* Ἀραχθὲν ἐγχέων: Ἀραχθὲν αἱματηραῖς [z] χείρεσσιν, ὑπ' ἐγχέων καὶ κερκίδων ἀκμαῖς, τουτέστι γυναικείαις.

976. Ἀκμαῖσιν] [a] Ὀξύτησι.

978. Μελέαν πάθαν] Ὅτι τελευτήσασα ἀφῆκεν αὐτοὺς ὑπὸ μητρυιάν· ἢ ὅτι αὐτὴ αὐτοὺς ἐξετύφλωσεν.

980. Ἀνύμφευτον γονάν: Κακόνυμφον γονήν· ὅτι ἐπὶ κακῷ νυμφευθεῖσα, δυστυχεῖς αὐτοὺς ἔτεκεν· ἢ τὴν ἀνύμφευτον ἑαυτῷ κοινωνίαν, οἷον, τῆς πρὸς γυναῖκας [b] κοινωνίας ἄπειροι ὄντες.

*Ibid.* Ἃ δὲ σπέρμα μὲν ἀρχαιογόνων: Βορέας κῆδος συνῆψε τοῖς Ἀθηναίοις, ἁρπάσας Ὠρείθυιαν τὴν Ἐρεχθέως, ἐξ ἧς ἔσχεν Ζήτην καὶ Κάλαϊν καὶ Κλεοπάτραν· ταύτην ὁ Φινεὺς ἔγημεν, ἐξ ἧς αὐτῷ δύο παῖδες ἐγένοντο, Πλήξιππος καὶ Πανδίων, κατὰ δέ τινας, Τηρύμβας καὶ [c] Ἄσπονδος. Μετὰ δὲ τὸν Κλεοπάτρας θάνατον ἐπέγημεν

[t] Prom. 725.
[u] μητρυὰ L.
[w] Il. ν'. 301.
[x] ἐφύρην μέτα θωρήσσέσκον R. qui in superiore schol. Σαλμυδισσὸς bis et Σαλμυδισσία.
[y] MS. hic γηρύμβα, sed paulo post recte τηρύμβας. P. E.
[z] MS. χείρεσιν.
[a] Gl. om. R. Br.
[b] συνουσίας R. Br.
[c] ἄσπονδος] MS. ἄσπαδος. Supra recte ἀσπόνδου. P. E.

Ἰδαίαν τὴν Δαρδάνου, κατὰ δέ τινας, Εἰδοθέαν τὴν Κάδμου ἀδελφὴν, ἧς καὶ αὐτὸς Σοφοκλῆς μνημονεύει ἐν Τυμπανισταῖς, ἥτις ἐξ ἐπιβουλῆς τυφλώσασα [a] τοὺς Κλεοπάτρας παῖδας, ἐν τάφῳ καθεῖρξεν· ὡς δὲ τινὲς φασὶν, ὅτι κατεψεύσατο αὐτῶν, ἅτε δὴ πειρασάντων αὐτήν· ἐφ' οἷς ἀπατηθεὶς ὁ Φινεὺς, ἀμφοτέρους τυφλοῖ· ταῦτα δὲ ἱστορεῖ Ἀπολλόδωρος ἐν τῇ Βιβλιοθήκῃ. Τινὲς δὲ ἱστοροῦσιν, ὅτι περιοῦσαν τὴν Κλεοπάτραν ὁ Φινεὺς ἐκβέβληκεν, καὶ τὴν Ἰδαίαν ἐπέγημεν· ἡ δὲ ὀργισθεῖσα τοὺς ἑαυτῆς ἐτύφλωσεν παῖδας. [Εἰς τὸ αὐτό.] [b] Βορέου γὰρ καὶ Ὠρειθυίας τῆς Ἐρεχθέως ἦν ἡ Κλεοπάτρα.

982. Ἐρεχθειδᾶν] [c] Τῶν Ἀθηναίων.

985. Ἅμιππος: Ταχεῖα, ἴσον ἵππῳ δυναμένη τρέχειν. Εἰ δὲ γρ. ἁμίπποις, πρὸς τὸ θυέλλαις· τράφη θυέλλῃσιν ἁμίπποις, ταῖς ἐξισουμέναις ἵπποις, ὡς καὶ Ὅμηρος·

[d] θείειν δ' ἀνέμοισιν ὁμοῖοι.

*Ibid.* Πάγου: [e] Ὑψηλοῦ ὄρους καὶ ἀκρωρείας.

986. Ἀλλὰ κἀπ' ἐκείνᾳ: Ἀλλὰ καὶ κατ' ἐκείνης, τῆς θυγατρὸς Βορέου, τῆς ἐξ Ἐρεχθειδῶν γεγονυίας, ἐνέσκηψαν αἱ πολυχρόνιοι Μοῖραι, καὶ μεγάλα δυστυχῆσαι αὐτὴν πεποιήκασιν. Ἢ μεγάλαι δυστυχίαι καὶ ἐπ' ἐκείνῃ τῇ Κλεοπάτρᾳ ἦλθον.

987. Μακραίωνες: Ἀθάνατοι καὶ πολυχρόνιοι. Ἔσχον δὲ, ἐπέσχον, ἐπετέθησαν, ἐπεβάρησαν.

988. Θήβης ἄνακτες] Καὶ νῦν ἄνακτας φησὶ τοὺς ἀπὸ τοῦ Χοροῦ ἐντίμους.

989. Τοῖς τυφλοῖσι γάρ] Ἡ ὁδὸς τοῦ τυφλοῦ μετ' ἄλλου ἐστιν.

993. Οὔκουν πάρος γε] Οἷον, οὐδὲ τὴν ἀρχὴν τῆς σῆς κατωλιγώρουν μαντείας.

997. Τὸ σὸν φρίσσει στόμα] Ἀντὶ τοῦ, τὸν σὸν λόγον.

999. Θᾶκον] Θᾶκος, τόπος οὕτω καλούμενος.

1000. Λιμήν: Ὅρμος καὶ ἕδρα, ὅπου πάντα τὰ ὄρνεα προσέρχονται.

1001. Κακῷ: [f] Ἐπὶ κακῷ.

1002. Βεβαρβαρωμένῳ] Ἑρμηνευθῆναι μὴ δυναμένῳ, ἀλλὰ ἀσαφεῖ.

[a] τοὺς τῆς R. τῆς tantum L. Vid. Apollodor. III. 15. p. 368.
[b] Gl. om. R. Br.
[c] τῶν Ἀθηνῶν L. Gl. om. R. Br.
[d] Il. κ'. 437.
[e] Gl. om. R. Br.
[f] λείπει ἐπὶ R. λείπει ἡ ἐπί· ἐπὶ Br.

1003. Χηλαῖσιν] [g] Τοῖς ὄνυξι.

*Ibid.* Φοναῖς] ταῖς [h] αἱμακτικαῖς.

1005. Ἐμπύρων ἐγευόμην] Ἀντὶ τοῦ, ἀπεπειρώμην τῆς διὰ πυρὸς μαντείας.

1008. Μυδῶσα] Δίυγρος οὖσα ἡ καῦσις. Κηκὶς δὲ, ἡ ἀνάδοσις ἐνταῦθα· κυρίως δὲ ἡ λιγνὺς τοῦ καπνοῦ, ἢ ἡ ἀπὸ τῶν καιομένων γινομένη.

1009. Κἄτυφε] Καὶ ἔτυφε. [Εἰς τὸ αὐτό.] Τύφειν ἐστὶ, τὸ ἠρέμα ὑποσμύχειν. Ἀνέπτυε δὲ, [i] ἀνέβαλλε τὰ μηρία ἐκ τοῦ λίπους.

*Ibid.* Κἀνέπτυε] Ἀνέβαλεν.

1010. Καταρρυεῖς: Καταρρεόμενοι, καθυγραινόμενοι, ἐκ τοῦ λίπους τῆς καλυπτούσης [k] αὐτοὺς πιμελῆς ἐξέπιπτον.

1012. Παιδὸς τοῦδε] τοῦ [l] ὁδηγοῦντος.

1013. Φθίνοντ'] Ἡ φθοροποιὰ, ἢ διὰ τοῦ πυρὸς ἀσήμως φθειρόμενα.

1016. Ἐσχάραι: Αἱ ἑστίαι.

*Ibid.* Παντελεῖς: Αἱ τὰ τέλεια τῶν ἱερείων δεχόμεναι· ἢ ὅλαι· ἢ δι' ὧν πάντα τελειοῦται.

1017. Πλήρεις ὑπ' οἰωνῶν τε καὶ κυνῶν βορᾶς] Ἀντὶ τοῦ, οἱ κύνες καὶ οἱ ὄρνιθες διασπάσαντες τὸ τοῦ Πολυνείκους σῶμα, ἐπὶ τοὺς βωμοὺς ἐκόμισαν, καὶ οὕτως [m] ἐμόλυναν ἅπαντας.

1019. Θυστάδας λιτάς] Τὰς διὰ θυσιῶν γινομένας λιτάς.

1021. Ἀπορροιβδεῖ] Ἀπηχεῖ, ἀφίησιν.

1022. Βεβρῶτες] Ἀπὸ τοῦ ἑνικοῦ ἐπὶ τὸ πληθυντικὸν μετέβη.

1027. Ἀκεῖται] Ἰᾶται, θεραπεύει.

*Ibid.* Ἀκίνητος] Ἀμετάθετος.

1028. Αὐθαδία τοι] Διὰ τὴν [n] αὐθαδίαν εἰς σκαιότητα πίπτουσιν οἱ ἄνθρωποι.

1030. Τίς ἀλκή] Καὶ Ὅμηρος·

[o] Κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων.

1034. Τοξεύετ'] [p] Ἀποπειρᾶσθέ μου, ὡς τοξόται σκοποῦ.

*Ibid.* Ἀνδρὸς τοῦδε] Ἀντὶ τοῦ, ἐμοῦ.

[g] ἀντὶ τοῦ τοῖς R. Br.
[h] αἱματικαῖς R. Br.
[i] ἀνέβαλε R. Br.
[k] αὐτοὺς om. R. Br.
[l] ὁδηγοῦντος δηλονότι R. Br.
[m] ἐμόλυνεν L.
[n] αὐθάδειαν R. Br.
[o] Il. ω'. 54. κουφὴν L.
[p] ἤγουν ἀποπ. R. Br.

1035. Ὑμῖν] Ὑφ' ὑμῶν τῶν μάντεων, καὶ τῶν συγγενῶν.

1036. Ἐξημπόλημαι: [q]Ἀνεμπόλητος, μὴ πεπραγματευμένος. Καὶ Ὅμηρος·

[r] οἵ τε πρηκτῆρες ἔασιν.

[s] ἢ πέπραμαι.

*Ibid.* Κἀμπεφόρτισμαι: Πεπραγμάτευμαι, προδέδομαι, φόρτος γεγένημαι·

Ἐποιήσαντό με φόρτον.

Καλλίμαχος.

1037. Τὸν πρὸ Σαρδέων ἤλεκτρον: Σάρδις, πόλις Λυδίας, παρακειμένη τῷ χρυσοφόρῳ Πακτωλῷ· ἀντὶ τοῦ, εἴ τι βούλεσθε εἰς χρήματα νεῦον, δέχεσθε· τὸν γὰρ Πολυνείκη οὐ θάψετε.

1044. Θεοὺς μιαίνειν] Ἀμίαντον γὰρ τὸ θεῖον.

1049. Ποῖον τοῦτο πάγκοινον: Τῷ βίῳ κοινόν. Ἐπεὶ εἶπεν, ἆρ' οἶδεν ἀνθρώπων τις, καὶ καθόλου ἔλαβεν πᾶσι κοινὸν καὶ φανερόν.

1052. Τῆς νόσου] Ἀντὶ τοῦ, τῆς ἀβουλίας.

1057. Ἆρ' οἶσθα ταγούς] [t]Οἶδας, φησὶ, βασιλέας ὑβρίζων.

1060. Τὰ ἄῤῥητά με δημοσιεύειν ἀνακινεῖς.

1062. Οὕτω νομίζεις, ὅτι ἐπὶ κέρδεσι λέγω;

1063. Ἐμπολήσων] Ἐξαπατήσων.

1064. Μὴ πολλοὺς ἔτι] Μὴ πολλοὺς ἡλίου δρόμους τελέσων, ὅ ἐστιν, ἡμέρας. Ἁμιλλητῆρας δὲ, τοὺς ἀλλήλους διαδεχομένους. Τροχοὺς δὲ, ἀντὶ τοῦ, κύκλους, δρόμους. Τελῶν δὲ, ἀντὶ τοῦ, τελέσων. [u]Ἴσθι, φησὶν, οὐ πολλοὺς δρόμους ἡλίου τελέσων.

1068. Ἔχεις βαλών] Ἀντὶ τοῦ, ἔβαλες.

*Ibid.* Ψυχήν] Τὴν τῆς Ἀντιγόνης.

1071. Ἀνόσιον] [w] Μὴ τυχόντα τῶν ὁσίων νῦν.

1072. Μέτεστιν] Ἐξουσία δέδοται· λέγει δὲ τῶν νεκρῶν. Ἐκ σοῦ δὲ βιάζονται καὶ οἱ ἄνω θεοὶ ἔχειν αὐτὸν ἄνω ἄταφον.

1074. Ὑστεροφθόροι] Αἱ ὕστερον μέλλουσαι βλάψαι· καὶ τὸ λοχῶσι γὰρ, τὴν οὐ παράχρημα, ἀλλὰ τὴν ἐς ὕστερον ἀψοφητὶ τιμω-

[q] ἤγουν πέπραμαι, πεπραγμάτευμαι Br.

[r] Od. θ'. 162. Post ἔασιν addit Br. ἀνεμπόλητος, μὴ πεπραγματευμένος.

[s] ἢ πέπραγμαι. πεπραγμάτευμαι. καμπεφόρτισμαι. προδέδομαι R. Mox Καλλίμαχος accessit ex L.

[t] οἶσθα R. Br.

[u] Seqq. om. Br.

[w] νῦν τὸν μὴ τ. τ. ὁ. λέγει. R. Br.

ρίαν δηλοῖ· τὸ ἀρσενικὸν δὲ ἀντὶ τοῦ θηλυκοῦ ἔταξεν, ὡς καὶ τὸ "σω-"τῆρι [x] τύχῃ."

1077. Κατηργυρωμένος] Ἀργύρῳ πεισθείς.

1078. Φανεῖ] Δείξει.

*Ibid.* Χρόνου τριβή: Ἀντὶ τοῦ, ἀναβολή.

1079. Ἀνδρῶν, γυναικῶν] Λείπει ὁ καί· καὶ γυναικῶν.

1080. Ἐχθραὶ] Ἡ Θηβαίοις ἐχθραὶ, ἢ τοῖς θεοῖς· αἱ πόλεις δὲ, φησὶν, ὧν ἄρχεις, ἐπαναστήσονταί σοι.

1081. Καθήγισαν] Μετὰ ἄγους ἐκόμισαν.

1083. Ἑστιοῦχον] Τὴν ἔχουσαν ἑστίαν καὶ βωμούς.

*Ibid.* Ἑστιοῦχον ἐς πόλιν] Ἀντὶ τοῦ, ἐπὶ τὴν ἑστίαν τῆς πόλεως.

1084. Τοιαῦτα κατὰ τῆς καρδίας σου τοξεύματα ἀφῆκα μετὰ θυμοῦ· ἢ τῷ θυμῷ τῆς καρδίας σου· λείπει δὲ ἡ κατά.

1086. Θάλπος: Τὴν δριμύτητα, τὸν ἐμπρησμὸν, τὸν ἰόν· θάλπος γὰρ τὸ καῦμα, ἐκ μεταφορᾶς δὲ τῶν ἑρπετῶν· ἐκεῖνα γὰρ θερμαινόμενα, τὸν ἰὸν ἀφίησι· διὸ καὶ ἐν θέρει μᾶλλον ἰσχύουσιν.

1092. Ἐξότου λευκὴν ἐγώ] Ἀντὶ [y] τοῦ, ἀπὸ νεότητος ἄχρι γήρως.

1094. Λακεῖν] Φθέγξασθαι.

1096. Τὸ μὲν ὑποχωρεῖν, δεινόν· τὸ δὲ ἀντιστάντα [z] βλαβῆναι.

1103. Συντέμνουσι] Συντόμως κατακόπτουσι καὶ βλάπτουσι.

1105. Μόγις μεθίσταμαι τῆς προτέρας γνώμης.

1106. Δυσμαχητέον] Περιττεύει τὸ δυς.

1107. Δρᾶ] Ἀντὶ τοῦ, δρᾶσον.

1110. Ἐπόψιον] Φανερὸν, διὰ τὸ ὕψος· φησὶ δὲ τὸν τάφον.

1111. Δόξα τῇδ' ἐπεστράφην] Δοκήσει μετεστράφην.

1113. [a] Δέδοικα, φησὶ, μὴ οὐκ ἔστι καλὸν τὸ νομοθετεῖν καινά· ἀλλ' ἄριστόν ἐστι τὸ πείθεσθαι τοῖς ἀρχαίοις νόμοις.

1115. Πολυώνυμε] Ὦ Διόνυσε· οἱ μὲν γὰρ Βάκχον, οἱ δὲ Ἴακχον, οἱ δὲ Λύαιον, οἱ δὲ Εὔϊον, οἱ δὲ Διθύραμβον αὐτὸν καλοῦσιν.

1119. Ἰταλίαν] Διὰ τὸ πολυάμπελον τῆς χώρας.

*Ibid.* Παγκοίνοις] Ἐν οἷς πάντες συνάγονται, διὰ τὰς πανηγύρεις, ἢ διὰ τὸ τὴν θεὸν πάντας τρέφειν. Ἢ ὅτι κοινὰ τὰ μυστήρια Δήμητρος καὶ Διονύσου.

[x] ψυχῇ. L. R. Locus est Oed. Tyr. 81.

[y] τοῦ om. R.

[z] βλαβῆναι] Sic L. nec plura. βλαβῆναι πάρεστι R. Br.

[a] δέδοικα γὰρ R. Br.

1121. Κόλποις: Ἀντὶ τοῦ, [b] πεδίοις.

1122. Ὦ Βακχεῦ Βακχᾶν] Τῶν Βακχῶν Βακχευτά.

*Ibid.* Μητρόπολιν] Τὴν πόλιν τῆς μητρός σου.

1123. Ἀγρίου τ' ἐπὶ σπορᾷ δράκοντος] Παρὰ τὸν τόπον, ἐν ᾧ ἐσπάρησαν οἱ ὀδόντες τοῦ δράκοντος.

1126. Σὲ δ' ὑπὲρ] Σὲ ὁρᾷ ὁ λαμπρὸς καπνός· ἀντὶ τοῦ, σοὶ θυσίαι κατὰ Παρνασσὸν γίνονται· ἢ παρ' ὅσον αὐτόματον πῦρ ἐκεῖσε ἀναδίδοται.

*Ibid.* Διλόφου πέτρας] Τοῦ [c] Παρνασσοῦ· τοιοῦτο γάρ ἐστι τὸ ὄρος.

1127. Στέροψ] Ἡ λαμπρά.

1128. Κωρυκίαι] Αἱ Παρνασσίδες. Κωρύκιον γὰρ ἄντρον ἐν Παρνασσῷ.

1130. Κασταλίας] Πηγὴ ἐν Παρνασσῷ.

1131. Νύσσα, Φωκίδος ὄρος· εἰσὶ δὲ καὶ ἄλλαι πολλαὶ Νύσσαι.

1132. Κισσήρεις] Κισσοφόροι.

1133. Χλωρά τ' ἀκτά] Ἢ τὸ ἐν Εὐβοίᾳ φησὶν ἄλσος, ἢ τὸ ἐν Παρνασσῷ· ἐν ἀμφοτέροις γὰρ [d] τόποις ἡ ἄμπελος, ἣ καθ' ἑκάστην ἡμέραν περὶ μὲν τὴν ἕω βότρυας φέρει· περὶ δὲ τὴν μεσημβρίαν, ὄμφακας· ἐτρυγᾶτο δὲ πεπανθεῖσα περὶ τὴν ἑσπέραν.

1136. Ἐπισκοποῦντ' ἀγυίας] [e] γρ. ἐπισκοποῦντα γυίας.

*Ibid.* Εὐαζόντων: Ὑμνούντων, μετὰ εὐφημίας εὐοῖ λεγόντων, ὅς ἐστιν ὕμνος Διονύσου.

1139. Κεραυνίᾳ] Κεραυνοβλήτῳ.

1142. Μολεῖν] Λείπει θέλησον· ἢ ἀπαρέμφατον ἀντὶ προστακτικοῦ.

*Ibid.* [f] Οἷον, διὰ γῆς ἢ δι' ὑγρᾶς.

1143. Παρνησίαν ὑπὲρ κλιτὺν] Ἀντὶ τοῦ, Παρνησίας ὑπὸ κλιτύος.

1144. Ἢ στονόεντα πορθμόν: Ἢ στονόεντος διὰ πορθμοῦ· καὶ ὁ ποιητής·

[g] ὁ δ' ἔστενεν οἴδματι θύων.

Στονόεντα δὲ, τὸν ἠχώδη διὰ τὰ κύματα. Πορθμὸν δὲ ἔνιοι, τὸν [h] ἀπ' Εὐβοίας εἰς Βοιωτίαν· οἱ δὲ, τὴν Σικελικὴν θάλασσαν.

1146. Ἰὼ πῦρ πνεόντων χοραγέ: Τῶν πυρπνόων ἄστρων ἐπίσκοπε·

[b] ἐν τοῖς πεδίοις R. ἐν πεδίοις Br.
[c] Παρνάσσου δηλονότι R. Br.
[d] τοῖς τόποις R. Br.
[e] Gl. om. R. Br.
[f] Haec ponunt R. Br. post ὑπὸ κλιτύος.
[g] Il. ψ. 230.
[h] ὑπ' L. R.

καὶ γὰρ αἰθέριος τιμᾶται, ὡς καὶ Εὐριπίδης [i] ἐν Βακχαῖς φησὶν αὐτὸν ἐν αἰθέρι κατοικεῖν. Ἄλλως. Χοραγὲ, τὸν χορὸν ἄγων· ἢ τῶν ἄστρων χορηγέ· κατὰ γάρ τινα μυστικὸν λόγον, τῶν ἀστέρων ἐστὶ χορηγός.

*Ibid.* Καὶ νυχίων φθεγμάτων: Τῶν ἐν νυκτὶ εὐφημιῶν, καὶ ὕμνων· ἐν νυκτὶ γὰρ αἱ Διονυσιακαὶ χορεῖαι γίνονται· [k] ὅθεν καὶ νυκτέλιος. Καὶ Εὐριπίδης·

Νύκτωρ τὰ πολλά· σεμνότητ' ἔχει σκότος.

1152. Περιπόλοις: Ταῖς ἱερείαις, ταῖς σαῖς ἀκολούθοις· καὶ ἐν Νάξῳ γὰρ τιμᾶται, ὅτι ἐκεῖ τῇ Ἀριάδνῃ συνεγένετο.

*Ibid.* Αἵ σε] Λείπει ἡ περὶ, ἵν' ᾖ, αἵ τινες περὶ σέ.

1156. Οὐκ ἔσθ' ὁποῖον στάντα: Ὁπωσδήποτε βεβιωκότα, εἴτε καλῶς, εἴτε ἐναντίως.

1158. Καταρρέπει] Πίπτει, καταβάλλει· γρ. δὲ [l] καταῤῥέπει, ὅ ἐστιν, πίπτειν ποιεῖ.

1161. Ὡς ἐμοί] Λείπει, ἐδόκει.

1165. Ἀφεῖται] Ἀπολέλυται, ἀπόλλυται. [Εἰς τὸ αὐτό.] Ἡ μεταφορὰ ἀπὸ τῶν παιζόντων τοῖς κύβοις, ἢ ἀπὸ τῶν ἁλιέων· βόλος γὰρ, ἡ τοῦ δικτύου ἄφεσις.

1166. Προδῶσιν] Ἀπολέσωσιν.

*Ibid.* Οὐ τίθημ' ἐγώ: Οὐ τίθημι, φησὶν, ἐν τοῖς ζῶσι τὸν τοιοῦτον· οἷον, οὐ νομίζω ζῆν ἐκεῖνον τὸν ἄνδρα, ὃν ἂν προδῶσιν αἱ ἡδοναί.

1168. Ζῆ: Ἀντὶ τοῦ ζῆθι, προστακτικῶς.

1170. Τἄλλ' ἐγὼ καπνοῦ σκιᾶς] [m] Οὐδ' ἂν ἀχρήστου τινὸς πριαίμην τὰ ὑπόλοιπα.

1173. Οἱ δὲ ζῶντες αἴτιοι θανεῖν] Τούτοις δὲ τοῦ θανεῖν αἴτιοι ἐγένοντο οἱ ζῶντες.

1176. Τό χ, ὅτι ἐρωτᾷ πότερα πατρῴας ἢ πρὸς οἰκείας χερὸς, ἀκούσας ἤδη ὅτι αὐτόχειρ ἀπέθανεν.

1180. Εὐρυδίκην] Ἡσίοδος Ἡνιόχην αὐτὴν καλεῖ.

Ἵκετο δ' εἰς [n] Κρείοντα καὶ Ἡνιόχην.

*Ibid.* Ὁμοῦ: Ἐγγύς.

1182. Κλύουσα παιδός] Λείπει ἡ [o] περί.

[i] ἐν Βακχαῖς om. Br. Cf. v. 1076.
[k] ὅθεν κ. ν. om. Br. qui addidit ἐν Βάκχαις post Εὐριπίδης. Est v. 486.
[l] καταρρέπειν L. R. Ad lemma adscripsit P. E. κατατρέπει.
[m] τὰ ὑπόλοιπα οὐδ' ἂν R. Br.
[n] Κρέοντα L. R.

*Ibid.* Τύχῃ] Ὅ ἐστιν, ἐκ τύχης.

1185. Εὐγμάτων προσήγορος] Δι' εὐχῶν προσαγορεύουσα.

1186. Ἀνασπαστοῦ] Δυσχερῶς ἀνασπωμένης καὶ ἀνοιγομένης.

1189. Ἀποπλήσσομαι] Ἐκπλήττομαι.

1193. Παρήσω] Παραλιμπάνω.

*Ibid.* Μαλθάσσοιμι] Ἀπατήσαιμι.

1197. Νηλεές] [p] Ἐλέους μὴ τυχόν.

1199. Πρὸς τὸ ἑξῆς· καὶ τὸν μὲν λούσαντες.

*Ibid.* Ἐνοδίαν θεόν] Τὴν Ἑκάτην, ἢ τὴν Περσεφόνην.

1202. Θαλλοῖς] Ξύλοις.

*Ibid.* Συγκατήθομεν] Συγκατεκαίομεν.

1203. Ὀρθόκρανον] Ὑψηλόν.

1205. Νυμφεῖον] Τὸν νυμφῶνα.

1207. Ἀκτέριστον] Τὸν κακοκτέριστον τῆς Ἀντιγόνης τόπον. Ἢ τὸν μὴ δεξάμενον ἐντάφια.

1209. Ἄσημα περιβαίνει βοῆς] Τὰ κακὰ σύμβολα τῆς βοῆς περιστοιχίζεται.

1215. Ἴτ' ἆσσον] Προσέλθετε.

1216. Ἁρμὸν χώματος λιθοσπαδῆ] Τὴν ἐκ λίθων ἁρμονίαν τοῦ τάφου, ἢ τὸ ὑψηλὸν μέρος τοῦ χώματος, τὸ ἡρμοσμένον λίθοις.

*Ibid.* Λιθοσπαδῆ] Ὡς λίθου ἀποσπασθέντος, ὅπως εἰσέλθῃ ὁ Αἵμων· ἢ ὑμεῖς ἀποσπάσαντες ἀθρήσατε.

1218. Ἢ θεοῖσι κλέπτομαι] Ἢ ἀπατῶμαι ὑπὸ [q] θεῶν.

1220. Ἠθροῦμεν] Ἐθεωροῦμεν.

1222. Μιτρώδη [r] βρόχον, ὅστις ἦν αὐτῇ ζώνη ἀπὸ σινδόνος.

*Ibid.* Καθημμένην] Τὸν τράχηλον δεδεμένην.

1232. Πτύσας προσώπῳ: Οἷον, ἀποστραφεὶς καὶ σκυθρωπάσας, καὶ ἐκ τοῦ προσώπου καταμεμψάμενος· οὐ κυρίως προσπτύσας τῷ πατρὶ, ὡς καὶ ἡμεῖς ἐν τῇ συνηθείᾳ φαμὲν, κατέπτυσεν αὐτοῦ, ὅ ἐστι, κατεφρόνησε τῶν λόγων αὐτοῦ. Οὐχ εἷλκεν [s] δὲ τὸ ξίφος κατὰ τοῦ πατρὸς, ὥσπερ ᾤετο· εἶπεν γὰρ ἄνω,

[t] Ἡ δ' οὖν θανεῖται, καὶ θανοῦσ' ὀλεῖ τινά.

Ὁ ἄγγελος δὲ οὕτω νομίζων ἀπαγγέλλει.

[o] περὶ, ἵν' ᾖ περὶ τοῦ παιδός R. Br.
[p] ἀντὶ τοῦ ἐλέους R. Br.
[q] τῶν θεῶν R. Br.
[r] βρόχον λέγει R. Br.
[s] δὲ om. Br.
[t] V. 751.

1233. Διπλοῦς κνώδοντας: Ἀντὶ τοῦ, διπλᾶς ἀκμάς· ἄμφηκες γὰρ τὸ ξίφος· κνώδων δὲ, τὸ ὀξὺ τοῦ ξίφους, παρὰ τὸ καίνειν τοῖς ὀδοῦσι.

1236. Τὸ ἔγχος οἱ τραγικοὶ καὶ ἐπὶ ξίφους λαμβάνουσιν.

1239. Φοινίου σταλάγματος: Τὴν πνοὴν τοῦ φοινίου σταλάγματος ἐκβάλλει τῇ λευκῇ αὐτῆς παρειᾷ, ὅ ἐστιν, αἷμα ἐξέπνευσεν.

1240. Τὰ νυμφικὰ τέλη] Τοὺς γὰρ γαμοῦντας, τελείους ἐκάλουν.

1246. Ἐλπίσιν δὲ βόσκομαι] [u] Ἐλπίζω αὐτὴν μὴ βούλεσθαι δημοσίᾳ θρηνεῖν, ἀλλ' ἐν τῷ οἰκήματι μετὰ τῶν θεραπαινίδων.

1250. Οὐκ ἀνόητος, φησὶν, ὑπάρχει, ὥστε δημοσίᾳ ὀδύρεσθαι. Ἁμαρτάνειν δὲ λέγει νῦν, τὸ ἐμφανῶς θρηνεῖν.

1253. Ἀλλ' ἔσω ἀπελθόντες μαθησόμεθα, μή τι καὶ μανιῶδες κρύφα βουλεύεται, ἀνελεῖν ἑαυτὴν πειρωμένη.

1257. Ἐφήκει] Ἀντὶ τοῦ, ἥκει.

1258. Μνῆμα: Τὸν νεκρόν.

1259. Οὐκ ἀλλοτρίαν ἄτην] Οὐ δι' ἄλλον ἀποθανόντα, οὐκ ἐξ ἄλλου νεκρωθέντα.

1263. Θανατόεντα] Θανάτου ἄξια, ἢ θανάτου αἴτια.

1265. Ἄνολβα] Ἀνωφέλητα.

1266. Ἰὼ παῖ νέος] Νέᾳ ἡλικίᾳ, καὶ καινοπρεπεῖ θανάτῳ τετελεύτηκας.

1270. Ἰδεῖν] γρ. ἔχειν.

1274. Ἀγρίαις ὁδοῖς] Ἀγρίαις ὁρμαῖς.

1275. Λακπάτητον] Τὴν μεθ' ὕβρεως ἀπωθουμένην· ἢ τὴν μεγάλως καταπατουμένην.

*Ibid.* Λακπάτητον ἀντρέπων χαράν] Τὴν χαρὰν λὰξ πατήσας.

1279. Τὰ μὲν πρὸ χειρῶν] Ὡς τοῦ Κρέοντος τὸν παῖδα βαστάζοντος.

1282. Παμμήτωρ] Ἡ κατὰ πάντα μήτηρ· [w] ἐμφατικῶς δὲ εἶπεν, ὅτι καὶ μέχρι θάνατου μήτηρ ἐδείχθη, μὴ ἑλομένη ζῆν μετὰ τὸν παιδὸς θάνατον.

1286. Κακάγγελτα] Κακὴν ἀπαγγελίαν ἔχοντα.

1288. Ἐπεξειργάσω] Ἐπέσφαξας.

[u] νομίζω R. Br. [w] ἐμφαντικῶς R. Br.

1288. *Σφάγιον γυναικεῖον μόρον*: Τὸν *ἀπὸ σφαγῆς τῆς γυναικὸς μόρον*.

1291. Ἐπ' *ὀλέθρῳ*: Τοῦ Αἵμονος.

1293. *Οὐ γὰρ ἐν μυχοῖς ἔτι*] Ἐγκέκλεισται *ἡ γυνή*.

1298. Τάδ' *ἐναντία*] *γρ. τὸν δ' ἔναντα*.

1301. Ὀξύθηκτος] Ὀξεῖαν *λαβοῦσα πληγήν*.

*Ibid.* Βωμία *πέριξ*] Ὡς *ἱερεῖον περὶ τὸν βωμὸν ἐσφάγη* [ww] *παρὰ τὸν βωμὸν προπετής*.

1302. *Λύει κελαινὰ*] Ἀπόλλυται.

1303. *Τοῦ πρὶν θανόντος* Μεγαρέως] Ὡς *αὐτῆς προγαμηθείσης* Μεγαρεῖ *τινι πρὸ τοῦ* Κρέοντος· *οἱ δὲ φασὶ τοῦ* Μενοικέως, *τοῦ ἀποσφάξαντος ἑαυτόν· πρότερον γὰρ* Μεγαρεὺς *ἐκαλεῖτο· ἐν δὲ τῷ* Τυράννῳ Οἰδίποδι *καὶ αὐτὸς* Μενοικέα *αὐτὸν καλεῖ*.

1305. Ἐφυμνήσασα] Καταρασαμένη *σοι, ὡς παιδοκτόνῳ*.

1307. Ἀνέπταν] Ἐσείσθην, *ἐταράχθην*.

1308. Ἀνταίαν] *γρ. καιρίαν*.

1312. *Τῶνδε κἀκείνων*] Τοῦ *τὴν γυναῖκα καὶ τὸν υἱὸν ἀποθανεῖν*.

1313. Ἐπεσκήπτου] Κακῶς *ἐλέγου τελευτώσης αὐτῆς, ἐνομίζου, ἐπεγράφου*.

1314. Τίνι *τρόπῳ, φησὶν, ἐλύετο, καὶ ἐφέρετο εἰς φονάς; ἀντὶ τοῦ, ποίῳ τρόπῳ εἰς φόνον ἔπεσεν;*

1317. Οὐδεὶς *ἀνθρώπων ταῦτα ἐπὶ ἄλλον ἀπὸ τῆς ἐμῆς αἰτίας μεθαρμόσει· ὅ ἐστι, τοῦ σοῦ* [w] *φόνου οὐδεὶς ἂν εἴποι ἕτερον τῶν ἀνθρώπων αἴτιον, ἀλλ' ἐμέ*.

1325. Τὸν *οὐκ ὄντα ὅλως, μᾶλλον δὲ μηδένα*.

1326. Κέρδη *παραινεῖς, εἴ τι κέρδος*: Κέρδος *μεταφωνεῖς τὸν θάνατον· παρὰ τούτου γὰρ τὰ κράτιστα ἀπαλλάσσεται, καὶ βράχιστα γίνεται, τουτέστιν, ἐλάχιστα γίνεται.* [x] Ἐν *δὲ τῷ ὑπομνήματι οὕτω· τὰ μικρὰ τῶν κακῶν λυσιτελέστερά ἐστιν ὡς ἂν κακά.* Ἢ *οὕτω· τὰ ἐν ποσὶ κακὰ, ἂν ἐλάχιστα ᾖ, κράτιστά ἐστιν.* Ἢ *οὕτω· βραχέα γὰρ τὰ κακὰ, ἐάν τις ἀναχωρῇ.* Ἢ *τὰ μικρὰ τῶν κακῶν λυσιτελέστερά ἐστι· τὸ γὰρ ταχέως φεύγειν τὰ ἐν ποσὶ κακὰ, κράτιστόν ἐστι.*

1330. Μόρων *ὁ κάλλιστ' ἐμῶν*] Ὁ *ἐμὸς θάνατος μείζων τούτων τῶν κακῶν*.

[ww] *παρὰ τὸν β.* om. R. Br.
[w] *φόνου. ἢ οὐδεὶς* R. Br.
[x] *ἐν ἄλλοις δὲ* R. Br. Supra *τὰ κράτιστα κακὰ* R. Br.

1331. Τερμίαν] Τῆς τελευτῆς παρασκευαστικήν· τέρμα γὰρ, τὸ τέλος.

1334. Μέλλοντα] Δεύτερα.

1335. Ὅτοισι χρὴ μέλειν] Τοῖς θεοῖς.

1336. Ὧν βούλομαι τυχεῖν, ταῦτα ηὐξάμην.

1341. Ὅς σέ τ' αὐτὰν] [y] Τὴν Εὐρυδίκην.

1344. Πάντα γὰρ λέχρια: [z] Πλάγια καὶ πεπτωκότα, τὰ μὲν ἐν χερσὶ, τὰ δὲ ἐπὶ τῇ κεφαλῇ.

1347. Δυσκόμιστος] Ἀφόρητος.

1348. Πολλῷ τὸ φρονεῖν: Τὸ καλῶς φρονεῖν πρῶτόν ἐστιν εὐδαιμονίας, καὶ τοῖς ἀνθρώποις ἐξοχώτατον.

1350. Μεγάλοι δὲ λόγοι] Αἱ μεγαλορημονίαι τῶν ὑπερηφάνων, τιμωρίας μεγίστας τοῖς κεκτημένοις ἐπάγουσαι, τελευταῖον διδάσκουσι τὸ φρονεῖν· καὶ ὁ ποιητής·

[a] ῥεχθὲν δέ τε νήπιος ἔγνω.

Ὅτι διαφέρει τῆς Εὐριπίδου Ἀντιγόνης αὕτη, ὅτι φωραθεῖσα ἐκείνη, διὰ τὸν Αἵμονος ἔρωτα ἐξεδόθη πρὸς γάμον· ἐνταῦθα δὲ τοὐναντίον.

[y] Gl. om. R. Br.
[z] ἤγουν πλάγια R. Br.
[a] Il. ρ'. 32. Mox Ἰστέον δὲ ὅτι δ. R. Br.

# ΕΙΣ ΤΑΣ ΤΡΑΧΙΝΙΑΣ.

1. ΛΟΓΟΣ μὲν ἔστ' ἀρχαῖος: [a]Ὁ τρόπος ἀναχρονισμός· μεταγενέστερος γὰρ ὁ Σόλων. [b]Φασὶν Ἀθηναίους αἰτήσασθαι Σόλωνα [c]νόμου γραφὴν, τὸν δὲ δεδιότα τὸ ἀψίκορον αὐτῶν, ὅρκον αἰτῆσαι αὐτούς· [d]ἐπέμενε δὲ δεκαετίαν, παρευλαβούμενος δὲ μήποτε μένοντα ἀναγκάσωσι μεταθεῖναί τι τῶν νομίμων, ἀναχωρῆσαι πρὸς Λυδοὺς καὶ Κροῖσον. Δεξάμενος δὲ [e]αὐτὸν ὁ Κροῖσος, δείκνυσι πάντα τὸν πλοῦτον, καὶ στρατιώτας ἐν ὅπλοις χρυσοῖς, βωμόν τε Ἀπόλλωνος [f]ὁλόχρυσον· καυχώμενος δὲ ἠρώτα αὐτὸν τίς πάντων ἀνθρώπων εὐδαιμονέστερος. Ὁ δὲ ἔφη, Κλέοβιν καὶ Βίτωνα. Λυπηθεὶς δὲ ὁ βασιλεὺς, ἠρώτα τὸν τὰ [g]δεύτερα φέροντα. Τούτου δὲ πάλιν ἕτερον προβαλλομένου, ἠγανάκτησε Κροῖσος, [h]ἐπεὶ μηδὲ τὰ δεύτερα τῆς εὐδαιμονίας αὐτῷ δέδωκεν. Ὁ δὲ Σόλων συνεὶς τὴν λύπην, ἀπεφήνατο, ὅτι τέλος [i]δεῖ ὁρᾶν τοῦ βίου. Φασὶ δὲ αὐτὸν τὸ τηνικαῦτα πόλεμον αἱρούμενον πρὸς Πέρσας, [k]χρησθῆναι παρὰ τοῦ θεοῦ,

Κροῖσος Ἅλυν διαβὰς, μεγάλην ἀρχὴν καταλύσει.

Ὁ δὲ νομίσας περὶ τῆς Περσῶν ἀρχῆς αὐτὸν λέγειν, ἐπολέμησεν· καὶ ἡττηθεὶς, ἐν πυρὶ βέβληται ὑπὸ Κύρου· καιόμενος δὲ Σόλωνα ἐπεκαλεῖτο. Ἀπόλλων δὲ ὄμβρον ἐπιβαλὼν, ἔσβεσε τὸ πῦρ. Κύρου δὲ ἐρωτήσαντος, διηγήσατο αὐτῷ τὸ ἀπόφθεγμα τοῦ φιλοσόφου· ὅθεν [l]θαυμάσας τε καὶ ἐννοήσας τὸ τῆς τύχης ἄδηλον, μετὰ τιμῆς ἀπέπεμψεν Κροῖσον.

[a] Praeponit Br. Παροιμία ἐκ πολλοῦ οὕτως εἰρημένη. Qui mox μεταγενέστερος γὰρ τοῦ Ἡρακλέους ὁ Σόλων. ὁ μηδένα μακαρίζειν δεῖν πρὸ τελευτῆς πρὸς Κροῖσον ἀποφηνάμενος. In R. tantum leguntur ὁ τρόπος ἀν. μ. γὰρ Σ. ὁ μηδένα μ. δεῖν π. τ. π. κ. ἀποφ.

[b] φασὶν δὲ Br. φασὶ δὲ Triclin. quocum in seqq. fere convenit Br.

[c] νόμων Br.

[d] ἐπιμεῖναι δὲ σὺν αὐτοῖς δεκαετίαν καὶ παρευλαβούμενον Br. qui mox μένοντα αὐτόν.

[e] Κροῖσος αὐτὸν Br.

[f] πάγχρυσον· καὶ καυχώμενος ἠρώτα αὐτὸν τίς αὐτοῦ Br.

[g] δεύτερα αὐτῶν Br.

[h] ὅτι μὴ τὰ Br.

[i] ἐστιν ὅραμα L. et mox αὐτὸν—πολεμεῖν αἱρουμένου.

[k] χρησθῆναι αὐτῷ Br.

[l] θαυμάσας Κῦρος τὸ Br.

4. Ἐγὼ δὲ τὸν ἐμόν: Ἐγὼ, φησὶ, τὸν ἐμὸν αἰῶνα καὶ πρὸ θανάτου διέγνωκα βαρὺν ὄντα, καὶ ἀπεχθῆ, καὶ δυστυχῆ.

7. Ἐν Πλευρῶνι] [m] Πόλις Αἰτωλίας.

*Ibid.* Νυμφίων ὄκνον: Νυμφίων, ἀντὶ τοῦ, νυμφευμάτων· ὄκνον δὲ, τὸν φόβον· Ὅμηρος·

[n] ὀκνείω δ' ἵππων ἐπιβαινέμεν.

Εἰ δὲ γρ. ὄτλον, τὴν ταλαιπωρίαν, ἢ, [o] ὡς Ὅμηρος, τὸ μεμορημένον καὶ πεπρωμένον. [p] Καλλίμαχος·

κενεὸν πόνον ὀτλήσαντες.

[Εἰς τὸ αὐτό.] [q] γρ. ὄτλον. Ἡδεῖα δὲ ἡ φράσις καὶ ἡ ἱστορία [r].

12. Ἑλικτός: Διὰ τὸ σκολιὸν τῶν ῥευμάτων.

13. Βούκρανος: Οἱ ποταμοὶ ταυρόκρανοι διετυποῦντο, ἢ ὅτι μυκηθμῷ εἰσι παραπλήσιοι περὶ τὰς ἐκβολάς. Ὅμηρος·

[s] τοὺς ἔκβαλλε θύραζε, μεμυκὼς ἠΰτε ταῦρος.

Ἢ ὅτι σχίζουσι τὴν γῆν, [t] ὡς βόες· ἢ διὰ τὸ τὰς κατανομὰς παρὰ ποταμοὺς εἶναι.

*Ibid.* Ἐκ δὲ δασκίου γενειάδος: Ὁ νοῦς· ἐκ δὲ τῆς [u] δασυτρίχος γενειάδος αὐτοῦ κατέῤῥει πλῆθος ὑδάτων, ὡς ἀπὸ κρήνης. [w] Παροιμία ἐκ πολλοῦ εἰρημένη.

14. Κρηναίου ποτοῦ: [x] Λείπει τὸ ὡς. Ὡς ἀπὸ κρήνης.

21. Ὁ κλεινὸς ἦλθε Ζηνός: Τοῦτο γὰρ ἦν παρὰ Οἰνέως ὡρισμένον, τῷ νικῶντι Ἀχελῷον αὐτὴν δώσειν.

*Ibid.* Ἐκλύεταί με: Ἀντὶ τοῦ, ἀπαλλάττει με, καὶ ἐλευθεροῖ τοῦ φόβου, τοῦ Ἀχελῴου περιγενόμενος.

*Ibid.* Καὶ τρόπον μὲν ἂν πόνων: Τὸν τρόπον τῆς πρὸς ἀλλήλους αὐτῶν μάχης οὐκ ἂν διείποιμι· [y] ἐδεδοίκει γάρ· ἐκεῖνος δ' [z] εἴποι, ὃς ἄφοβος αὐτῶν τὴν μάχην θεωρῶν ἐκάθητο. Ὅμηρος·

[m] MS. pro πόλις habet πο^λ, quod pro πόλει accepit editor Romanus. Sed idem ms. ad v. 39. plene scriptum habet. P. E.

[n] Il. ε'. 255. Ed. Rom. hic ἐπιβημέναι, sed ad Oed. Tyr. 749. El. 820. ἐπιβαινέμεν. P. E.

[o] ὡς om. L.

[p] Fr. CCLXXIV.

[q] γρ. ὄτλον om. R. Br.

[r] Hic inserit Br. εἴ τις. ἤγουν ὡς οὐδέ τις ἄλλη.

[s] Il. φ'. 237. In versu Homeri τοὺς ἔκβαλεν μεμ. L. τοὺς ἐκ. θύ. om. R.

[t] ὡς οἱ βόες Br. qui mox τὰς νομὰς παρὰ τοὺς ποταμούς.

[u] δασυτρίχου R. Br.

[w] Seqq. om. Br. οὕτως εἰρημένη R.

[x] Gl. om. R. Br.

[y] ἐδεδοίκειν Br.

[z] εἴποι ἂν R. Br.

[a] Ἔνθα κεν οὐκέτι ἔργον ἀνὴρ ὀνόσαιτο μετελθὼν,
ὅστις ἔτ' ἄβλητος.

23. [b] Θᾶκος ἡ καθέδρα.

24. Ἐγὼ γὰρ ἥμην: Δασέως, ἵνα συνάδῃ [c] τῷ Ἀλλ' ὅστις ἦν θακῶν ἀταρβὴς τῆς θέας· οἱ δὲ ψιλῶς, ἀντὶ τοῦ, ὑπῆρχον.

25. Μή μοι τὸ κάλλος: Μὴ διὰ τὸ κάλλος ἀλγηδόνι περιπέσω, τῷ Ἀχελῴῳ γαμηθεῖσα.

26. Τέλος δ' ἔθηκεν Ζεὺς ἀγώνιος: [d] Ὁ πρύτανις τοῦ ἀγῶνος. Τὸ δὲ ὅλον οὕτως ἔχει· ὁ ἀγώνιος Ζεὺς εὐτυχὲς τῷ ἀγῶνι τέλος ἐπέθηκεν· ἐμοὶ δὲ οὐκ [e] εὐτυχῶς· εὐτυχῶς μὲν, ὅτι ἀπήλλαξέ με τοῦ Ἀχελῴου· οὐκ εὐτυχῶς δὲ, ὅτι καὶ νῦν οὐχ ἧττον ἀγωνιῶ διὰ τὴν [f] Ἡρακλέους ἀπουσίαν.

27. Λέχος γὰρ Ἡρακλεῖ κριτόν: Ἀντὶ τοῦ, ἔκκριτον, διὰ τὸ [g] ἀεὶ περὶ Ἡρακλέους ἀγωνιᾶν.

28. Ξυστᾶσα] Ἀντὶ τοῦ, συνελθοῦσα. Τρέφω [h] δὲ, ἀντὶ τοῦ ἔχω, αὔξω.

*Ibid.* Προκηραινοῦσα: Ἀγωνιῶσα, μεριμνῶσα κατὰ τὸ κέαρ, ὅ ἐστιν ἐν [i] βάθει βουλευομένη· καὶ Εὐριπίδης·

[k] Τί ποτ', ὦ τέκνον, τάδε κηραίνεις;

29. Νὺξ γὰρ ἐξάγει: Ἀντὶ τοῦ, νυκτὸς ἔρχεται, καὶ νυκτὸς ἐξορμᾶται, [l] ὡς μὴ διαδοχήν μοι τῶν πόνων γενέσθαι.

32. Γήτης: Γεωργὸς, ὁ τὴν γῆν ἐργαζόμενος. Ἔκτοπον [m] δὲ ἔξω καὶ πόρρω οὖσαν.

35. Λατρεύοντά τῳ] Ὑπηρετοῦντα τῷ Εὐρυσθεῖ.

38. Ὑπερτελής: Ἀντὶ τοῦ, ὑπὲρ τὸ τέλος γέγονεν· οἷον, τοῦ τέλους τῶν ἄθλων [n] κρείττων ὤφθη, κατορθώσας αὐτούς. Ἢ ὑπέρτερος αὐτῶν ἐστιν, ἐγκρατὴς, καὶ ὑπεράνω.

[a] Il. δ'. 539.
[b] Gl. om. R. Br.
[c] τὸ L.
[d] τὸ ὅλον οὕτως ἔχει· ὁ ἀγώνιος Ζεὺς, ἤγουν ὁ πρύτανις τοῦ ἀγῶνος Br.
[e] εὐτυχὲς R. Br.
[f] τοῦ Ἡρακλέους R. Br.
[g] καὶ R. Br. διὰ—ἀγωνιᾶν in seq. schol. collocat Br.
[h] δὲ om. R. Br. qui mox ἔχω καὶ αὔξω.
[i] ἤθει R.
[k] Hippol. 225. τέκνα—κηραίνετε R.
[l] ὥστε δ. μ. τῶν πόνων γίγνεσθαι R. ὥστε δ. μ. γίγνεσθαι τ. π. Br.
[m] δὲ om. R. Br.
[n] κρείσσων R. Br.

39. Ἐν Τραχῖνι: Πόλις Θετταλίας, εἰς ἣν Ἡρακλῆς κατῴκησεν, διὰ τὸν τοῦ Ἰφίτου φόνον κατὰ τὸν [n] νόμον.

40. Ξένῳ παρ' ἀνδρί: Τῷ Κήϋκι, ὃς ἦν παῖς Ἀμφιτρύωνος ἀδελφοῦ. Καὶ Ἡσίοδος·

[o] Τρηχῖνα δέ τοι παρελαύνω
ἐς Κήϋκα ἄνακτα.

42. Αὐτοῦ] [p] Ἀντὶ τοῦ ὑπὲρ αὐτοῦ.

43. Σχεδὸν δ' ἐπίσταμαι] Ὑποπτεύω, ὑπονοῶ, οἴομαι.

45. Ἀκήρυκτος μένει: Ἄσημος, οὐ μηνυόμενος ὅπου πότ' ἐστίν· ὃν οὐδεὶς ἐλθὼν κηρύττει καὶ ἀπαγγέλλει, ποῦ ποτ' ἐστί.

47. Δέλτον λιπὼν ἔστειχεν: Ὡς τοῦ Ἡρακλέους τύπον διαθήκης γράψαντος εἰς δέλτον, καὶ καταλελοιπότος, ὡς εἰ μὴ ἔλθοι διὰ τοσούτου χρόνου, γνῶναι αὐτὸν [q] τελευτῶντα, μετὰ τοὺς ιε μῆνας ἀναγνοῦσαν, ποιῆσαι [r] αὐτὸν τὰ ἐντεταλμένα.

48. Θεοῖς ἀρῶμαι: [s] Εὔχομαι μηδὲν λυπηρὸν ἐγγεγραμμένον ἔχουσαν [t] λαβεῖν πημονῆς ἄτερ.

50. Πανδάκρυτ' ὀδύρματα: Διὰ πανδακρύτων ὀδυρμάτων, ὡς τὸ,

[u] διά τ' ἔντεα καὶ μέλαν αἷμα.

52. Φρενοῦν] [w] Νουθετεῖν, εἰς φρόνησιν ἄγειν.

53. Τὸ σόν: Τὸ σοὶ συμφέρον.

*Ibid.* Ἢ τόσον, ἀντὶ τοῦ, ὀλίγον.

*Ibid.* Πῶς παισὶ μὲν τοσοῖσδε πληθύεις: Ἦσαν γὰρ αὐτῇ παῖδες ἐξ Ἡρακλέους, Ὕλλος, Κτήσιππος, [x] Γληνοσολίτης· ἔστι δὲ Ἡρακλεῖ καὶ ἕτερος Ὕλλος ἐκ Μελίτης.

57. Εἰ πατρὸς νέμοι τίν' ὥραν: [y] Ὥραν, φροντίδα. Καὶ Ἡσίοδος·

[z] ὤρη γάρ τ' ὀλίγη πέλεται.

Ὁ δὲ νοῦς· ἵνα μάθῃς εἰ φροντίζει τοῦ πατρὸς, [a] ὑπὲρ τοῦ δοκεῖν καλῶς [b] διαπράττεσθαι.

[n] MS. νόμον. Recentior manus φόνον in marg. P. E.

[o] Scut. 353. δέ τοι παρελαύνων R. δ' ἕτοιμοι παρελαύνομεν L.

[p] Gl. om. R. Br.

[q] τελευτήσαντα καὶ μετὰ Br.

[r] αὐτὴν R. Br.

[s] εὔχομαι τοῖς θεοῖς B. Br. Mox ἐγγεγραμμένην L.

[t] λαβεῖν· τοῦτο γάρ ἐστι τὸ ἄτερ πημονῆς Br.

[u] Il. κ'. 469.

[w] νουθετῶν L.

[x] γληνὸς. ὀλίτης R. Γληνὸς, Ὀδίτης Br. Vid. Heynius ad Apollodor. p. 229.

[y] ἤγουν φρ. ὡς καὶ R. Br.

[z] Opp. 80.

[a] ὑπὸ R.

[b] πράττειν ἐκεῖνον Br.

58. Ἀρτίπους: Ὅ ἐστιν, ἀρτίως καὶ ἡρμοσμένως τῷ καιρῷ πορεύεται.

59. Πρὸς καιρόν] [c] Κατὰ καιρόν.

60. Τἀνδρί] [d] Τῷ Ὕλλῳ.

61. Ἀγεννήτων] Δυσγενῶν.

63. Ἐλεύθερον] Σπουδαῖον, [e] καὶ ἐλευθέρῳ πρέποντα.

64. Εἰ διδακτά μοι] Εἰ προσήκει [f] μοι μαθεῖν.

65. Ἐξενωμένου] Ἐν ξένῃ [g] διατρίβοντος.

68. Ἱδρῦσθαι] [i] Διάγειν.

69. Τὸν μὲν παρελθόντ' ἄροτον: [h] Ἀντὶ τοῦ ἐνιαυτόν· ἅπαξ γὰρ τοῦ ἔτους ἀροτριᾶται ἡ γῆ.

70. Λυδῇ γυναικὶ] Τῇ Ὀμφάλῃ.

*Ibid.* Λάτριν] [k] Δοῦλον.

*Ibid.* Πονεῖν] Ὑπηρετεῖν.

71. Πᾶν τοίνυν εἰ καὶ τοῦτ' ἔτλη: Ἀκούσεται τοίνυν τις, ὅτι Ἡρακλῆς πᾶν αἰσχρὸν ὑπέμεινεν, εἰ ἀληθῶς ὑπέστη τὸ δουλεύειν τῇ Ὀμφάλῃ.

72. Ἐξαφεῖται] Ἀφείθη, ἀπηλλάγη τοῦ δουλεύειν.

74. Εὐβοΐδα χώραν: Ἔνιοι φασὶ καὶ Θεσσαλίας εἶναι Οἰχαλίαν· οὐδὲν δὲ ἄτοπον συνωνυμεῖν.

77. Τῆσδε τῆς χώρας] Τῆς Εὐβοίας.

79. Ὡς οἱ τελευτὴν τοῦ βίου: Ἔλεγεν, φησὶν, ὅτι ἐν Οἰχαλίᾳ τεθνήξομαι, ἢ σωθεὶς εὐδαιμονήσω τὸν ἐπίλοιπον χρόνον.

82. Ἐν οὖν ῥοπῇ τοιᾷδε: Ἐν κινδύνῳ καὶ ἐπὶ ξυροῦ ἀκμῆς ἱσταμένῳ, οὐ πορεύσῃ συλληψόμενος αὐτῷ, καὶ συναγωνιούμενος;

83. Ξυνέρξων] [l] Τῷ πατρί.

86. Εἰ δὲ θεσφάτων ἐγώ.] Εἰ δὲ καὶ ἠπιστάμην, ἢ προηκηκόειν, φησὶν, ὅτι ταῦτα προεῖπεν, πάλαι ἂν ἐγὼ συμπαρήμην αὐτῷ.

[c] Gl. om. R. Br.

[d] Hanc etiam om. R. Br.

[e] καὶ om. R.

[f] μοι om. R.

[g] διατρίβοντα L. R. In lemmate ἐξενωμένον R.

[h] ἀντὶ τοῦ om. R. Br. In lemmate ἄροτρον L.

[i] Hanc et seq. gl. om. R. Br.

[k] ὡς λάτριν καὶ δοῦλον πονεῖν καὶ ὑπηρετεῖν τῇ Ὀμφάλῃ Br. Gl. om. R.

[l] Hujus gl. loco inserit Br. e Triclinio. Ἡνίκ' ἢ σεσώσμεθα. Καθ' ὑπέρβατον τοῦτο συντακτέον· ἡνίκα ἢ σεσώσμεθα, τοῦ σοῦ πατρὸς τὸν βίον σώσαντος, ἢ πίπτομεν, ἐξολωλότος ἐκείνου, καὶ οἰχόμεθα ἅμα· ἤγουν πίπτομεν καὶ οἰχόμεθα. Ὀφείλων δὲ καὶ οἰχόμεθα εἰπεῖν, ἀσυνδέτως ἐξήνεγκεν.

92. Χώρει νῦν ὦ παῖ: Καὶ νῦν, φησὶν, ὦ παῖ, ἄπιθι· καὶ γὰρ τὸ βραδέως τὰ δέοντα ποιεῖν, ἐπειδὰν ἀκούσῃ τις, κέρδος ἀποφέρεται· τουτέστι, [m] καὶ εἰ βραδέως ἤκουσας, καὶ ὠφελήσεις αὐτὸν [n] παραγενόμενος, κέρδος σοι ἔσται.

94. Αἰόλα νύξ: Μέλαινα, [o] ὡς οἱ νεώτεροι. Ἢ ποικίλη, διὰ τὰ ἄστρα ἡ νύξ. Ἢ ταχεῖα, διὰ τὸ

Νυκτὶ θοῇ,

παρ' [p] Ὁμήρῳ. Τίκτει [q] δὲ ἀντὶ τοῦ, ἀνατέλλειν ποιεῖ.

95. Φλογιζόμενον] [r] Ἀντὶ τοῦ λάμποντα.

96. Ἅλιον] Ὅμηρος·

Ἠέλιος, ὃς πάντ' ἐφορᾷ.

*Ibid.* Αἰτῶ] Παρακαλῶ.

97. Τὸν Ἀλκμήνης] [s] Λείπει παῖδα.

98. Πόθι μοι] Λείπει οἰκεῖ, διατρίβει.

*Ibid.* Ἢ ποντίους αὐλῶνας: Τοὺς παρὰ θάλατταν τόπους στενούς· ἐκ δὲ [t] τούτου τὰ πελάγη φησίν. ἆρα οὖν ἐν θαλάττῃ ἐστίν; ἢ ἀντὶ τοῦ, νήσους· αὐλὼν γὰρ, τὸ στενόμακρον πέλαγος· ἀπὸ δὲ τοῦ πελάγους τὸ περιεχόμενον ὑπ' αὐτοῦ δηλοῖ, ὅ ἐστι, τὰς νήσους.

101. Ἢ δισσαῖσιν ἀπείροισιν: Ἀντὶ τοῦ, καὶ πρὸς τὰ [u] ἑῷα καὶ δυτικά. Καὶ Ὅμηρος·

[w] ὃς πάντ' ἐφορᾷ.

102. Ὦ κρατιστεύων: Ὦ νικῶν πάντας τοὺς θεοὺς κατὰ τὸ ὀπτικόν.

103. Ποθουμένᾳ] [x] Ἀντὶ τοῦ ποθούσῃ.

104. Τὰν ἀμφινεικῆ Δηϊάνειραν: Τὴν περιμάχητον [y] ἐπιρρηματικῶς. Πυνθάνομαι, φησὶ, τὴν ἀμφινεικῆ Δηϊάνειραν μηδέποτε τοὺς ὀφθαλμοὺς ἀδακρύτους ἔχειν, ἀλλ' ἀεὶ τῷ πόθῳ τῶν δακρύων νικωμένην ὀδύρεσθαι. [Εἰς τὸ αὐτό.] [z] Λείπει ἡ δια. [a] Ἀθλίαν δ' ὄρνιν,

[m] εἰ καὶ Br. omisso mox καί.

[n] καὶ παραγενομένῳ σοι ἐκεῖ Br.

[o] καὶ L.

[p] Il. μ'. 463.

[q] δὲ om. R. Br.

[r] Ἀντὶ τοῦ om. R. Br.

[s] λείπει om. R. Br. et in seq. Br.

[t] τούτων τ. π. σημαίνει Br.

[u] ἕω L. Post δυτικὰ addit Br. μέρη νεύων, ἤγουν ἀνατέλλων ἢ δύνων.

[w] Od. λ'. 108. ἠέλιος ὃς R. ἠελίου ὃς Br. Ceterum haec in fine schol. seq. collocat Br.

[x] Gl. om. R. Br.

[y] ἐπιρρηματικῶς om. Br.

[z] Haec om. Br., in princ. schol. collocat R.

[a] ἄθλιον ὄρνιν. τὴν ἀηδόνα. γράφεται καὶ ἄλιον ὄρνιν. ἤγουν, τὴν ἀλκυόνα ἢ τίκτει R. Br. qui seq. schol. om.

τὴν ἀλκυόνα φησὶν, ἣ τίκτει ἐν ταῖς ὑφάλοις πέτραις, εἶτα, τῶν ᾠῶν ἀφανιζομένων, δακρύει.

105. Οἷά τιν' ἄθλιον ὄρνιν] γρ. ἅλιον ὄρνιν, ἀλκυόνην ἢ ἀηδόνα.

106. Οὔποτ' εὐνάζειν: Τὸν πόθον τῶν δακρύων [b] κοιμίζειν, ἀλλ' ἡττᾶσθαι, καὶ ἀεὶ δακρύειν.

*Ibid.* 'Αδακρύτων] Πολυδακρύτων.

107. 'Αλλ' εὔμναστον ἀνδρός: 'Αλλὰ [c] τὸ δεῖμα τὸ ὑπὲρ τοῦ ἀνδρὸς ἀεὶ μνημονεύουσαν, ἐν ταῖς ἀνάνδροις κοίταις τρύχεσθαι κατὰ ψυχήν.

109. 'Ενθυμίοις εὐναῖς: Ταῖς μεριμνητικαῖς, ταῖς πολυφροντίστοις. 'Ανανδρώτοισι [d] δὲ, ταῖς ἐρήμοις τοῦ ἀνδρός.

112. Τὸ πολλὰ πρὸς τὸ κύματα.

*Ibid.* Ὥστ' ἀκάμαντος ἢ νότου: Ὥσπερ [e] γὰρ, ἄν τις θεωροίη κυματουμένην τὴν θάλατταν, ἢ Νότου πνέοντος, ἢ Βορέου, τῶν δὲ κυμάτων τὰ μὲν ἀπιόντα, τὰ δὲ ἐπερχόμενα· οὕτω καὶ τὸν Ἡρακλέα, καθάπερ τι πέλαγος κακῶν, τὸ μέν τι παρὸν λυπεῖ, τὸ δ' αὐξόμενον ἀπόκειται.

116. Καδμογενῆ: Τὸν Θηβαγενῆ Ἡρακλέα. Ἡσίοδος·

[f] Ὄφρ' Ἡρακλῆος Θηβαγενέος κλέος εἴη.

118. [g] Τρέφει] 'Αντὶ τροφῆς καθημερινῆς καὶ αὐξήσεως εἰσὶν αὐτῷ οἱ πόνοι.

*Ibid.* Τρέφει: 'Αντὶ τοῦ, ἔχει. Τὸ δὲ αὔξει, ἀντὶ τοῦ, αὔξεται. [h] Οὕτω φησί· τὸ μὲν τῶν κακῶν ἔχει αὐτὸν, τὸ δὲ αὔξεται κατ' αὐτοῦ. Ἄλλος. Τρέφει, ἀντὶ τοῦ, τρίβει, κατ' ἀντίφρασιν· [i] ἔστι γὰρ οὕτω· τὸ μὲν αὐτὸν καταπονεῖ παρὸν, τὸ δ' αὔξει καὶ κορυφοῦται. Ἢ ὅτι οἰκεῖον τοῦ ἥρωος τὸ [k] τρέφει καὶ αὔξει, ὥστε τρέφεσθαι αὐτοῦ τὴν ἀρετὴν διὰ τῶν πόνων· [l] ὡς 'Ισοκράτης, "Οἷς τοῦ βίου ἀρετὴ τηλικοῦτον "εὐδοξίας χαρακτῆρα ἐχαρίζετο." Βίου δὲ πέλαγος, τὸν χειμαζόμενον βίον.

119. Κρήσιον] Ὡς πάνυ χειμαζομένης τῆς περὶ Κρήτην θαλάσσης.

[b] οὔποτε κοιμ. Br.
[c] τὸ om. R.
[d] δὲ om. R. Br. Qui mox ἐρήμαις.
[e] γὰρ, φησὶν R. Br.
[f] Theog. 530.
[g] Haec aliter collocant R. Br.
[h] ὃν, φησὶ R. Br. Mox αὐτὸν om. Br.
[i] ἔχει R. Br.
[k] τρέφειν καὶ αὔξειν ὥστε τρέφεσθαι καὶ αὔξεσθαι Br.
[l] Sic L. καὶ 'Ισοκράτης, οἷς ἡ τῶν τρόπων ἀρετὴ τηλικοῦτον εὐδοξίας χαρακτῆρα τοῖς ἔργοις ἐπέβαλε R. Br. Locus est p. 3. D.

119. Ἀλλά τις θεῶν] Θάῤῥει, φησὶν, ὦ Δηϊάνειρα· θεῶν γάρ τις αὐτὸν, ἀναμάρτητον καὶ δίκαιον ὄντα, κωλύει ἀπὸ τοῦ Ἅιδου. Ἢ [m] ἀναπλακητον, ἐπιτυχῆ, παρὰ τὸ μὴ ἀναπλακεῖν· οἷον, κωλύει αὐτὸν μὴ ἐπιτυχεῖν τοῦ Ἅιδου.

120. Ἀναπλάκητον] Ἄπταιστον.

122. Ὧν [n] ἐπιμεμφομένας: Περὶ ὧν μεμφομένης, ὅτι προσηκόντως ὀδύρῃ· θεοὶ γὰρ αὐτὸν σώζουσιν.

*Ibid.* Ἀδεῖα μὲν, ἀντία δ' οἴσω [o] οἷς περὶ τοῦ Ἡρακλέους φρονεῖς. ερωτι δε ἐπάγει, ὥστε μὴ χρῆναι αὐτὴν ἀποβάλλειν τὴν ἀγαθὴν ἐλπίδα [p] περὶ αὐτοῦ· ἡδεῖα δὲ, ὅτι φησὶν αὐτὸν ζῆν. Ἀντία δὲ, ὅτι τὸ ἐναντίον νομίζει [q] Δηϊάνειρα, ὡς ἀποθανόντος αὐτοῦ.

*Ibid.* Ἀντία] [r] Ἀντίον σοι.

*Ibid.* Οἴσω] Ἀντὶ τοῦ λέξω.

124. Οὐκ ἀποτρύειν: Οὐκ ἀπογνῶναι, οὐκ ἀποκάμνειν, οὐκ ἀποβάλλειν, οὐκ ἀποδοκιμάζειν.

126. Ἀνάλγητα γὰρ οὐδ' ὁ πάντα κραίνων: Οὐδὲ γὰρ ἄλυπα τοῖς ἀνθρώποις ὁ Ζεὺς τὰ πράγματα [s] πεποίηκε·

Δοιοὶ γάρ τε πίθοι·

οἷον, συμμιγνύουσιν οἱ θεοὶ τὰ πράγματα τοῖς ἀνθρώποις πήματι καὶ χαρᾷ, καὶ στρέφουσιν ὀξέως τὰ πράγματα, ὥσπερ τὰς τῆς Ἄρκτου στροφάς.

129. Ἐπὶ πήματι καὶ χαρα: Ἐπὶ χαρᾷ δὲ καὶ πήματι πᾶσι κυκλοῦσιν οἱ θεοί. Πῆμα δὲ, ἀντὶ τοῦ, πήματι, κατ' ἀποκοπήν. [[t] Εἰς τὸ αὐτό.] Ποτὲ μὲν ἐπὶ πήματι, ποτὲ δὲ ἐπὶ χαρᾷ.

130. Πᾶσι κυκλοῦσιν: Ἀντὶ τοῦ, κυκλοῦνται τὰ τῶν ἀνθρώπων πράγματα. Ἢ τὸ κυκλοῦσιν ἐπὶ τῶν θεῶν.

130. Οἷον ἄρκτου στροφάδες: Τὰς [u] ἄρκτους παρέλαβεν, ἐπεὶ

[m] ἀναπλάκητον (μ suprascriptum m. sec.) ἐπιτύχῃ L. ἀμπλάκητον R. Br.

[n] ἐπιμεμφομένα σοι R. Br. qui mox μεμφομένη σοι ὅτι οὐ προσηκόντως.

[o] ἐναντία οἷς R. Br. qui post φρονεῖς. addunt, παραιτουμένη δὲ τῷ ἀδεῖα, ὡς ἐναντία λέγουσα τῇ ἀνάσσῃ, ἐπάγει μὴ χρῆναι κ. τ. λ. Lectionem manuscripti, etsi mendosam, praeferendam censuimus.

[p] περὶ τοῦ ἀνδρός. φησὶ γὰρ αὐτὸν ζῆν. R. Br.

[q] ἡ Δηϊάνειρα, ἀποθανεῖν αὐτόν. R. Br.

[r] Hanc et seq. gl. om. R. Br.

[s] πεποίηκε· καὶ Ὅμηρος Br. Versus est Il. ω'. 527.

[t] Hanc gl. om. R. Br.

[u] Ἄρκτου στροφὰς R. Ἄρκτου στροφὰς δὲ Br.

διαφανεῖς τε εἰσι, καὶ ἡσυχαιτέραν ποιοῦνται τὴν κίνησιν· καθόλου γὰρ ὀξύτερον τὰ νότια κινοῦνται, διὰ τὸ μείζονα κύκλον ὁδεύειν. [w] Ἄρατος·

Αὐτοῦ καὶ κριοῖο θοώταταί εἰσι κέλευθοι.

136. Στέρεσθαι] Ἀντὶ τοῦ, λυπεῖσθαι, καὶ στέρεσθαι χαρᾶς· τίνος δὲ στέρεσθαι; δηλονότι τοῦ χαίρειν.

137. Ἃ καὶ σὲ τὰν ἄνασσαν: Ἅπερ καὶ σὲ λέγω χρῆναι φρονεῖν, καὶ χρησταῖς ἐλπίσι βόσκεσθαι. Ἢ οὕτως· ἃ καὶ σὲ βούλομαι φροντίζειν, ὅτι τρέπονται καὶ ἐκ κακῶν ἐπὶ ἀγαθὰ τὰ ἀνθρώπινα.

140. Ζῆν' ἄβουλον: Δύσβουλον καὶ κακόβουλον, μὴ βουλευόμενον τοῖς ἰδίοις παισὶ τὸ συμφέρον· διὸ μηδὲν φαῦλον περὶ Ἡρακλέους ἔλπιζε· οὐ γὰρ παρορᾷ [x] τοῦ ἑαυτοῦ παιδὸς ὁ Ζεύς.

141. Ἐξ ἀκοῆς ἐλήλυθας, τῶν ἐμῶν αἰσθομένη κακῶν.

144. Τὸ γὰρ νεάζον ἐν τοιοῖσδε: Ἡ γὰρ νέα ἡλικία ἐν τοῖς τόποις τῆς ἀμεριμνίας βόσκεται. Τὸ δ' αὐτοῦ τινὲς ψιλοῦσι, [y] καὶ νοοῦσιν αὐτόθι· ἔνιοι δὲ δασύνουσιν, ἀντὶ τοῦ, ἑαυτοῦ. Τοῖς ἰδίοις ἑαυτοῦ τόποις ἀμερίμνως βόσκεται τὸ νεάζον, καὶ οὔτε καύματι φθείρεται, οὔτε ὑετῷ, οὔτε ἀνέμων [z] σφοδρότητι. Ἀλλὰ ταῖς ἡδοναῖς εἰς ὕψος εὐθυμίας αἴρεται· [a] ἕως τις γαμηθῇ, οὐδὲν, φησὶ, ταράττει τὴν νέαν ἡλικίαν· ἀλλ' ὡς τεῖχος ἀῤῥαγὲς οὐ φθείρεται ὑπό τινος, οὕτως οὐδὲ ἡ νεότης ἐστηριγμένη ὑπὸ ἀμεριμνίας τῶν ἐν [b] βίῳ κακῶν.

Νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.

145. Καί νιν οὐ θάλπος θεοῦ] Ἀντὶ τοῦ, οὐδεμία μεταβολή.

147. Ἐξαίρει] [c] Ταῖς εὐθυμίαις ἐξυψοῖ.

148. Ἐς τοῦθ' ἕως τις ἀντὶ παρθένου: Τὸ τηνικαῦτα, ἐπειδὰν [d] γαμηθείη τις, εἰς τὰ καθ' ἑαυτὴν [e] ἀποβλέπουσα, καὶ συνορῶσα, ἔξω τῆς ἀμεριμνίας εἰς φροντίδας εἰσῆλθεν, οἰκτείρει τὰ κατ' ἐμέ.

[w] Phaenom. 225.

[x] τοὺς ἑαυτοῦ παῖδας Br.

[y] νοοῦσι τὸ αὐτόθι Br.

[z] Post h. v. inserunt R. Br. quae L. habet ad v. 145.

[a] ἕως ἄν τις Br.

[b] τῷ βίῳ R. Br. Sequens vs. est Eurip. Med. 48.

[c] Gl. om. R. Br.

[d] γαμηθῇ Br.

[e] Multa in ed. Br. e Tricl. mutata: ἀποβλέπει καὶ συνορᾷ, καὶ ὑπὲρ τοῦ ἀνδρὸς αὐτῆς καὶ τῶν τέκνων φροντίζει. ΤΗΝ ΑΥΤΟΥ. τὸ αὐτοῦ ὡς πρὸς τὸ νεάζον ἀποδέδωκε· εἴ τις, φησὶν, ἔξω ἀμεριμνίας οὖσα εἰς φροντίδας εἰσῆλθε γαμηθεῖσα, ἀπὸ τῆς πράξεως αὐτῆς, ἤγουν τῶν ἑαυτῆς παθῶν, ἅπερ δηλονότι ἐπράχθη ἐν αὐτῇ, ἴδοι ἂν καὶ οἰκτείροι τὰ κακὰ ἐν οἷς ἐγὼ λυποῦμαι.

150. Ἡ προς ἀντὶ τῆς ὑπερ.

151. Τὸ αὐτοῦ ὡς πρὸς τὸν νέον ἀποδέδωκεν.

153. Πάθη μὲν οὖν δὴ πόλλ' ἔγωγε: Τὰ μὲν ἄλλα πάθη τοῦ Ἡρακλέους πολλάκις ἀπωδυράμην· ἓν δὲ νῦν [f] εἰπεῖν βούλομαι, οἷον οὐκ εἴρηκά πω.

157. Παλαιὰν δέλτον] Ὅτι πρὸ πολλοῦ χρόνου χρησμὸς ἦν αὐτῷ δεδομένος.

161. Νῦν δ' ὡς ἔτ' οὐκ ὤν: Ἀεὶ μὲν ἐξῄει ὡς ἐπὶ ὁμολογουμένῳ κατορθώματι· νῦν δὲ ὡς τεθνηξόμενος ἐνετείλατό μοι, ἵνα [g] πρόνοιαν ἄλλου ἀνδρὸς ἐμαυτῇ ποιήσωμαι· εἶπε δὲ καὶ περὶ τῆς ἑκάστου τῶν τέκνων μερίδος.

162. Χρεῖ' ᾗ μ' ἑλέσθαι κτῆσιν: Ἔλεγεν προσήκειν ἐμὲ λαβεῖν τὴν προῖκα, καὶ τὰ δῶρα, ἃ ὑπὲρ τοῦ λέχους ἐκτησάμην. [Εἰς τὸ αὐτό.] [h] Ἢ προνοεῖσθαι ἑτέρου ἀνδρὸς, ἢ σώζειν τὸ λέχος.

167. Ὑπεκδραμόντα] Διαφυγόντα τὸν θάνατον.

169. Τοιαῦτ' ἔφραζε: Ἡ δέλτος τοιαῦτα ἔλεγεν παρὰ θεῶν εἱμάρθαι, ὥστε τούτων θάτερον αὐτῷ τέλος ἔσεσθαι τῶν πόνων.

170. Τῶν Ἡρακλείων] Τῶν ἑαυτοῦ πόνων τὸ τέλος· πολὺ δὲ τὸ [i] τοιοῦτο εἶδος παρὰ ποιηταῖς.

172. Δωδῶνι δισσῶν ἐκ πελειάδων: Τὴν ἐν [k] Δωδώνῃ τῆς Θεσπρωτίας φηγὸν, ἐφ' ᾗ δύο περιστεραὶ καθήμεναι ἐμαντεύοντο· ὡς ἀπ' εὐθείας [l] δὲ τῆς ἡ Δωδὼν, ὡς Πλευρών. Ὅμηρος δὲ Δωδώνην εἶπεν. Εἰς τὸ αὐτό. Ὑπεράνω τοῦ ἐν Δωδώνῃ μαντείου δύο ἦσαν πέλειαι, δι' ὧν ἐμαντεύετο ὁ Ζεὺς, ὡς Ἀπόλλων ἀπὸ τρίποδος. [m] Οἱ μὲν οὕτω λέγουσι θεσπίζειν, οἱ δὲ οὕτω· τὰς ἱερείας γραίας [n] οὔσας. Καὶ γὰρ τοὺς γέροντας οἱ Μολοσσοὶ [o] πολιοὺς ὀνομάζουσιν. Ἡρόδοτος δὲ ἐν [p] β φησί· "Πελειάδες δέ μοι δοκέουσι [q] κεκλῆσθαι πρὸς Δωδωναίων "αἱ γυναῖκες, διότι βάρβαροι οὖσαι, [r] ἐδόκουν ὁμοίως ὄρνισι φθέγ- "γεσθαι· μετὰ δὲ χρόνον δοκοῦσιν ἀνθρωπίνῃ φωνῇ φθέγξασθαι, ἐπεί-

[f] εἰπεῖν νῦν R. Br.
[g] προνοίᾳ—ποιήσομαι L.
[h] ἤγουν R. Br.
[i] τοιοῦτον R. Br.
[k] Δωδῶνι R. Br.
[l] δὲ τῆς] τῆς R. utrumque om. Br. Deinde ὡς Πλευρὼν om. R. Br. Homeri locus est Il. β'. 750.
[m] καὶ οἱ μὲν Br. qui mox om. οὕτω post οἱ δέ.
[n] οὔσας, καὶ πεπολιωμένας μαντεύεσθαι. καὶ γὰρ Br.
[o] πελείους Br.
[p] Cap. 57.
[q] κληθῆναι Br.
[r] ἐδόκεον ὅμοια Br.

" περ ἐκ Θηβῶν Αἰγυπτίων ἦσαν." Εὐριπίδης τρεῖς γεγονέναι φησὶν αὐτάς· οἱ δὲ, δύο· καὶ τὴν μὲν εἰς Λιβύην ἀφικέσθαι Θήβηθεν εἰς τὸ τοῦ Ἄμμωνος χρηστήριον· [s] τὴν περὶ τὴν Δωδώνην, ὡς καὶ Πίνδαρος Παιᾶσιν.

173. Καὶ τῶνδε ναμέρτεια: Καὶ τῶν εἰρημένων ὑπὸ Ἡρακλέους [t] ἀλήθεια νῦν ἀποβαίνει ἐν τῷ παρόντι χρόνῳ ὥστε ὁπότερον πραχθῆναι.

177. Μένειν] [u] Ἀντὶ τοῦ ζῆν.

178. Εὐφημίαν νῦν ἴσχε] [u] Εὔφημα φώνει.

179. Πρὸς χαρὰν] Πρὸς ἡδονήν.

*Ibid.* Πρὸς χαρὰν λόγων: Πρὸς χάριν ἀπαγγελοῦντα, [w] λόγων ἡδονὴν διδόντα· ἐκ τοῦ στεφάνου δὲ στοχάζεται, ὅτι μέλλει χρηστὰ ἀπαγγέλλειν.

181. Ὄκνου] [u] Φόβου. Ὅμηρος·

ὀκνείω δ' ἵππων.

185. Τάχα] Ἀντὶ τοῦ [x] εὐθέως.

188. Ἐν βουθερεῖ λειμῶνι: [y] Μέγα θέρος ἔχοντι, ὅ ἐστι, λήϊον· τὸ γὰρ βου ἐπιτατικόν ἐστιν. Ἢ τῷ σφόδρα βαλλομένῳ καὶ [z] καταθερομένῳ, ἤγουν θερμαινομένῳ, ὑπὸ τοῦ ἡλίου. Ἄλλως. Βουθερεῖ, ἢ ὄνομα τοῦ λειμῶνος, ἢ πολυθερεῖ, [a] τὸ γὰρ βου ἐπιτατικόν ἐστιν. Ὅ ἐστι, πολλάκις θεριζομένῳ, ἵν' εἴπῃ, πολυφόρῳ· ἢ ὑπὸ βοῶν θεριζομένῳ τοῖς ὀδοῦσι, τουτέστι, βοῦς τρέφοντι.

192. Αὐτὸς δὲ πῶς ἄπεστιν: Εἰ εὐτυχεῖ ὁ Ἡρακλῆς, πῶς ἄπεστιν ὁ Λίχας, καὶ οὐκ ἦλθε ταχέως [b] ἀπαγγέλλων;

193. Οὐκ εὐμαρείᾳ χρώμενος: Οὐ ῥαστώνῃ, οὐ καταφρονήσει σοῦ ἄπεστιν· ἀλλὰ κρινόμενος ὑπὸ τῶν πολιτῶν. Τὸ δὲ οὐ πολλῇ ἀντὶ τοῦ, οὐδὲ ὀλίγῃ. [c] Τινὲς δὲ οὕτως· οὐκ εὐχερείᾳ, ἀντὶ τοῦ, οὐκ ἔστιν αὐτῷ εὐχερὲς παραγενέσθαι.

194. Μηλιεὺς ἅπας λεώς: Μηλιεῖς, ἔθνος Θετταλικὸν πλησίον Τραχῖνος. Μηλία δὲ ἡ πόλις καλεῖται.

[s] Sic L. τὸ περὶ τὴν R. τὴν δὲ εἰς τὸ περὶ τὴν Br.

[t] ἡ ἀλήθεια Br. qui mox om. ἐν τῷ παρόντι χρόνῳ.

[u] Gl. om. R. Br.

[w] λόγον R. Br.

[x] ταχέως εὐθέως R. Br.

[y] τῷ μέγα R. Br. qui mox om. ἐστιν.

[z] καθαιρομένῳ L.

[a] τὸ—ἐστιν om. L.

[b] ἀπαγγελῶν; πρὸς ὃ ἀποδίδωσιν Br.

[c] οἱ δὲ R. Br.

196. Τὸ γὰρ ποθοῦν] Τὸ ποθούμενον.

197. Μεθεῖτο] [d] Ἀπολύσειεν.

198. Οὐχ ἑκὼν, ἑκοῦσι δέ: Τοῖς Μηλιεῦσιν αὐτὸς ὁ Λίχας σύνεστιν οὐχ ἑκών· βούλεται γὰρ [e] αὐτὸς αὐτῶν ἀποστὰς, ἐλθεῖν πρὸς σέ.

200. Ὦ Ζεῦ τὸν Οἴτης ἄτομον: Τὸν ἀπόρθητον. [f] Συμβαλόντες γὰρ οἱ δυσμενεῖς δῃοῦσι τὰ χωρία. Ἄμεινον δὲ, τὸν ἀφιερωμένον θεοῖς καὶ ἀγεώργητον, ὃν οὐδὲ βοτὰ καταβόσκεται· τὰ δὲ τοιαῦτα χωρία ὀργάδας ἐκάλουν.

202. Φωνήσατ' ὦ γυναῖκες: Ἀντὶ τοῦ, ὀλολύξατε καὶ βοήσατε, χάριν ὁμολογοῦσαι τοῖς θεοῖς.

203. Ὡς ἄελπτον ὄμμ' ἐμοὶ φήμης: [g] Ὄμμα φήμης φησὶν αὐτὸν τὸν φανερῶς ἀπαγγείλαντα, ἢ τὸ ἀπὸ τῆς φήμης φῶς. [h] Ἀνασχὸν δὲ, ἀναφανὲν, ἀνατεῖλαν· ἐκ μεταφορᾶς τοῦ ἡλίου.

206. Ἐφεστίοις ἀλαλαῖς: Ταῖς ἐπὶ τῶν θυσιῶν εὐχαῖς· ἀντὶ τοῦ, ὁ πᾶς οἶκος [i] Ἡρακλέους θυσίας καὶ εὐχὰς ποιείτω.

207. Ὁ μελλόνυμφος: Εἴ τις μελλόνυμφός ἐστιν, εἴτε γεγαμηκὼς, ἡκέτω· κοινὴ γὰρ πάντων ἐστὶν εὐχή· ἡκέτω δὲ πᾶσα κλαγγὴ ἀρσένων τε καὶ θηλειῶν, [καὶ] κοινὴν εὐχὴν ποιησάτω. Τὸ κοινὸς Ἀττικόν [k] ἐστιν, ὡς

κλυτὸς Ἱπποδάμεια.

209. Προστάταν] [l] Σωτῆρα.

211. Ἀνάγετ' ὦ παρθένοι: Ἀνυμνεῖτε πάντες καὶ πᾶσαι τὸν σωτῆρα καὶ παιᾶνα Ἀπόλλωνα.

*Ibid.* Ἀνάγετε] [l] Ἀνυμνεῖτε.

212. Βοᾶτε τὰν ὁμόσπορον: Ἀνυμνεῖτε καὶ τιμᾶτε τὴν ἅμα τῷ Ἀπόλλωνι [m] σπαρεῖσαν, τὴν ἐν Ὀρτυγίᾳ τιμωμένην. Νύμφας δὲ φησὶ, τὰς Ὀρεστιάδας, παρ' ὅσον ἐν τοῖς ὄρεσι διατρίβει ἡ Ἄρτεμις.

214. Ἀμφίπυρον: [n] Παρ' ὅσον ἀμφοτέραις ταῖς χερσὶ δαδουχεῖ, ἡ αὐτὴ οὖσα τῇ Ἑκάτῃ.

216. Ἀείρομ' οὐδ' ἀπώσομαι: Μετεωρίζομαι ἐν τῷ χορεύειν εἰς

[d] Gl. om. R. Br.

[e] αὐτὸς om. R. Br.

[f] ὃν εἰσβάλλοντες εἰς τὴν χώραν οἱ δυσμενεῖς οὐ δῃοῦσιν. Br.

[g] ὄμμα φήμης om. Br.

[h] ἀνασχὼν δὲ L.

[i] τοῦ Ἡρακλ. Br.

[k] ἐστιν om. R. Br. Mox ὡς τὸ Br. Homeri locus est Il. β'. 742.

[l] Gl. om. R. Br.

[m] σπαρεῖσαν Ἄρτεμιν Br.

[n] Hanc gl. collocavit Br. in superiore schol. post τιμωμένην.

τὸν ἀέρα, καὶ ἄνω αἴρομαι· τὸ γὰρ [o] μελιδάριον οὐκ ἔστι στάσιμον, ἀλλ' ὑπὸ τῆς ἡδονῆς ὀρχοῦνται.

217. Τὸν αὐλὸν ὦ τύραννε: Ὦ αὐλὲ, [p] ἢ ὦ Ἡράκλεις, ἢ ὦ Διόνυσε. Ἄλλως. Ὦ αὐλὲ, τῆς ἐμῆς [q] ψυχῆς τύραννε· ἐρεθίζει γὰρ ὁ αὐλὸς τὰς παρθένους πρὸς τὴν χορείαν· ἀντὶ τοῦ, ὦ κρατῶν τῆς ἐμῆς φρενός. Ἐν δὲ τῷ ταῦτα λέγειν, ὀρχοῦνται ὑπὸ χαρᾶς.

218. Ἰδού μ' ἀναταράσσει εὐοῖ μ': Εἰς Βακχικὴν ἅμιλλαν, τουτέστι χορείαν, παρορμᾷ με ὁ κισσός. Τὸ δὲ ὑποστρέφων, ἀντὶ τοῦ, ἀπὸ λύπης εἰς ἡδονὴν μετάγων, ἢ ὑποβάλλων.

223. Ἀντίπρωρα: Ἐναντία, ἀντικείμενα τοῖς προτέροις κακοῖς ἀγαθά. Ἢ ἀντιπρόσωπα, ὑπ' ὄψιν ὁρώμενα· ὑποδεικνύουσι δὲ τὸν Λίχαν ἐρχόμενον.

228. Χαρτόν] Ἄξιον χαρᾶς.

230. Κατ' ἔργου κτῆσιν: Κατὰ τὴν τοῦ ἔργου πρᾶξιν· τουτέστιν, ἀξίως τῆς [r] Ἡρακλέους ἀρετῆς. Προσφωνούμεθα [δὲ], ἀντὶ τοῦ, οἵων ἔδει τυχεῖν προσφωνήματων τοὺς [s] τὰ τοιαῦτα κατειργασμένους, ἐτύχομεν. [Εἰς τὸ αὐτό.] [t] Ἀντὶ τοῦ, κατὰ τὴν ἀπαγγελίαν.

236. Πατρῴας] Ἀντὶ τοῦ, [u] Ἑλλάδος. Ἀργεῖος γὰρ ὁ Ἡρακλῆς.

237. Ὁρίζεται] Κατασκευάζει, [w] ἵστησιν.

*Ibid.* Τέλη τ' ἔγκαρπα: Τέλη, θυσίας. Ἔγκαρπα δὲ, [x] τὰ θυμιάματα ἀπὸ ἀνθῶν ἢ καρπῶν.

*Ibid.* Κηναίῳ Διί: Κήναιον, Εὐβοίας ἀκρωτήριον, ἀπὸ Κηναίου [y] τοῦ Ἐλεφόρου.

239. Εὐκταῖα φαίνων ἢ 'πὸ μαντείας: Πότερον αὐτὸς [z] εὐξάμενος, καὶ ὑποσχόμενος ἐπὶ τῇ νίκῃ τοῦτο [a] ποιεῖν, ἢ ἀπὸ μαντείας, θεοῦ τινος κελεύσαντος;

240. Εὐχαῖς ὅθ' ᾕρει: [b] Κατευχαῖς φησὶν αὐτοῦ τελεῖσθαι τὰς θυσίας· ὅτε γὰρ ἐκράτησεν Οἰχαλίας, [c] εὐχαριστήριον τὰς θυσίας προσήγαγεν.

[o] μελύδριον Br.
[p] ἢ om. R.
[q] φρενὸς R. Br.
[r] τοῦ Ἡρακ. R. Br.
[s] τὰ om. R. Br.
[t] In principio gl. praeced. collocant R. Br.
[u] τῆς Ἑλλ. R. Br.
[w] ἵστησι,- κατασκευάζει Br. Gl. om. R.
[x] τὰ θυμιάματα τὰ Br. θυμιάματα τὰ R.
[y] τοῦ Εὐφορίωνος ἢ τοῦ R. Br.
[z] φθεγξάμενος R.
[a] ποιεῖ Br.
[b] κατ' εὐχὴν R. Br.
[c] εὐχαριστηρίους R.

242. Τοῦ ποτ' εἰσί: Ἀντὶ τοῦ, τίνος [d] εἰσὶ δεσπότου;

243. Οἰκτραὶ γὰρ εἰ μὴ ξυμφοραί: [e] Δυσγενεῖς γὰρ δοκοῦσιν εἶναι, εἰ μὴ ἄρα με σφάλλουσιν αἱ κατ' αὐτὰς συμφοραί· τουτέστιν, εἰ μὴ ἄρα διὰ τὴν τύχην ὑπεδύσαντο [f] οἶκτον.

244. Ταύτας ἐκεῖνος: Ἵνα τὰς μὲν αὐτὸς ἔχῃ, τὰς δ' ἀνιερώσῃ τοῖς θεοῖς.

246. Ἦ κἀπὶ ταύτῃ τῇ πόλει: Ἆρ' οὖν τὸν πολὺν τοῦτον καὶ [g] ἀνάριθμον χρόνον τῶν ἡμερῶν ἐν τῇ Οἰχαλίᾳ διέτριψεν; Ἄσκοπον [h] δὲ, πολὺν, ὃν οὐκ ἄν τις ἐπιλογίσαιτο καὶ καταμάθοι διὰ [i] τὸν χρόνον.

247. Ἀνήριθμον] Ἀντὶ τοῦ, ἀναρίθμητον.

250. Τοῦ λόγου δ' οὐ χρὴ φθόνον] Μέμψιν· οὐ χρὴ, φησὶ, μέμφεσθαι οἷς ἂν πράξῃ ὁ Ζεύς· ἰδίῳ γὰρ λογισμῷ πάντα πράττει [k] ὡς θέλει. Ἢ οὕτως· [l] οὐ χρὴ ἀηδῶς ἀκούειν τὸν λόγον, ὅ ἐστιν, ἐξευτελίζειν καὶ ψέγειν, ἢ οὐ χρὴ παραιτεῖσθαι λέγειν τὰ παρὰ [m] Διὸς γινόμενα, κἂν ᾖ χαλεπά.

*Ibid.* Ἐμποληθείς] [n] Πραθείς.

253. Ἐνιαυτὸν] [o] Ὁ Ἡρόδοτος γ̄ ἔτη λέγει.

254. Ἐδήχθη] [p] Ἐλυπήθη.

256. Τὸν ἀγχιστῆρα τοῦδε τοῦ πάθους: Τὸν αἴτιον, καὶ [q] σχέδον αὐτὸν ποιήσαντα τοῦ πάθους· λέγει δὲ τὸν Εὔρυτον.

*Ibid.* Ἀλλ' ὅθ' ἁγνὸς ἦν: Ὅτε [r] ἥγνισεν ἀπὸ τοῦ φόνου, ὅ ἐστιν, ὅτε ἐπλήρωσε τὴν ὑπὲρ τοῦ φόνου δουλείαν.

257. Πλεονάζει τὸ ἔτι.

258. [rr] Ἠλίωσε] Ἐματαίωσεν, μάταιον εἶπεν τὸ ἔπος.

259. Ἐπακτόν] [s] Συμμαχικὸν, οὐκ ἴδιον.

*Ibid.* Πόλιν] [t] Τὴν Οἰχαλίαν.

262. Ἐφέστιον] Ξένον, φίλον.

[d] εἰσὶ om. R. Br.
[e] εὐγενεῖς R. Br.
[f] τὸν οἶκτον Br.
[g] ἀναρίθμητον Br.
[h] δὲ om. R. τὸν πολὺν Br. Mox καὶ ante καταμάθοι om. R.
[i] τὸ μῆκος Br.
[k] καὶ θέλει R.
[l] τοῦ Διὸς R. Br.
[m] Gl. om. R. Br.
[n] οὐ—ψέγειν ἢ om. R. Br.
[o] ὁ δὲ Ἡρόδωρος τρία ἔ. λ. Br. Post λέγει R. addit τὸν ἐνιαυτόν.
[p] Gl. om. R. Br.
[q] πλησίον Br. Mox τὸ πάθος R.
[rr] Gl. om. R.
[r] ἡγνίσθη R. Br.
[s] ἤγουν συμμ. R. Br.
[t] Gl. om. R. Br.

264. Ἐπερρόθησεν: Σφοδρῶς ὕβρισεν, ἢ εἰς τὴν παιδοκτονίαν τῶν ἀπὸ Μεγάρας τέκνων· ἢ ὅτι πολλαῖς πρώην ὡμίλησε γυναιξὶν, [u] ὡς Ἀπολλόδωρος.

*Ibid.* Ἀτηρᾷ φρενί] Ἀπηνεῖ καὶ σκληρᾷ γνώμῃ.

265. Λέγων χεροῖν μέν: Λέγων αὐτὸν ἡττᾶσθαι τῶν αὐτοῦ τέκνων, εἰ καὶ ἄφυκτα βέλη ἔχει.

266. Τῶν ὧν τέκνων λίποιτο: Τοῦτο ἰδίως· οὐ γὰρ ἠλαζονεύσατο μόνον περὶ τῶν παίδων ἑαυτοῦ, ἀλλὰ καὶ δῶρον τοξείας προθεὶς τὴν Ἰόλην, νικήσαντι Ἡρακλεῖ οὐκ ἠγγύησεν. Διαφωνεῖται δὲ ὁ τῶν Εὐρυτιδῶν ἀριθμός. Ἡσίοδος μὲν γὰρ δ̄ φησὶν [w] ἐξ Εὐρύτου καὶ Ἀντιόχης παῖδας, οὕτως·

Ἡ δ' ὑποκυσσαμένη καλλίζωνος Στρατονίκη,
Εὔρυτον ἐν μεγάροισιν ἐγείνατο φίλτατον υἱόν.
Τοῦ δ' υἱεῖς ἐγένοντο Δηΐων [τε,] Κλυτιός τε,
Τοξεύς τ' ἀντίθεος, ἠδ' Ἴφιτος ὄζος Ἄρηος·
τοὺς δὲ μέθ' ὁπλοτάτην τέκετο ξανθὴν Ἰόλειαν
Ἀντιόχη κρείουσα [x] παλαιὸν γένος Ναυβολίδαο.

[y] Κρεόφυλος δὲ, β̄· Ἀριστοκράτης δὲ, γ̄, Τοξέα, Κλύτιον, Δηΐονα.

267. Λείπει ἡ ὑπό· ὡς ὑπὸ ἐλευθέρου ἀνδρὸς ὑβρίζοιτο· λέγει δὲ [z] τὸν Εὐρυσθέα.

269. Ἔρριψεν ἐκτὸς αὐτόν] Τῆς οἰκίας αὐτὸν ἀπεώσατο.

*Ibid.* Ὧν ἔχων χόλον: Ὑπὲρ δὴ τούτων ὀργιζόμενος Ἡρακλῆς, ἐφόνευσε τὸν Ἴφιτον, εἰς τὸ τῆς Τιρυνθίας ὄρος παραγεγονότα διὰ τὴν τῶν ἵππων ἀναζήτησιν.

272. Τότ' ἄλλοσ' αὐτὸν ὄμμα: Ἀλλαχόσε τὸν νοῦν ἔχοντα, καὶ [a] οὐδὲν δεινὸν πείσεσθαι προσδοκῶντα, ἀπὸ τοῦ ὄρους ἐδίσκευσεν.

*Ibid.* Τότε] Τὸ τηνικαῦτα.

273. Πυργώδους πλακός] [b] Ὑψηλοῦ ὄρους.

274. Ἔργου] Τοῦ φόνου.

276. Οὐδ' ἠνέσχετο: Οὐχ ὑπήνεγκεν αὐτοῦ τὴν μιαιφονίαν, ὅτι τὰς ἄλλας αὐτοῦ σεμνὰς πράξεις διὰ ταύτης κατῄσχυνεν.

[u] ὥς φησιν Br. Vide Apollodorum Heynii p. 203.
[w] ἐξ om. R. Br. Mox Ἀντιόχης L. R. Ἀντιόπης Br. et infra Ἀντιόπη.
[x] Πυλῶνος Ναυβολίδαο Br. ex em. Bentleii.
[y] Κρεώφυλος Br.
[z] τοῦ Εὐρυσθέως R.
[a] οὐ δεινὸν R. L.
[b] Gl. om. R. Br.

280. Ὕβριν γὰρ οὐ στέργουσιν: Τὴν ἀδικίαν· οἷον, οὐδ᾽ αὐτὸ τὸ θεῖον ὑβριζόμενον καρτερεῖ, ὃ λίαν ἐστὶν [c] ἀνεκτότατον.

281. Κεῖνοι δ᾽ ὑπερχλίοντες: Οἱ παῖδες τοῦ Εὐρύτου ὑπερηφάνως λοιδορησάμενοι τῷ Ἡρακλεῖ ἀνῃρέθησαν, ὑπερεντρυφήσαντες τῇ καθ᾽ Ἡρακλέους λοιδορίᾳ.

284. Ἄζηλον: Κακοδαίμονα, ὃν οὐκ ἄν τις ζηλώσειεν. Ὅμηρος·

[d] ἀμέγαρτε συβῶτα.

286. Πιστὸς ὢν κείνῳ] [e] Ὡς προσετάγην.

*Ibid.* Ἐφεῖτο] Ἐνετείλατο.

287. Αὐτὸν δ᾽ ἐκεῖνον: Τὸ ἑξῆς· αὐτὸν φρόνει ἥξοντα· τουτέστι, [f] προσδόκα, ὅταν διὰ τῆς θυσίας καθάρῃ αὐτὸν ἀπὸ τοῦ φόνου.

289. Λόγου] Τοῦ ἥξειν ἐκεῖνον.

291. Νῦν σοι τέρψις: Ἀντὶ τοῦ, ἐν τούτῳ τῷ χρόνῳ, καθ᾽ ὃν [g] ἀπαγγέλλω τὰ χρηστά· ἢ κατὰ τοῦτον τὸν τρόπον.

294. Πανδίκῳ φρενί] Ἀντὶ τοῦ, μετὰ πάσης δικαιοσύνης.

296. Ὅμως δ᾽ ἔνεστι: Γνωμολογεῖ ὁρῶσα τὰς αἰχμαλώτους.

Καὶ τοῦτο τοὐπός [h] ἐστιν ἀνδρὸς εὔφρονος·
ὅτ᾽ ἂν καλῶς πράσσῃ τις, ἐλπίζειν κακά.

303. Ὦ Ζεῦ τροπαῖε: Ἀποτρέπτικε, ἀλεξίκακε. Ἱκετεύει δὲ μὴ παθεῖν παραπλήσια ταῖς αἰχμαλωτίσι τὰ τέκνα αὐτῆς.

304. Τοὐμὸν σπέρμα] [i] Ἀντὶ τοῦ κατὰ τῶν ἐμῶν παίδων.

305. Μηδ᾽ εἴ τι δράσεις: Δεικτικῶς, ἀντὶ τοῦ, ἐμοῦ. Ὁ δὲ νοῦς· εἰ καὶ μέλλεις τι δρᾶν κατὰ τῶν ἐμῶν παίδων, τοῦτο ἐμοῦ ζώσης ἀναβαλοῦ.

308. Ἄνανδρος ἢ τεκνοῦσα: [k] Τέκνα ἔχουσα, ὅπερ Καλλίμαχος φησὶ παιδοῦσα.

*Ibid.* Πρὸς μὲν γὰρ φύσιν: Ὅσον μὲν γὰρ [l] ἐστιν ἐκ τῆς ἡλικίας καὶ [m] φύσεως τῶν σωμάτων στοχάζεσθαι, ἄπειρος εἶ τῶν ἐκ τοῦ γάμου προσγινομένων· ἔοικας δ᾽ [n] ὅμως τις εἶναι εὐγενής.

[c] ἀνεκτικώτατον Br. Verba καρτερεῖ—ἀνεκτότατον pentametrum conficere monuit P. E.

[d] Od. ρ΄. 219.

[e] Gl. om. R. Br.

[f] προσδόκα αὐτὸν ἥξειν Br.

[g] ἀπαγγέλλω R. Br.

[h] ἀνδρὸς εὔφρονος R. ἀνδρός ἐστιν ἔμφρονος Br. τοῦτ᾽ ἔστιν ἀνδρὸς ἔμφρονος ὅταν καλῶς πράσσῃ, ἐλπίζειν καὶ κακά. Tricl.

[i] Gl. om. R. Br.

[k] γράφεται τεκνοῦσσα, ἤτοι τέκνα Br. qui mox παιδοῦσσα. Callimach. fr. 431.

[l] ἐστιν om. R. Br.

[m] καταστάσεως et mox τοῦ σώματος Br.

[n] ὅμως δ᾽ ἔοικας εὐγενής τις εἶναι Br.

315. Γέννημα τῶν ἐκεῖθεν οὐκ ἐν ὑστάτοις: Οὐκ ἐν ταῖς ἀπερῥιμμέναις καὶ εὐτελέσι τεταγμένη, ἀλλὰ δῆλον ὅτι προύχουσα ἐν εὐγενείᾳ.

317. Οὐδ' ἀνιστόρουν μακράν: Ἐπολυπραγμόνουν, [o] περιειργαζόμην. Μακρὰν δὲ, ἐπιπολύ· καλῶς δὲ ὁ Λίχας διὰ τὸ ὕποπτον οὐδὲ τὸ γένος αὐτῆς ὡμολόγησεν εἰδέναι.

318. Τῶν ξυνεμπόρων] [p] Ξυναιχμαλωτίδων· ἔχεις δὲ, ἀντὶ τοῦ, ἔγνως.

319. Ἥνυτον] Ἀττικῶς. [q] Ἥνυον.

320. Ἐκ σαυτῆς: Ἀπὸ σαυτῆς, καὶ μὴ ὡς ἀφ' ἡμῶν ἀναγκαζομένη· συμφορὰ γάρ ἐστι τὸ μὴ γινώσκεσθαί σε, ἥτις τυγχάνεις. Τοῦτο δέ φησιν, ὡς μέλλουσα [r] αὐτῇ δεξιῶς χρήσασθαι, εἰ γνοίη τὰ κατ' αὐτήν.

322. Οὔτ' ἄρα τῷ γε πρόσθεν: Ἐὰν αἰδουμένη σε φθέγξηται, κατ' οὐδὲν ἄρα ἐξίσου τῷ πρόσθεν χρόνῳ προκομίσειεν αὐτῆς τὴν γλῶτταν· τὸν γὰρ πρὸ τούτου χρόνον ἐσιώπα, καὶ οὐδὲν πρὸς ἐμὲ τῶν καθ' ἑαυτὴν ἐδημοσίευσεν, οὔτε μικρὸν οὔτε μέγα παντελῶς. [Εἰς τὸ αὐτό.] Ὡς οὐκ ἐλάλησε πρώην, οὐδὲ νῦν λαλήσει.

325. Ὠδίνουσα] καταπονουμένη.

326. Δακρυρρόει] [s] Ἐδάκρυεν.

327. Διήνεμον] Ἔρημον, [t] ὑψηλόν. [u] Ὅμηρος ἠνεμόεσσαν φησί.

*Ibid.* Ἡ δέ τοι τύχη: Αὐτὴ δὲ ἡ τύχη, καθ' ἣν σιωπᾷ, ἐπιβλαβὴς μὲν αὐτῇ ἐστι, καθ' ὃ οὐ τυγχάνει τῆς παρὰ σοῦ δεξιότητος. [w] ὅμως συγγνώμην ἔχει.

329. Ἡδ' οὖν ἐάσθω: Μὴ ἀναγκαζέσθω λέγειν· ἀλλὰ πραττέτω ὥσπερ αὐτῇ φίλον, ἵνα μὴ δόξωμεν αὐτὴν λυπεῖν.

333. Οἷ θέλεις] [x] Πρὸς τὸν Ἡρακλέα δηλονότι.

335. Αὐτοῦ γε πρῶτον: Ὁ προευαγγελισάμενος κατέχει αὐτὴν, ἵνα εἴπῃ περὶ ὧν ἤκουσεν [y] παρ' αὐτοῦ ἐν τῷ προαστείῳ λέγοντος.

[o] περιεργαζόμην R.
[p] τῶν ξυν. τὸ δὲ ἔχεις R. Br.
[q] ἀντὶ τοῦ ἤνυον R. Br.
[r] δεξιῶς αὐτῇ Br.
[s] Gl. om. R. Br.
[t] ὑψηλὴν R. Br.
[u] Sensus est, idem significare διήνεμον quod Homericum ἠνεμόεσσαν. Male ed. Rom. ἣν Ὅμηρος ἠνεμόεσσάν φησιν, quasi Homerus Oechaliam ἠνεμόεσσαν appellet. Qua scriptura deceptus Brunckius, olim lectum conjicit Il. β'. 730. οἵ τ' ἔχον Οἰχαλίην, πόλιν Εὐρύτου ἠνεμόεσσαν, non, ut nunc, Οἰχαλιῆος. P. E.
[w] ὅμως δὲ R. Br.
[x] Gl. om. R. Br.
[y] παρὰ τοῦ Λίχα R. Br.

336. Οὕστινας ἄγεις: Ἄγεις ἀντὶ τοῦ, ἔπεμψας· ἦσαν δὲ καὶ ἄρσενες μετὰ τῶν αἰχμαλώτων.

337. Ὧν τ' οὐδὲν εἰσήκουσας: Περὶ τούτων γὰρ πάντων προσήκει σε μαθεῖν· τούτων γὰρ ἔχω τὴν γνῶσιν.

339. Τοῦ [z] με τήνδ' ἐφίστασαι βάσιν: Τίνος ἕνεκεν τὴν πορείαν καὶ τὴν εἴσοδον ἱστᾷς καὶ κωλύεις;

341. Μάτην] [a] Ψευδῶς.

344. Τούτους δ' ἔα] [a] Τὸν Λίχαν καὶ τὰς αἰχμαλώτους.

*Ibid.* Σοὶ ταῖσδέ τ' οὐδέν: Ἀντὶ τοῦ, οὐδὲν οὔτε πρὸς σὲ, οὔτε πρὸς ταύτας ἀπόρρητον. Τούτους δὲ, [b] ἢ τὰς αἰχμαλώτους καὶ τοὺς ἅμα δύντας ἄρσενας, ἢ τοὺς περὶ τὸν Λίχαν.

347. Φώνει δίκης ἐς ὀρθόν: Ἀντὶ τοῦ, ἐφώνει δικαίως καὶ μετὰ ἀληθείας.

*Ibid.* Ἀλλ' ἢ νῦν κακός] Ἀντὶ τοῦ, ἢ τὰ πρότερον, ἢ τὰ νῦν ψεύδεται.

350. Ἐξείρηκας] [bb] Ἐξεῖπες.

*Ibid.* Ἄγνοιά μ' ἔχει] [c] Ἀγνοῶ, καὶ οὐ συνίημι.

352. Τῆς κόρης ταύτης] Τῆς Ἰόλης.

353. Εὔρυτόν θ' ἕλοι] [d] Ἑλὼν εἴη· εἰ δὲ ὑφ' ἓν, θέλοι ἄν.

354. Τήν θ' ὑψίπυργον Οἰχαλίαν: Φερεκύδης φησὶν οὕτω· "Μετὰ "δὲ τὸν ἀγῶνα Ἡρακλῆς ἀφικνεῖται πρὸς Εὔρυτον τὸν [e] Μέλανος "τοῦ Ἀρκεσιλάου εἰς τὴν Οἰχαλίαν· ᾤκεῖτο δὲ αὕτη ἐν Θούλῃ τῆς "Ἀρκαδίας· καὶ ᾔτει τὴν θυγατέρα Ὕλλῳ γυναῖκα· τοῦ δὲ [f] μὴ "δόντος, Ἡρακλῆς εἷλε τὴν Οἰχαλίαν, καὶ τοὺς υἱοὺς ἔκτεινεν. Ἴφι-"τος δὲ ἔφυγεν εἰς Εὔβοιαν." Μενεκράτης δὲ οὕτω λέγει· Ἡρακλέα εἰς ἐπιθυμίαν Ἰόλης ἀφικέσθαι τῆς Εὐρύτου· τὸν δὲ μὴ θέλειν διδόναι· ἦρα τε γὰρ αὐτῆς, καὶ μίγνυσθαι ἔμελλεν τῇ θυγατρὶ, εἰ μὴ Ἀργεῖοι ἐξῆλθον εἰς τὴν Εὔβοιαν.

355. Θέλξειεν] Πεπεικὼς [g] εἴη.

[z] Sic L. κε R.
[a] Gl. om. R. Br.
[b] ἤγουν R. Br. Statim τοὺς αἰχ. L. R. Infra τὴν Λίχαν L.
[bb] Gl. om. R. Br.
[c] ἤγουν ἀγνοῶ R. Br.
[d] ἑλόντ' εἴη R. ἕλοι τε εἴη ἂν Br. qui om. ἂν post θέλοι.
[e] Μελανέως Brunck. Sic legi jubet etiam Van Staveren in Miscell. Obs. Vol. X. p. 306. Hoc docet Pausan. IV. c. 33. καὶ Εὐρύτου τοῦ Μελανέως τὰ ὀστᾶ ἐφυλάσσετο ἐνταῦθα. Haec monuit Hoepfnerus. ERFURDT.
[f] μὴ διδόντος Br. Tricl. Mox τὴν Εὔβ. Br.
[g] εἶεν L. R.

355. Αἰχμάσαι τάδε: Καταπράξασθαι τῇ αἰχμῇ, ὅ ἐστι, διὰ πολέμου κατορθῶσαι.

358. Ὃν νῦν παρώσας: Τὸν ἔρωτα αὐτῆς [h] ἀπωσάμενος, τἀναντία εἶπεν ὁ Λίχας.

*Ibid.* Παρώσας] [i] Παραπεμψάμενος.

360. Κρύφιον ὡς ἔχῃ λέχος: Λαθραῖόν [k] σοι, μὴ εἰδυίας σου· ἀλλ' ἵνα ὡς παλλακίδα αὐτὴν λάβοι.

362. Ἐν ᾗ] Τῇ Οἰχαλίᾳ, τῇ πατρίδι τῆς Ἰόλης.

365. Καὶ νῦν ὡς ὁρᾷς: Ἀντὶ τοῦ, ὡς ἀκούεις. Ἥκει δὲ, ἀντὶ τοῦ, [l] ἐλεύσεται. Διὰ δὲ τούτων τὴν ταχεῖαν αὐτοῦ ἄφιξιν ἀπαγγέλλεται. Οὐκ ἀφροντίστως δὲ, [m] ἀντὶ τοῦ, οὐχ ὡς ἔτυχεν, ἀλλὰ διὰ πολλῆς φροντίδος ἔχων αὐτὴν καὶ ἀγαπῶν.

367. Μηδὲ προσδόκα τόδε: Τὸ ἐν δούλης μέρει ἔχειν αὐτήν.

368. Ἐντεθέρμανται] Ἐκκέκαυται.

372. Ἀγορᾷ] Ἀθροίσματι.

373. Ὥστ' ἐξελέγχειν] [n] Ὥστε με καὶ μαρτύρων εὐπορεῖν εἰ ἀρνήσαιτο.

374. Οὐχ ἥδομαι: Λυποῦμαι μὲν, οὐκ εἰπών σοι τὰ κεχαρισμένα, ἀλλ' ὅμως [o] ἀληθείας ἐγγύς.

377. Ἆρ' ἀνώνυμος: Ἆρα ἄσημος [p] οὕτως ἐστὶ καὶ δυσγενὴς, ὡς μηδὲ τὸ ὄνομα αὐτῆς γιγνώσκεσθαι;

379. Ἦ καὶ τὰ λαμπρά: [q] Τινὲς τὸ τοῦ ἀγγέλου πρόσωπον φασί· τὸ δὲ κατ' ὄμμα καὶ φύσιν ἀντὶ τοῦ, εὐπρεπὴς τὴν ὄψιν καὶ τὸ πᾶν σῶμα· [r] ἀντὶ τοῦ, ἆρα τῇ θέᾳ καὶ τὸ γένος ἐφάμιλλον.

382. Βλάστας] Τοὺς γονεῖς, ἀφ' ὧν ἐβλάστησεν.

*Ibid.* Δῆθεν: Προσποιούμενος μηδένα ἠρωτηκέναι, μηδὲ ἐγνωκέναι. [Εἰς τὸ αὐτό.] [s] Ἀντὶ τοῦ ὡς δή.

383. Ὄλοιντο μή τι πάντες: Ὄλοιντο μὴ πάντες ἄνθρωποι, ἀλλ' οἱ κακοὶ, καὶ ὅσοι μηχανῶνται λάθρα, καὶ κακούργους λόγους ἑαυτοῖς συντιθέασιν.

[h] παρωσάμενος Br.
[i] Ante τἀναντία R. Br.
[k] σοι om. Br. In fine λάβῃ R. Br.
[l] ἐλεύσεται ὅσον οὔπω Br. Tricl. Mox ἐπαγγέλλεται R.
[m] ἀντὶ τοῦ om. Br.
[n] Gl. om. R. Br.
[o] ἀληθῆ εἰσιν ἅπερ εἴρηκα Br. Tricl.
[p] οὕτω καὶ δυσγ. R.
[q] ταῦτα R. Br. qui mox φησι.
[r] ἢ ἀντὶ τοῦ R. Br.
[s] Gl. om. R. Br.

389. Οὐκ ἀπὸ γνώμης] [t]Ἀλλ' ἀρεστά. [Εἰς τὸ αὐτό.] Οὐκ ἄνευ συνέσεως, ἢ, τοῦτο κἀμοὶ ἀρέσκει.

390. Ἡμεῖς δὲ προσμένωμεν] Κατ' ἐρώτησιν.

392. Αὐτόκλητος] Αὐτόματος.

394. Ὡς ἕρποντος εἰσορᾷς ἐμοῦ] Ὁρᾷς γάρ με ἕρποντα καὶ σπεύδοντα πρὸς τὸν Ἡρακλέα. [Εἰς τὸ αὐτό.] [u]Ὡς τὸ,

κατεάγη τῆς κεφαλῆς.

396. Αἴσσεις] Ἀντὶ τοῦ, [w] ἀΐσσεις.

*Ibid.* Καὶ νεώσασθαι: Ἀνακαινίσασθαι, καὶ αὖθις ὁμιλῆσαι ἀκριβῶς ἐκ [x] νέας. Ἢ οὕτω· πρὶν ἡμῖν καινοτέρους ἀνακοινώσασθαι λόγους.

399. Ἴστω ὁ μέγας Ζεὺς, ὅτι περὶ ὧν οἶδα ἀκριβῶς σοι διηγήσομαι.

401. Ὧν δ' ἔβλαστεν] Ἀντὶ τοῦ, ὑπὸ τίνος ἐτέχθη.

402. Οὗτος βλέφ' ὧδε: [y]Ὅτι πρὸς βασιλίδα. Τὸ δὲ χ̅, ὅτι τὸ ὧδε τοπικόν.

*Ibid.* Ὡς εἰκὸς, κάτω νένευκεν ὁ Λίχας· κατασχοῦσα οὖν αὐτὸν τῆς χειρὸς, φησίν· ἀπόβλεψον εἰς ἐμέ· ὁ δὲ ἀνανεύσας [z] ἔφη, Πρὸς τίνα γὰρ [a] νομίζεις με βλέπειν;

404. Καλῶς τὸ τόλμησον, ὡς ἀποδειλιῶντος εἰπεῖν διὰ [b] τὴν δεσπότιν.

405. Πρὸς τὴν κρατοῦσαν] Τοῦτο πρὸς τὸ, πρὸς τίν' ἐννέπειν δοκεῖς;

409. Δίκαια] Ἀντὶ τοῦ, ἀληθῆ.

411. Ἐς τήνδε] [c] Δεικτικῶς.

*Ibid.* Μὴ δίκαιος ὢν] Μὴ ἀληθεύων.

412. Τί ποτε ποικίλασ' ἔχεις: Τί πεπανούργηκας κατ' ἐμοῦ; τί ἐμηχανήσω, ἢ [d] ἐδολιώσω;

[t] οὐκ ἄνευ συνέσεως, ἀλλ' ἀρεστά· ἤγουν κἀμοὶ ἀρέσκει τοῦτο. Br. In fine ἤγουν κἀμοὶ ἀρέσκει absque τοῦτο R.

[u] ἔστι δὲ ὅμοιον τῷ Br. Versus est Aristoph. Vesp. 1419.

[w] ἀΐσ L. manu rec. ἀΐσεις R.

[x] νέου R. Br.

[y] Haec aliter collocant R. Br.

[z] εἶπεν ἂν Br.

[a] νομίζεις λέγειν. ἄλλως. Πρὸς τίν'— τοπικόν ἐστι. R. πρὸς ὃ τὸ, Πρὸς τίν'— τοπικόν ἐστι Br.

[b] τὸν δεσπότην R. Br.

[c] δεικτικῶς, εἰς ἐμέ Br. δεικτικῶς εἰς τήνδε μὴ ἀληθεύων R.

[d] ἐδολιεύσω R. Br.

414. Κλύων σέθεν] Εἰκῇ [e] ὁμιλούσης.

415. Ἱστορούμενος] [f] Ἐρωτώμενος.

416. Καὶ γὰρ οὐ σιγηλὸς εἶ: Ἀντὶ τοῦ, σιγηλή· οὐ σιωπᾷς, [g] φησὶ, πρὶν ἂν μάθῃς ὅ τι βούλει. [Εἰς τὸ αὐτό.] Ἀντὶ τοῦ, πολλὰ φλυαρήσεις εἰς ἡμᾶς.

419. Οὐκ οὖν σὺ ταύτην: Οὐ σὺ, φησὶ, ταύτην, [h] ἣν προσποιῇ ἀγνοεῖν, ἔλεγες εἶναι Ἰόλην;

*Ibid.* Ἣν ὑπ' ἀγνοίας ὁρᾷς] [i] Ἣν ἀγνοεῖς.

425. Ταυτὸ δ' οὐχὶ γίνεται: Οὐ ταυτόν ἐστι δόκησις καὶ ἀληθὴς λόγος· θέλει δ' εἰπεῖν, ὅτι κἀγὼ ἤκουσα.

434. Ἄνθρωπος, ὦ δέσποιν', ἀποστήτω: Περισσὴ ἡ ἀπό· ἢ γρ. παρστήτω, [k] οἷον, ὁ ἄνθρωπος στήτω παρελθὼν εἰς μέσον, ὁ διελέγχων με.

*Ibid.* Τὸ γὰρ νοσοῦντι ληρεῖν: Ἀντὶ τοῦ, φλυαρεῖν καὶ ἀδολεσχεῖν. Νοσοῦντι [l] δὲ, ἀντὶ τοῦ, νοσούσῃ ὑπὸ ζηλοτυπίας· ἀρσενικῶς δὲ εἶπεν, [m] ἢ ἡ καθόλου ὁ λόγος. [n] Καὶ μὴ δόξῃ αὐτὴν διελέγχειν οὕτω· τὸ γὰρ μαινομένῳ συμφλυαρεῖν, ἀνδρός ἐστιν οὐ σώφρονος· προστήτω οὖν, [o] φησὶν, ὁ ἄνθρωπος· οὐ γὰρ φιλονεικήσει πρὸς αὐτόν.

441. Εὐήθης γὰρ, ὅστις προσδοκᾷ ἀντιπυκτεῦσαι τῷ ἔρωτι.

444. Κἀμοῦ γε] Ἀπὸ κοινοῦ τὸ ἄρχει.

446. Ληφθέντι μεμπτός εἰμι: Μεμπτή εἰμι, τουτέστιν, [p] ἀεὶ μέμφομαι. Ἢ ἀντὶ τοῦ, ἐπίμεμπτος, ἐπιπληκτική.

449. Ἀλλ' εἰ μὲν ἐκ κείνου μαθών: Εἰ [q] μὲν παρ' Ἡρακλέους ἐκελεύσθης ψεύσασθαι, κακὴν μάθησιν ἐκμανθάνεις· εἰ δὲ σὺ σαυτὸν εἰς τοῦτο ψευδολογίας ἄγεις, ἴσθι ὅτι κἂν [r] ἐθελήσῃς ποτὲ εἰπεῖν ἀληθὲς, οὐ δυνήσῃ, ὑπὸ τῆς συνηθείας νικώμενος, ἢ κἂν θέλῃς ἀληθεῦσαι, οὐ πιστευθήσῃ.

454. Κὴρ] Μερὶς, κλῆρος, μοῖρα, τύχη.

[e] ὁμιλούσης δηλονότι R. Br.
[f] Gl. om. R. Br.
[g] φησὶ, πρὶν ἂν πολλὰ φλυαρήσῃς εἰς ἡμᾶς, ἢ πρὶν ἂν μάθῃς ὅτι βούλει. R. Br.
[h] ἢ R.
[i] Gl. om. R. Br.
[k] ἤγουν R. Br.
[l] δὲ om. R. Br.
[m] καθολικῶς τὸν λόγον ἐπαγαγὼν, ἵνα μὴ δόξειεν Br.
[n] ὡς R. Mox τὸ γὰρ νοσοῦντι καὶ οἷον μαινομένῳ Br.
[o] φησὶν om. Br. Tum φιλονεικήσω R. Br.
[p] εἰ R. Br.
[q] μὲν γὰρ Br.
[r] θελήσῃς R. Br. Mox τἀληθὲς Br.

455. Ὅπως δὲ λήσεις] [s] Ἀντὶ τοῦ, τί μή. Ἀττικὴ δὲ ἡ φράσις. [t] Λυπηθήσομαι, εἰ μὴ εἴπῃς, καὶ παρ' ἐμοῦ προσδόκα βλαβήσεσθαι.

460. Ἀνὴρ εἷς: [u] Τινὲς ἀνάνδρους παρθένους, ὡς Μήδαν τὴν Φύλαντος, Αὔγην τὴν Ἀλέου, Μεγάραν τὴν Κρέοντος, τὰς Θεστίου θυγατέρας, Ἀστυδάμειαν τὴν Ἀμύντορος.

462. Ἡδέ τ' οὐδ' ἂν εἰ κάρτα: Οὐδὲ ἡ Ἰόλη [w] ὀνειδισθήσεται, οὐδ' εἰ μεγάλως αὐτῆς ἐρᾷ ὁ Ἡρακλῆς.

463. Τῷ φιλεῖν αὐτὴν [x] ὁ Ἡρακλῆς.

467. Ἀλλὰ ταῦτα μὲν ῥείτω κατ' οὖρον: Ὁ περὶ τούτων λόγος ἐρρίφθω, φησὶν, εἰς τὸν ἀέρα.

468. Σοὶ δ' ἐγὼ φράζω] [y] Οὐκ ἐρῶ γὰρ τῷ Ἡρακλεῖ.

470. Πείθου λεγούσῃ χρηστά: Πείσθητι, φησίν· ὁρᾷς γὰρ ὅτι φιλανθρώπως [z] ὁμιλεῖ.

473. Ἀγνώμονα] [y] Ἀσύνετον.

475. Ὥσπερ οὗτος ἐννέπει: Ὁ ἐν τῷ λειμῶνι ἀκηκοὼς, καὶ ἀπαγγείλας [a] τῇ Δηϊανείρῃ.

480. Οὔτ' εἶπε κρύπτειν: Τὸ ἑξῆς· καὶ ταῦτα οὔτ' εἶπε κρύπτειν· τὰ περὶ τοῦ ἔρωτος, φησὶ, τῆς Ἰόλης οὔτε κρύπτειν μοι ὁ Ἡρακλῆς εἶπεν, οὔτε μὴν ὁμολογεῖν.

483. Εἴ τι τήνδ' ἁμαρτίαν νέμεις: Καλῶς [b] διὰ τῆς λέξεως συγγνώμην ἑαυτῷ προξενεῖται.

484. Ἐπεί γε μὲν δὴ πάντ' ἐπίστασαι: Ἐπεὶ τοίνυν πάντα [c] λοιπὸν ἐπίστασαι, λέγω τι καὶ ἕτερον, ὅπερ ὁμοίως κεχαρισμένον σοί τε καὶ τῷ Ἡρακλεῖ γενήσεται.

490. [d] Ὥσπερ προείρηκα, [e] ταῦτα ποιήσω.

491. Κοὔτοι νόσον ἐπακτόν: Τὴν θεομαχίαν· [f] ἐπακτὸν δὲ ἐνταῦθα ἀντὶ τοῦ, αὐθαίρετον τὴν θεομαχίαν· τὸ γὰρ πρὸς [g] ἔρωτα φιλονεικεῖν, θεομαχεῖν ἐστιν ἄντικρυς.

[s] ἀντὶ τοῦ μὴ λήσῃς R. λήσεις Br.

[t] λυπήσομαι R. Br. λ. δὲ ἐὰν μὴ Br.

[u] τινὲς] Sic, ut videtur, L. cum Tricl. δηλονότι R. Br. Mox Μίδειαν Br.

[w] ὀνειδισθήσεται ὑπ' ἐμοῦ Br.

[x] τὸν ἡρακλέα R. Br.

[y] Gl. om. R. Br.

[z] σοι ὁμίλει Br.

[a] σοι Br. pro τῇ Δ.

[b] δὲ τῆς R.

[c] λοιπὸν L. R. λόγον Br.

[d] ἤγουν, ὥσπερ R. Br.

[e] οὕτω ποιήσω ταῦτα Br. ταῦτα καὶ π. R.

[f] ἐπακτὸν—αὐθαίρετον post ἀντικρὺς Br.

[g] ἐρῶντα L.

494. Ἅ τ' ἀντὶ δώρων δῶρα: Ὅπως ἂν αὐτῷ παρ' ἡμῶν κομίσῃς ἀντίποινα καὶ σύμφωνα οἷς ἤγαγες· λέγει δὲ ἀντὶ τῶν αἰχμαλώτων.

496. Σὺν πολλῷ στόλῳ] [h] Τοῖς ἀπεσταλμένοις αἰχμαλώτοις.

497. Μέγα τι σθένος: [i] Νικηφορεῖ ἐν παντὶ [k] πράγματι. Ἢ οὕτως· ἀποφέρεται τὰς νίκας κατὰ πάντων, καὶ πάσης κρατεῖ φύσεως. Σθένος δὲ νίκης περιφραστικῶς, τὴν νίκην. [Εἰς τὸ αὐτό.] [l] Εἰκότως ὁ Χορὸς τοιαύτην ἀρχὴν πεποίηται· πέπαυται γὰρ ὁ λόγος περὶ τοῦ ἔρωτος. [Εἰς τὸ αὐτό.] [m] γρ. μέγα τι σθένουσα.

*Ibid.* Ἐκφέρεται] [n] Ἀποφέρεται.

499. Παρέβαν] Ἀντὶ τοῦ, παραβήσομαι· καὶ ὅσα μὲν, [o] φησὶν, εἰς θεοὺς, ἐνεδείξατο, ὑπερβήσομαι.

501. Τὸν ἔννυχον] Τὸν ἐν σκότῳ διατρίβοντα.

503. Ἀλλ' ἐπὶ τάνδ' ἄρ' ἄκοιτιν: Τὴν Δηϊάνειραν· ὁ δὲ νοῦς [p] οὕτω· τὰ μὲν εἰς θεοὺς γεγονότα παρίημι, ἐκεῖνα δὲ λέγω, τίνες ἠγωνίσαντο περὶ τῶν γάμων Δηϊανείρας, καὶ κατέβησαν εἰς τὸν ἀγῶνα.

504. Ἀμφίγυοι πρὸ γάμων κατέβαν: Ἀντίπαλοι ἢ ἰσχυροὶ ἐν τοῖς [q] γύοις, μαχεσάμενοι χερσὶ καὶ ποσίν· ἢ ἀμφότεροι [r] τεθεωρημένοι· ἢ ἄμφω [s] παρωξυμμένοι.

*Ibid.* Ἐξῆλθον ἄεθλα: Ἀντὶ τοῦ, διήνυσαν, ἐπεξῆλθον, ἠγωνίσαντο· λέγει δὲ, ὅτι πᾶν εἶδος ἀγωνίσματος κατ' ἀλλήλων [t] ἐνεδείξαντο.

505. Ἄεθλα] Ἀγωνίσματα· [u] πάμπληκτα δὲ, πληγῶν μεστά.

508. Τετραόρου] Τετρασκέλους.

*Ibid.* Φάσμα] Φάντασμα, σχῆμα.

509. Ἀπ' Οἰνειαδᾶν: Ἀπὸ Αἰτωλίας. Ἢ οὕτως· Οἰνίαι, [w] πόλις Ἀκαρνανίας, δι' ἧς ῥεῖ ὁ Ἀχελῷος· πληθυντικῶς δὲ λέγεται.

510. Βακχείας] Τῆς τὸν Βάκχον ἐχούσης· καλῶς δὲ τὸ Βακχείας, πρὸς ἀντιδιαστολήν.

512. Ἀφ' ἱστορίας φησὶ λόγχην ἔχειν τὸν Ἡρακλέα.

[h] ἤγουν σὺν τοῖς ἀπεσταλμένοις αἰχμαλώτοις R. Br.

[i] γράφεται καὶ μέγα τι σθένουσα κύπρις R. Br. ὁ δε νοῦς addit Br.

[k] πράγματι Κύπρις Br.

[l] εἰκότως δὲ R. Br.

[m] Om. h. l. R. Br.

[n] Gl. om. R. Br.

[o] εἰς θεούς φησιν R. Br.

[p] οὗτος R. Br.

[q] γυίοις Br.

[r] τεθωρακισμένοι R. Br.

[s] παρωξυμένοι R.

[t] ἐνεδείξαντο, ἠγωνίσαντο R. Br.

[u] Haec superius collocant R. Br.

[w] πόλεις L.

513. Ἀολλεῖς: Καταχρηστικῶς εἶπεν ἐπὶ δύο τὸ ἀολλεῖς. Ἐπὶ πλήθους γὰρ λέγεται. [x]Ἢ ἀολλεῖς, ἀντὶ τοῦ, λίαν ἀλέντες. Ὅμηρος·

[y] Οἴμησεν δὲ ἀλείς.

514. Ἱέμενοι] Ἐπιθυμοῦντες.

*Ibid*. Μόνη δὲ [z] ἡ Κύπρις παροῦσα, ἐβράβευεν καὶ διέταττεν.

517. Τότε οὖν ὁ Ἡρακλῆς καὶ χερσὶ καὶ τόξοις ἐμάχετο· ὁ δὲ Ἀχελῷος τοῖς κέρασιν.

519. Ἀνάμιγδα] Ἀναμεμιγμένως.

520. Ἦν] Ἡσίοδος·

[a] Τῆς δ' ἦν τρεῖς κεφαλαί.

Ἀντὶ τοῦ, ὑπῆρχον.

*Ibid*. Ἦν δὲ ἀμφίπλεκτοι κλίμακες: Κλίμακες αἱ ἐπαναβάσεις, παρὰ τὸ ἄνω τε καὶ κάτω αὐτοὺς στρέφεσθαι ἐν τῇ μάχῃ· ἔστι δὲ εἶδος παλαίσματος ἡ κλίμαξ· τοῦτο δὲ τὸ σχῆμα ἐπὶ Ἡρακλέους ἀκουστέον.

521. Ἦν δὲ μετώπων] Τοῦτο ἐπὶ Ἀχελῴου· οἱ γὰρ ταῦροι τοῖς κέρασι καὶ μετώποις μάχονται.

523. Ἁ δ' εὐῶπις ἁβρά] Ἡ Δηϊάνειρα.

526. Ἐγὼ δὲ μάτηρ μέν: Ἐγώ, φησίν, ἐνδιαθέτως ὡσεὶ μήτηρ λέγω· ἐγὼ παρεῖσα τὰ πολλά, τὰ τέλη λέγω τῶν πραγμάτων.

527. Ἀμφινίκητον ὄμμα νύμφας: Ἀντὶ τοῦ, [b] περιμάχητος νύμφη, περιφραστικῶς· ἀπὸ δὲ τοῦ καλλιστεύοντος αὐτὴν εἶπεν μέρους. [Εἰς τὸ αὐτό.] Ἔτι δὲ καὶ νύμφη ἐλεεινὴ οὖσα, ὑπέμεινεν ἡ περικαλλὴς Δηϊάνειρα.

528. Ἀμμένει] Ἀντὶ τοῦ, [c] ἀνέμενεν.

529. Κἀπὸ ματρός] Παραχρῆμα γαμηθεῖσα, [d] τῶν τῆς μητρὸς ἀφωρίσθη πραγμάτων.

531. Ἦμος φίλαι κατ' οἶκον: [e] Δηϊάνειρα πρὸς τὸν Χορὸν ἐξελθοῦσα διαλέγεται, καὶ φησὶν, ἐν ὅσῳ ὁ Λίχας κατὰ τὸν οἶκον συντάττεται ταῖς αἰχμαλώτοις, ἐξῆλθον, ἵνα ἅπερ ἐμηχανησάμην δηλώσω ὑμῖν.

[x] ἐπὶ—ἢ ἀολλεῖς om. R.
[y] Il. χ'. 308.
[z] ἡ εὔλεκτρος Κύπρις R. Br
[a] Theogon. 321. ἦν ἀντὶ τοῦ ὑπῆρχον ante Ἡσίοδος inserunt R. Br.
[b] ἡ περιμ. R. Br.
[c] ἀνέμεινε Br.
[d] τῶν et mox πραγμάτων om. Br.
[e] ἡ Δη. R. Br.

532. Ὡς ἐπ' ἐξόδῳ] Ὡς μέλλων αὖθις ἐξιέναι πρὸς τὸν Ἡρακλέα.

535. Συγκατοικτιουμένη] Σὺν ὑμῖν [f] θρηνήσουσα.

536. Ἀλλ' ἐζευγμένην παρεισδέδεγμαι: Γεγαμημένην τῷ Ἡρακλεῖ προσεδεξάμην, φορτίον λωβητὸν τῆς ἐμῆς φρενὸς, [g] βλαβερὸν φορτίον καὶ ἐφύβριστον.

538. Ἐμπόλημα] [h] Ἀντὶ τοῦ ζημίαν.

539. Μιᾶς ὑπὸ χλαίνης] [i] Ἀντὶ τοῦ, μιᾶς κοίτης.

542. Οἰκούρι' ἀντέπεμψεν: Τοιαῦτα τῆς οἰκουρίας δῶρα ἔπεμψέ μοι ὑπὲρ τοῦ χρόνου παντὸς, οὗ συνῴκησα αὐτῷ, ὅ ἐστιν, εὐχαριστήρια τῆς πολυχρονίας ἡμῶν οἰκουρίας.

547. Τὴν μὲν ἕρπουσαν πρόσω: Τῇ Ἰόλῃ προκόπτουσαν, καὶ [k] αὐξομένην τὴν ἥβην.

548. Τὴν δὲ φθίνουσαν] Ἑαυτὴν λέγει, δεικτικῶς. Φθίνουσαν δὲ, ἀντὶ τοῦ, βεβηκυῖαν.

549. Ὀφθαλμὸς ἄνθος: Τὸ ἄνθος τῶν νέων γυναικῶν φιλεῖ ἁρπάζειν ὁ ὀφθαλμὸς τοῦ ἀνδρός. Τῶν δὲ [l] ὑπαναχωρεῖν, δηλονότι τῶν πρεσβυτέρων.

*Ibid.* [m] Τῶνδ' ὑπεκτρέπει πόδα: Ὧν δύο ἡλικιῶν τὴν νεάζουσαν ἁρπάζειν εἴωθεν ὁ τοῦ ἀνδρὸς ὀφθαλμός.

550. Μὴ πόσις μὲν Ἡρακλῆς: Διαφορὰν ταύτην ἔχει [n] ἡ πόσις πρὸς τὸν ἄνδρα· πόσις γὰρ λέγεται καὶ ὁ πρὸ πολλοῦ [o] ἀποστὰς τῆς γυναικός· ἀνὴρ δ' ὁ συνὼν, καὶ ὁ πρὸ ὀλίγου χωρισθεὶς, ὡς τὸ,

[p] ἆνερ, ἀπ' αἰῶνος νέος ὤλεο.

Δέδοικα οὖν, φησὶ, μὴ ἐμὲ καταλιπὼν, πόσις ἐμὸς κληθῇ, ὡς συνοικήσας μοί ποτε, ταύτης δὲ ἀνὴρ, ὡς [q] ἔτι αὐτῇ συνοικῶν.

*Ibid.* Πόσις: Πρόσις τις ὢν, παρὰ τὸ [r] προσιέναι.

552. Ἀλλ' οὐ γὰρ ὥσπερ εἶπον: Οὐ χρὴ τὴν συνετὴν γυναῖκα θυμοῦσθαι τῷ ἀνδρί. Ὧι δὲ τρόπῳ τῆς λύπης ἴαμα σχοίην, ὑμῖν ἐρῶ.

[f] θρηνοῦσα R. Br.

[g] ἤτοι βλαβερὸν R. Br.

[h] ὑπὸ R. Br. pro ἀντὶ τοῦ.

[i] Gl. om. R. Br.

[k] αὐξανομένην R. Br.

[l] ὑπαναχωρεῖ R. Br.

[m] Lemma deest R. Br. οἷον τῶν pro ὧν Br. qui mox τὴν μὲν νεάζ. Idem post ὀφθαλμὸς addit, τῆς δὲ ὑπεκτρέπειν τὸν πόδα, ἤτοι τῆς πρεσβυτέρας.

[n] ὁ πόσις R. Br. et mox πόσις μὲν γάρ.

[o] ἀποστάτης γυναικὸς L.

[p] Il. ω'. 725. ὤλευ R. Br. pro ὤλεο.

[q] ἔτι om. R. Br.

[r] Sic R. Br. προιέναι Elmsleii apogr.

554. Λυτήριον λύπημα] Ἀντὶ τοῦ, τῆς [s] λύπης.

556. Λέβητι χαλκέῳ: Δύο ὀνόματα, ὡς κρατερὸν αἰχμήτην. [t] Ὡς ἔκτοτε ἀποθεμένης λέβητι, ἐπὶ [u] τὸ κατὰ καιρὸν χρήσασθαι αὐτῷ.

557. Παῖς: Νεωτέρα· οὐ γὰρ παρθένος.

558. Ἐκ φόνων ἀνειλόμην: Ἀντὶ τοῦ, [w] αἵματος. Ὅμηρος·

ἄκρον ἐρευγόμενοι φόνον αἵματος.

Ἢ ἐκ τοῦ τόπου ὅθεν ἐφονεύθη ὁ Νέσος. Ὅμηρος·

ἐν ἀργαλέῃσι φονῇσιν.

*Ibid.* Φόνων] [x] Τῶν σφαγῶν.

560. Πόρευε] Διεπέρα, διεπόρθμευεν.

562. Ἡνίκα στόλον: Στόλον φησὶ τὸ πλῆθος τῶν ἐν τῇ οἰκίᾳ δούλων τε καὶ ἀδελφῶν· ἡνίκα οὖν καταλιποῦσα τὸν οἶκον τοῦ πατρὸς, ἔρημος ἐπηκολούθησα τῷ Ἡρακλεῖ.

565. Ματαίαις χερσίν: Ὅτι οὐδὲν ἤνυσεν· ἔφθασε γὰρ ὁ Ἡρακλῆς τοξεύσας καὶ ἀνελὼν αὐτόν.

566. Ἐπιστρέψας χεροῖν: Εὐτρεπίσας, ἢ στρέψας καὶ κάμψας τὴν νευράν· ἢ εἰς αὐτὸν στραφεὶς καὶ βλέψας.

567. Ἧκεν κομήτην ἰόν: Ἢ διὰ τοὺς ὄγκους, ἢ διὰ τὴν πτέρωσιν· τὸ δὲ πνεύμονας, ἀντὶ ἑνικοῦ.

568. Διερροίζησεν] Μετὰ ἤχου ὥρμησεν.

570. Τόσονδ' ὀνήσῃ: Ὠφεληθήσῃ, καὶ ὄνησιν λήψῃ ἐκ τῶν ἐμῶν πορθμῶν.

*Ibid.* Ἐὰν πύθῃ] γρ. [y] πιθῇ.

572. Ἀμφίθρεπτον] [z] Τὸ πεπηγός· θρέψαι γὰρ, τὸ πῆξαι.

573. Ἧι] Ὅπου, ἢ ἐν ᾧ.

574. Θρέμμα Λερναίας ὕδρας] Περιφραστικῶς ἡ ὕδρα.

575. Ἔσται φρενός σοι τοῦτο κηλητήριον: Ἐπιτήδειον πρὸς τὸ παῦσαι καὶ κηλῆσαι. Καταπαυστήριον τῆς φρενὸς τοῦ Ἡρακλέους τοῦ πρὸς ἄλλην ἔρωτος· ἢ [a] κατακηλοῦντος τὴν ψυχὴν τοῦ Ἡρακλέους τῷ πρὸς τὴν Δηϊάνειραν ἔρωτι.

579. Ἐγκεκλ σμένον] Τηρούμενον.

[s] λύπης ἴαμα R. Br.

[t] ὡς ἔκτοτε ἀποθεμένην R. ὃ ἐκ τότε ἀπεθέμην Br.

[u] τῷ Br. Mox αὐτὸ L.

[w] ἐκ τοῦ αἵματος τῶν σφαγῶν R. Br. Homeri loci sunt Il. π'. 162. et κ'. 521. Mox ἐκ om. R.

[x] Gl. om. R. Br.

[y] ἐὰν πιθῇ R. Br.

[z] τὸ ἀπὸ τοῦ ἰοῦ τῆς ὕδρας πεπηγὸς Br.

[a] κατακηλοῦν Br.

580. Προσβαλοῦσ' ὅσα] Τοῦτο φησὶν, ὡς κατ' ἐντολὴν Νέσου καὶ ἄλλα τινὰ συμμίξασα.

581. Πεπείρανται] Κατείργασται, τετελείωται καὶ ἤνυσται.

582. Κακὰς δὲ τόλμας: Μὴ εἰδείην, φησὶ, κακοῖς πράγμασιν ἐπιχειρεῖν, [b] οἷον δολοφονῆσαι αὐτὸν, ἤ τι τοιοῦτον· ἀλλ' ἄχρι τοῦ μεταθεῖναι αὐτοῦ τὴν γνώμην διὰ τοῦ κατασκευάσματος τούτου· εἰ μὴ μάταιόν ἐστι τοῦτο τὸ κατασκεύασμα, προσδοκῶ ταύτην ὑπερβαλέσθαι τῇ [c] πρὸς τοῦ Ἡρακλέους εὐνοίᾳ· εἰ δὲ μὴ ἐπιτυγχάνω, παύσομαι τῆς ἐπιχειρήσεως.

*Ibid.* Τόλμας] Τὰς φαρμακείας.

586. Μεμηχάνηται τοὔργον: Τοῦτο, φησὶ, τὸ ἔργον μεμηχάνηται οὐκ ἐπ' ὀλέθρῳ, ἀλλ' ἵνα ταύτην φίλτροις ὑπερβαλώμεθα.

587. Εἰ δὲ μὴ, πεπαύσομαι] Εἰ δὲ μὴ [d] ἐνεργήσῃ, παύσομαι τῆς ἐπιχειρήσεως.

588. Ἀλλ' εἴ τις ἐστὶ πίστις ἐν τοῖς δρωμένοις: Ἀλλ' εἰ πεπίστευκας, ὅτι δρᾷ τι τοῦτο, ἄριστά μοι δοκεῖς βεβουλεῦσθαι.

590. Πιστεύω μὲν ἀληθὲς εἶναι· οὐ μὴν πεπείραμαι.

592. Ἀλλ' εἰδέναι χρὴ δρῶσαν: Δεῖ σε δρῶσαν ἔχειν τὴν πίστιν, καὶ μὴ μόνον δοκεῖν ἐπίστασθαι· οὔπω γὰρ ἔχεις τὴν γνῶσιν, ἕως οὗ πεπείρασαι. [Εἰς τὸ αὐτό.] [e] Δεῖ σε, φησὶν, ἐπιχειροῦσαν γνῶναι.

593. Ἔχοις ἂν γνῶμα] γρ. [f] ἄγνωμα.

594. Ἀλλ' αὐτίκ' εἰσόμεσθα: Γνωσόμεθα, φησὶ, τὴν δύναμιν τοῦ σκευάσματος· βλέπω γὰρ τὸν Λίχαν πλησίον [g] πορευσόμενον, ὃς ἀποκομίσει τὸν πέπλον τῷ Ἡρακλεῖ· καὶ ἔσται ἡμῖν διὰ τούτου πεῖρα.

596. [h] Μόνον παρ' ὑμῶν εὖ: Ἀντὶ τοῦ πράσσοι τις. Ὡς τὸ,

ἔνθ' οὐκ ἂν βρίζοντα ἴδοις.

*Ibid.* Στεγοίμεθα] Κρυπτοίμεθα· οἷον, σιωπῇ [i] γένηται.

*Ibid.* Σκότῳ] Λάθρᾳ.

599. Τῷ μακρῷ χρόνῳ] Ἀντὶ τοῦ, διὰ τὸ ἐνταῦθα χρόνῳ ἐνδιατρῖψαι.

[b] ἢ δολοφ. R. Mox τοιοῦτον ἐργάσασθαι Br.

[c] παρὰ Br. Mox Ἡρακλέος L.

[d] ἐνεργήσει Br. Tum πεπαύσομαι R. Br.

[e] Supra collocant R. Br.

[f] καὶ γνῶσμα Br.

[g] πορευόμενον Br.

[h] Gl. om. R. Br. Locus Homeri est Il. δ'. 223.

[i] γένοιτο L. pr. mutatum in γένηται ab eadem manu. P. E. γένοιτο R. Br.

602. Εὐϋφῆ πέπλον: [k] Ἰσχνουργῆ. Οὐκ εὖ δὲ τὸν ἀνδρεῖον χιτῶνα πέπλον φησί. [l] γρ. δὲ ἀϋφῆ, ἀντὶ τοῦ λεπτοϋφῆ.

607. Μήτ' ἐφέστιον σέλας: Ἀντὶ τοῦ, τὸ κατ' οἶκον πῦρ. Ἕρκος δὲ ἱερὸν, ὁ βωμὸς, ἢ τὸ ἱερόν.

608. Πρὶν κεῖνος: Πρὶν αὐτὸς ἐνδυσάμενος ἐπὶ τῆς οἰκίας [m] φανερὸς καὶ ὑπ' ὄψεσι πάντων [n] προελθών. Καὶ καθ' ἣν μέλλοι ταύρους θύειν τοῖς θεοῖς εὐχαριστήρια.

611. Πανδίκως] Ἀνενδοιάστως.

612. Στελεῖν χιτῶνι τῷδε: Σκεπάσειν, ἐνδύσειν, περιβαλεῖν αὐτὸν τούτῳ τῷ χιτῶνι, [o] φανῆναι αὐτὸν σφαγέα τῶν θυμάτων.

613. Καινόν] Καινοπρεπῆ.

614. Σῆμ' ὁ κεῖνος εὐμαθὲς: Εὔγνωστον σημεῖον κομίσεις, ὅπερ ἐκεῖνος ἐπιγνώσεται, ἐπιθεὶς τὸ ὄμμα τῇ σφραγῖδι, γνοὺς ὅτι παρ' ἐμοῦ [p] εἴη ἡ σφραγίς.

615. Σφραγῖδος ἕρκει] Περιφραστικῶς τῇ σφραγῖδι.

616. Ἀλλ' ἕρπε καὶ φύλασσε: Οὗτός ἐστιν ὁ [q] προσήκων νόμος τοῖς διακονοῦσιν, ὥστε μηδὲν περαιτέρω δρᾶν τῶν [r] προσταττομένων αὐτῷ· ἐμφαίνει δὲ αὐτῷ μὴ ἀποσφραγίσαντα περιεργάζεσθαι τί ἔγκειται.

618. Ἔπειθ' ὅπως ἂν ἡ χάρις: Γνησίως διακονούμενος [s] διπλασιάζεις τὴν χάριν, καὶ ἴσως φιληθήσῃ παρ' ἑκατέρου.

620. Ἑρμοῦ τέχνην] Κῆρυξ γὰρ ὁ θεός.

622. Τόδ' ἄγγος] [t] Τὸ κιβώτιον.

*Ibid.* Λόγων τε πίστιν ὧν ἔχεις: [u] Ἔντειλαι δέ μοι, φησὶ, καὶ περὶ πραγμάτων ἄλλων μυστικῶν, καὶ λόγους ἀνακοίνωσαί μοι, καὶ φυλάξω. [Εἰς τὸ αὐτό.] Ἐπίθες, φησὶν, ἣν θέλεις σφραγῖδα.

628. Προσδέγματα: Ὑποδοχάς· λέγει δὲ, ὅτι οἶσθα πῶς φιλοφρόνως αὐτὴν προσηκάμην· καὶ τοῦτο δὲ ἐπαγωγὸν πρὸς Ἡρακλέα, εἴ γε τὴν ὑπονοουμένην φιλοφρόνως προσεδέξατο.

[k] ἰσχνουργῆ, λεπτοϋφῆ Br.

[l] Seqq. om. Br. ἀντὶ λεπτοϋφῆ tantum L.

[m] φανερὸς καὶ om. Br. Supra ἐκδυσάμενος R.

[n] προελθὼν, δείξῃ αὐτὸν φανεὸν, τοῖς θεοῖς ἐμφανῶς σταθεὶς, καθ' ἣν ἡμέραν μέλλει Br. Mox θύσειν R.

[o] ὡς φανῆναι R. Br. Tum αὐτὸν θυτῆρα, ἤγουν σφαγέα Br.

[p] ἐστιν Br.

[q] προσῆκον L.

[r] προσταττομένων αὐτοῖς R. προστεταγμένων αὐτοῖς Br.

[s] διπλάζεις R. Br.

[t] Gl. om. R. Br.

[u] ἔντειλε R. Mox φησὶ om. Br.

629. Ὥστ' ἐκπλαγῆναι: Ὅτι ἀσμένως αὐτὴν ὑπεδέξω, ὡς θαυμάσαι με, καὶ ἐπὶ [w] τούτῳ χαρῆναι.

630. Δέδοικα γάρ: Δέδοικα γὰρ, φησὶ, μὴ πρὸ καιροῦ [x] εἴποις τὸν ἐξ ἐμοῦ πόθον, ἕως μάθωμεν, εἰ καὶ αὐτὸς ἡμᾶς ποθεῖ. Διὰ δὲ τούτων ἐρεθίζει αὐτὸν πλέον [y] εἰπεῖν.

632. Ὦ ναύλοχα καὶ πετραῖα: [z] Δοκεῖ τοῦτο παρ' ἱστορίαν εἶναι· φασὶ γὰρ πρῶτον ἐν Τραχῖνι τῷ Ἡρακλεῖ ἀναδεδόσθαι· ἐνταῦθα δὲ ὡς προϋπαρχόντων αὐτῶν φησίν.

*Ibid.* Ὦ ναύλοχα: Ὁ Χορὸς τοὺς περὶ τὴν Οἴτην οἰκοῦντας [a] προσκαλεῖται ἐπὶ τῷ πανηγυρίσαι, διὰ τὴν προσδοκωμένην ἐπιδημίαν τοῦ Ἡρακλέους. Ὁ δὲ νοῦς· οἱ τὰ παραθαλάσσια θερμὰ λουτρὰ ἐνοικοῦντες, καὶ οἱ παρὰ τοὺς τραχεῖς καὶ ὀρείνους τόπους τῆς Οἴτης καὶ τὸν Μηλιακὸν κόλπον, ἔτι [b] τε καὶ τὴν ἀκτὴν τῆς χρυσοτόξου Ἀρτέμιδος, ἔνθα [c] φασὶν εἶναι τῶν Ἑλλήνων τὰ συνέδρια, ἄρτι ὁ καλλιφωνότατος πάλιν ἥξει αὐλὸς, καὶ καταλήψεται ὑμῶν τὰς ἀκοὰς, ἡδύ τι καὶ μουσικὸν προσπνέων, οὐκ ἐχθρὰν οὐδ' ἀπευκτὴν φωνὴν, ἀλλὰ θείας μούσης ἀντίλυρον, ὅ ἐστι, φωνῆς γλυκείας.

*Ibid.* Ὦ ναύλοχα: Παραθαλάττια [d] λουτρά· φησὶ δὲ τὰ Ἡράκλεια, ἅπερ λέγεται αὐτῷ ἡ [e] Ἥρα ἀνεῖναι. Πετραῖα δὲ, διὰ τὸ ἐν ὄρει τῇ Οἴτῃ κεῖσθαι· ἔνιοι δὲ ἐν Σικελίᾳ φασὶν ἀναδοθῆναι τῷ Ἡρακλεῖ τὰ θερμὰ λουτρά.

634. Καὶ πάγους: Πάγοι εἰσὶν [f] ὑψηλοὶ τόποι, ἢ αἱ ὀξεῖαι πέτραι. Καὶ οἱ παρὰ τοὺς τραχεῖς καὶ ὀρεινοὺς τόπους τῆς Οἴτης οἰκοῦντες.

637. Μηλίδα παρὰ λίμναν: [g] Λίμνην φησὶ τὴν θάλασσαν· Ὅμηρος·

Αἰθυίᾳ δ' εἰκυῖα ποτῇ ἀνεδύσατο λίμνης.

Ὁ δὲ Μηλιακὸς κόλπος [h] Τραχίνιός ἐστιν.

638. Χρυσαλακάτου] Ἐν Εὐβοίᾳ τιμᾶται χρυσότοξος Ἄρτεμις.

[w] τοῦτο R. L.

[x] εἴπῃς Br.

[y] Post εἰπεῖν addit Br. Τὸ δὲ πρῷ, πρωῒ ἐστὶν, ἤτοι πρώην· ἔμεινε δὲ τὸ ῑ ἀνεκφώνητον.

[z] Infra collocat Br.

[a] παρακαλεῖται Elmsleius, ut videtur, e conjectura. Consentiunt omnes in προσκαλεῖται.

[b] τε καὶ R. L. δὲ καὶ Br. Mox τὴν ἀρχὴν R.

[c] Sic Elmsleius. φησὶν R. L. Br.

[d] λουτρά om. Br.

[e] Ἀθηνᾶ R. Br.

[f] οἱ ὑψηλοὶ R. Br. Mox καὶ οἱ—οἰκοῦντες om. Br.

[g] λίμναν R. Br. Homeri locus est Od. ε'. 337.

[h] παρὰ Τραχῖνι R. Br.

639. Ἔνθ' Ἑλλάνων ἀγοραί: Ὅπου συνάγονται οἱ Ἀμφικτύονες εἰς τὴν λεγομένην Πυλαίαν, περὶ ἧς Ἀγάθων φησὶ, Πυλάδην τὸν Στροφίου πρῶτον [i] συστήσασθαι ἐν τῇ Φωκίδι, καθαιρόμενον τὸ ἐπὶ Κλυταιμνήστρᾳ μύσος, καὶ ἀπ' αὐτοῦ τὴν σύνοδον Πυλαίαν φησὶ προσαγορεύεσθαι. Ἢ ὅτι [k] Τραχὶν πύλη τῆς Τραχῖνός ἐστιν.

*Ibid.* Εἰς τὸ αὐτό: Τὴν Μαγνησίαν, ἔνθα [l] τὸν τῆς Ἀρτέμιδος παραθαλάσσιον Τραχῖνα, ὅπου καὶ ἡ ἐπ' Ἀρτεμισίῳ ναυμαχία συνέβη τοῖς Ἕλλησιν ἐν Θερμοπύλαις.

642. Οὐκ ἀναρσίαν] Οὐκ ἐχθρὰν, οὐδὲ θρήνων βοήν.

645. Ἀντίλυρον: Ἀντίμιμον, ἀντῳδόν· ἀντὶ τοῦ, [m] οὐ μουσικὴν φωνήν· ἀλλὰ τὴν ἐκ τοῦ ἐναντίου μέρους τῆς λύρας φωνήν· ἀφ' οὗ δηλοῦται, [n] ὁμοῦ αὐλὸς καὶ λύρα ἀναφωνήσουσιν. [Εἰς τὸ αὐτό.] [o] Ἰσόλυρον.

647. Σεῦται] [p] Ὁρμᾶται, ἥξει.

649. Ὃν ἀπόπτολιν εἴχομεν: Ὃν ἐκτὸς εἴχομεν τῆς πόλεως, εἰς δωδεκάμηνον ἀναμένουσαι. Τὸ δὲ ἑξῆς· ὃν ἀπόπτολιν πελάγιον, ἀντὶ τοῦ, [q] ἄπωθεν τῆς πόλεως ἐν τῷ πελάγει.

651. Πελάγιον: Ὅτι πολλάκις καὶ διὰ θαλάττης ἔπλεεν, εἴ ποτε εἰς [r] νήσους ἀπῄει.

652. Ἁ δέ οἱ φίλα δάμαρ: Ἡ Δηϊάνειρα.

654. Ὤλλυτο] [s] Διεφθείρετο.

655. Νῦν δ' Ἄρης οἰστρηθείς: Μανεὶς ὁ περὶ [t] τὴν Οἰχαλίαν πόλεμος, ἐξέλυσεν ἡμᾶς τῆς ἀνίας, ἣν ἐφ' ἑκάστης ἡμέρας εἴχομεν. [Εἰς τὸ αὐτό.] Νῦν δ' Ἄρης ὁ πρὸς τὸν Εὔρυτον· ἐξ αὐτοῦ γὰρ εὐθὺς ἐπανῆλθεν.

657. Μὴ σταίη πολύκωπον: Μηδαμοῦ ἡ ναῦς ἀλλαχοῦ ὁρμίσαι, ἕως ἐνταῦθα ἀφίκοιτο, τὴν Εὔβοιαν νῆσον ὑπερβὰς καὶ καταλιπών· καταστρεψάμενος γὰρ τὴν Οἰχαλίαν, ἐκεῖ ἔμεινεν θῦσαι τῷ πατρί.

658. Πολύκωπον ὄχημα ναός] [u] Ἀντὶ τοῦ, ἡ ναῦς.

[i] κριθῆναι R. Br.
[k] ὁ τόπος πύλη (πύλαι R.) τῆς Ἑλλάδος R. Br.
[l] τὸ τῆς Ἀρτ. παραθ. ἱερὸν, πλησίον Τραχῖνος R. Br.
[m] οὐ om. R. Br.
[n] ὅτι ὅμου R. Br.
[o] Supra collocant R. Br.
[p] ἐνορμᾶται R. Br.
[q] ἄποθεν L. R.
[r] νῆσον R.
[s] Gl. om. R. Br.
[t] τὴν Οἰχαλίαν πρὸς τὸν Εὔρυτον πόλεμος, ἐξ αὐτοῦ γὰρ εὐθὺς ἐπανῆλθεν· ἐξέλυσεν ἡμᾶς φησι Br. qui ea om. in seqq.
[u] Gl. om. R. Br.

658. Αὐτῷ] [v] Τῷ Ἡρακλεῖ.

662. Πανάμερος: Ἀντὶ τοῦ, τὴν σήμερον ἡμέραν ἔλθοι, τῷ πέπλῳ τῆς πειθοῦς θελχθεὶς, [w] ἐκ προφάσεως τοῦ Νέσου κατεσκευασμένῳ. Πειθοῦς δὲ πέπλῳ εἶπεν, ὅτι γέγονεν ἐπὶ τῷ [x] μεταπείθειν καὶ μετατιθέναι τὴν Ἡρακλέους γνώμην ἐπὶ τὴν Δηϊάνειραν.

*Ibid.* Πανάμερος: Εὐμενὴς ἐν τῇ αὐτῇ ἡμέρᾳ ἔλθοις εἰς ἔρωτα τῆς γυναικὸς, διὰ τὸ τοῦ Νέσου φάρμακον.

663. Παγχρίστῳ: [y] Λείπει τὸ πέπλῳ, συγκεκραμένος καὶ ἁρμοσθεὶς τῇ πειθοῖ τοῦ θηρός.

665. Μὴ περαιτέρω: Ὑπὲρ τὴν συμφέρουσαν χρείαν, καὶ [z] πλείω τοῦ δέοντος.

671. [a] Μάλιστά γ' ὥστε μή: Ναὶ, φησὶ, περὶ τούτου φοβοῦμαι οὕτως, ὥστε μηδέποτε παραινέσαι τινὶ ἀδήλου πράγματος προθυμίαν λαβεῖν, ὅ ἐστιν, ἀδήλῳ πράγματι ἐπιχειρεῖν.

673. Εἰ διδακτὸν ἐξ ὅτου φοβῇ: [b] Εἰ μὴ ἀπόρρητον εἴη.

675. Γυναῖκες ὑμῖν θαῦμα: Θαυμαστὸν, καὶ οἷον οὐκ ἄν τις ἐλπίζοι [c] παθεῖν. γρ. δὲ καὶ μαθεῖν.

680. Κατ' ἄκρας σπιλάδος: Σπιλὰς, ἡ πέτρα· ὡς οὖν ἐπὶ λίθου θεμένη αὐτὸ, τοῦτο φησί· κατατήκεται οὖν καὶ ῥεῖ καὶ διαλύεται, ἀπὸ τοῦ λίθου διαρρέον.

*Ibid.* Ὡς δ' εἰδῇς ἅπαν: Ὅπως γνῷς ἀκριβῶς ὅλον τὸ πρᾶγμα, εἰς μῆκος ἁπλώσω τὸν λόγον.

*Ibid.* Ἐγὼ γὰρ ὧν ὁ θήρ με: Ὧν εἶπέν μοι ὁ Νέσος, ὅτε τὴν πλευρὰν ἤλγει, τῷ βέλει τρωθείς. Γλωχῖνι δὲ, ἀπὸ μέρους, τῷ βέλει· γλωχὶν γὰρ ἡ ἀκὶς, ὃ λέγει Ὅμηρος [d] ὄγκον.

682. Πονῶν] [e] Ἀντὶ τοῦ ἀλγῶν.

*Ibid.* Παρῆκα] Λείπει ἄπρακτον.

684. Ἀλλ' ἐσῳζόμην: Ἀντὶ τοῦ, ἔσωσα καὶ ἐφύλαξα· διεφύ-

[v] Gl. om. R. Br.

[w] τῷ ἐκ Br.

[x] καταπεῖσαι Br. Mox L. μετατεθεῖναι, unde μεταθεῖναι R.

[y] ἤτοι τῷ χρισθέντι πέπλῳ Br. Tum συγκεκραμμένος R. et τῇ πειθῷ.

[z] πλεῖον (πλέον Br.) τοῦ συμφέροντος R. Br.

[a] οὐ δή τι τῶν σῶν. Μὴ ἕνεκα ὧν ἀπέσταλκας δωρημάτων τῷ Ἡρακλεῖ ἀθυμεῖς; πρὸς ὃ Δηϊάνειρα, Ναὶ, φησὶ, π. Br.

[b] Gl. om. R. Br.

[c] μαθεῖν καὶ παθεῖν R. μαθεῖν. γράφεται καὶ παθεῖν Br.

[d] Il. δ'. 214.

[e] Gl. om. R. Br.

λαξα οὖν ὅσα μοι παρήγγειλεν, ὡσανεὶ δέλτῳ χαλκῇ ἔχουσα ἐγκεχαραγμένα. Δύσνιπτον δὲ, ἀντὶ τοῦ, δυσαπάλειπτον.

686. Πρόρρητα : Πρὸς ἐμὲ ὑπὸ Νέσου προειρημένα· προμεμελετημένα μοι, ἢ ἀπόρρητα.

687. Ἄπυρον] Ἀπροσπέλαστον πυρὸς καὶ ἡλιακῆς ἀκτῖνος.

689. Ἀρτίχριστον] Παραυτὰ χριόμενον.

690. Νῦν δ' ὅτ' ἦν ἐργαστέον : Νῦν δ' ὅτε ἐνέστη ὁ καιρὸς τοῦ χρῖσαι, ἔχρισα μαλλὸν ἐρίου.

692. Κτησίου βοτοῦ λάχνην : [f] Ἀπὸ κτησίου προβάτου τὸν μαλλὸν [g] σπάσασα. Κτήνη δὲ [h] καὶ τὰ πρόβατα λέγεται. Βοτὰ ἔλεγον τὰ πρόβατα.

693. Ἀλαμπὲς ἡλίου] Μὴ καταυγασθέν.

694. Κοιλῷ ζυγάστρῳ] [i] Εἰς ξύλινον σορὸν, τουτέστι κιβωτόν.

696. Ἄφραστον : Ἀφανὲς, ἀνεκδιήγητον. Ἀξύμβλητον δὲ, ἀσυνείκαστον πρὸς τὸ μαθεῖν ἀνθρώπῳ. Ἢ ἀντὶ τοῦ, ἀπαράβλητον, οἷον οὐκ ἔχον ἄλλῳ παραβληθῆναι, ὥστε πιστεῦσαι καὶ μαθεῖν τὸν ἀκούοντα.

695. Φάτιν] [k] Φάντασμα, φαντασίαν.

697. Τὸ γὰρ κάταγμα : Τὸ γὰρ ἔριον τοῦ προβάτου, μετὰ τὸ χρῖσαι τὸν πέπλον, ἔρριψα [l] ὑπὸ τόπον καταλαμβανόμενον ὑπὸ τοῦ ἡλίου· τὴν γὰρ αὐγὴν ἀκτῖνα ἡλιῶτιν εἶπεν.

*Ibid.* Κάταγμα] Τὸ αἴγειον μήρυμα.

699. Ὡς δ' ἐθάλπετο : Ὡς δὲ ἐθερμάνθη, ὑπέρρευσεν, ἀφανῶς λέλυται.

701. Μορφῇ μάλιστ' εἰκαστόν : Ἐοικὸς [m] πρίσματος ξύλου. Θαυμαστῶς δὲ βρώματα πρίονος [n] εἶπεν τὸ πρίσμα· τρόπον γάρ τινα ἐσθίων τὸ ξύλον ὁ πρίων, ἐκεῖνο τὸ λεπτὸν ἀποβάλλει.

703. Προπετές] Ἐρριμμένον, καὶ προπεσὸν χαμαί.

704. Ἀναζέουσι] [o] Ἀνακαχλάζουσι.

*Ibid.* Θρομβώδεις ἀφροί : Ἐπηρμένοι· θρόμβος γὰρ ὁ ὄγκος· ἢ περιφερῆ φυσήματα.

[f] ἀποκτικ L. ἀπὸ κτητοῦ R.
[g] σπάσασα, ἤγουν ἐν οἴκῳ τρεφομένου Br.
[h] καὶ om. R. Br. qui statim τὰ πρόβατα λέγονται καὶ βοτά.
[i] ἀντὶ τοῦ εἰς R. Br. Tum σωρὸν L.
[k] Gl. om. R. Br.
[l] εἰς τόπον καταλαμπόμενον Br.
[m] πρίσματι R. Br.
[n] εἶπε τὰ πρίσματα R. Br.
[o] Gl. om. Elmsleii apographum.

705. Γλαυκῆς ὀπώρας: Τοῦ γλεύκους τοῦ ἀρτίως [p] ἐκπιασθέντος καὶ νέου· μάλιστα δὲ ὁ νέος οἶνος θερμὸς ὤν, εἰ πέσοι χαμαὶ, ἀφρίζει· γλαυκὴν δὲ ὀπώραν τὸν νέον οἶνον εἶπεν διὰ τὴν λαμπρότητα.

710. Ἧς ἔθνησχ᾽ ὕπερ] [q] Ὑφ᾽ ἧς, δι᾽ ἥν.

711. Τὸν βαλόντα] Τὸν τοξεύσαντα.

712. Ὧν ἐγὼ μεθύστερον: Ὧν, τῶν εἰρημένων μοι ὑπ᾽ ἐκείνου, νῦν τὴν γνῶσιν μανθάνω, ὅτε οὐκέτι με ὠφελεῖ.

713. Ἀρκεῖ: Ὠφελεῖ. Ὅμηρος·

[r] Ἄρκιον ἐσσεῖται.

714. Εἴ τι μὴ ψευσθήσομαι: Εἰ μὴ διαμάρτοιμι τῆς γνώμης, ἣν ἔχουσα περὶ αὐτοῦ τυγχάνω.

717. Χ᾽ ὥσπερ ἂν θίγῃ: Καὶ ὅσα ἂν θίγῃ τοῦ Ἡρακλείου βέλους, εἴτε ἄνθρωπος, εἴτε [s] θηρίον, ἀπόλλυται.

718. Ἐκ δὲ τοῦδε] Ἐκ τοῦ Νέσου· ἀντὶ τοῦ, διὰ [t] Νέσου.

721. Καίτοι δέδοκται: Κἀγὼ, φησὶν, ἀποθανεῖν βουλήσομαι, ἵνα μὴ δόξω πονηρίᾳ ἀνῃρηκέναι τὸν Ἡρακλέα, ἀλλ᾽ ἀκουσίῳ γνώμῃ.

722. Ταύτῃ σὺν ὀργῇ: Τούτῳ τῷ τρόπῳ, τουτέστι, διὰ τοῦ πέπλου.

723. Ζῆν γὰρ κακῶς κλύουσαν: Γυναῖκα κακοδοξοῦσαν οὐ δεῖ ζῆν, ἥ τις μὴ θέλει δοκεῖν ἐκ φύσεως εἶναι κακή.

725. Ταρβεῖν μὲν ἔργα: Ἀνάγκη μὲν εὐλαβεῖσθαι τὰ δεινὰ ἔργα· οὐ χρὴ δὲ πρὸ τῆς ἐκβάσεως [u] καὶ τῶν συμβησομένων αἱρεῖσθαι τὰ δεινά.

727. Οὐκ ἔστιν ἐν τοῖς μὴ καλοῖς: Ἐν τοῖς πονηροῖς βουλεύμασιν [w] οὐδὲ ὑπολείπεται χρηστὴ ἐλπὶς, ἥτις παρέχει πεποίθησιν καὶ θάρσος· ἀντὶ τοῦ, δύσελπίς εἰμι.

729. Ἀλλ᾽ ἀμφὶ τοῖς σφαλεῖσι μὴ ᾽ξ ἑκουσίου: Τοῖς ἀκουσίως σφαλεῖσιν ἡ ἐπαγομένη ὀργὴ πεπεμμένη ἐστὶ καὶ πραεῖα καὶ συγγνωστὴ, ἧς σε δίκαιον τυγχάνειν παρὰ τοῦ Ἡρακλέους· ἄκουσα γὰρ ἥμαρτες.

731. Ὁ μὴ δυστυχῶν τοιαῦτα ἂν εἴποι.

733. Σιγᾶν ἂν ἁρμόζοι: [x] Πρέπει σοι λοιπὸν σιωπᾶν, καὶ μηκέτι

[p] ἐκπιεσθέντος R. Br.
[q] ὑπὲρ ἧς, ὑφ᾽ ἧς R. Br.
[r] Il. β΄. 393.
[s] θηρία R.
[t] τοῦ Νέσου R. Br.
[u] καὶ om. Br.
[w] οὐχ R. Br.
[x] πρέποι R. Mox τούτου R. Br.

περὶ τούτων πλείω λέγειν, εἰ μὴ ἄρα τι τῷ σῷ παιδὶ μέλλεις ἐρεῖν παραγινομένῳ.

733. [y] Χρόνον] γρ. λόγον.

738. Ἄλλου κεκλῆσθαι μητέρα] Αἰσχύνομαι γὰρ ἐπὶ σοί.

739. Ποθέν] [z] Ἐκ θεοῦ τινος.

740. Στυγούμενον] Λυπηρὸν, καὶ μίσους ἄξιον.

744. Τὸ γὰρ φανθέν: Τὸ ἅπαξ πραχθὲν, καὶ ἐπὶ πέρας ἐλθὸν, πῶς ἄν τις μὴ γενέσθαι ποιήσειεν; [a] Πίνδαρος·

τῶν δὲ πεπραγμένων,
ἀποίητον οὐδ' ἂν
χρόνος ὁ πάντων πατὴρ
δύναιτο θεμέναι ἔργων τέλος.

747. Ἄζηλον: Φαῦλον, ὃ οὐδεὶς [b] ζηλώσειεν.

748. Αὐτὸς βαρεῖαν ξυμφοράν: Τὰ μὲν ἑώρακα πάσχοντος, τὰ δὲ ἀνοιμώζοντος [c] ἤκουσα.

749. Πατρός] [d] Περὶ τοῦ πατρός.

*Ibid.* Καὶ κατὰ γλῶσσαν κλύων: Ἀντὶ τοῦ ἀνοιμώξαντος αὐτοῦ κατὰ τὴν γλῶσσαν.

750. Ἐμπελάζεις: Προσπελάζεις. Παρίστασαι δὲ ἀντὶ τοῦ πλησίον γέγονας.

752. Ὅθ' εἷρπε] Καινοπρεπὴς ἡ φράσις.

*Ibid.* Ἀκτή τις] Ἦλθεν εἰς τὴν Εὔβοιαν, [e] ᾗ ἀκρωτήριόν ἐστι τὸ Κήναιον.

756. Τεμενίαν τε φυλλάδα] [f] Τὸν ἀπὸ τῶν τεμένων στέφανον, ἢ τέμενος πολύφυλλον.

759. Ἐλέγετο ὁ Λίχας σύντροφος εἶναι Ὕλλου.

761. Ἐνδὺς ὡς σὺ προυξεφίεσο] [g] Ἐνδυσάμενος, ὡς σὺ ἐνετείλω.

765. Ἵλεῳ φρενί] Ὁ Ἡρακλῆς ἱλαρᾷ τῇ φρενὶ κατηύξατό σοι, χαίρων ἐπὶ τῷ πέπλῳ.

766. Κατεύχετο] [h] Λείπει τὸ σοι.

[y] Haec supra leguntur in R. Br.
[z] Gl. om. R. Br.
[a] Olymp. II. 29.
[b] ἂν ζηλώσειεν Br.
[c] ἤκουσα κατὰ τὴν γλῶσσαν R. Br. Addit Br., ὅ ἐστι κατὰ στόμα αὐτοῦ ἱστάμενος, καὶ οὐ πόρρω, τουτέστιν, ἔμπροσθεν αὐτοῦ· ὅμοιον τῷ κατὰ στόμα αὐτοῦ ἀπήντησε.
[d] Hanc et seq. gl. om. R. Br.
[e] ἧς R. Br.
[f] τῶν L. Mox τοῦ τεμένους Br.
[g] ἐνδυσάμενος om. R. Br.
[h] Gl. om. R. Br.

*Ibid.* Ὅτε δὲ ἀπὸ τῶν θυμάτων καὶ τῶν ξύλων ἡ φλὸξ ἀνεκαίετο, τότε ἱδρὼς [i] ἀνῄει περὶ τὸ σῶμα αὐτοῦ.

768. Φλὸξ αἱματηρά: [k] Αἱματηρὰ, ὅτι ἐκ τοῦ αἵματος τῶν ἱερείων συνίσταται· [l] πιείρας δὲ δρυὸς, λιπαροῦ ξύλου· δρῦν γὰρ λέγει πᾶν δένδρον.

770. Πλευραῖσιν ἀρτίκολλος: Ὡς ὑπὸ τέκτονος καλῶς συγκεκολλημένος. Τὸ δὲ ἑξῆς· καὶ προσκολλητὸς ὁ χιτὼν κατὰ πᾶν μέρος, ὡς ἂν ξύλῳ [m] νεαρὰ κόλλη ὑπὸ τέκτονος [n] προσείη χρισθεῖσα.

772. Ὀδαγμὸς ἀντίσπαστος: Κνησμός· δήξασθαι γὰρ, τὸ κνήσασθαι. Ἀντίσπαστος δὲ, ἴσος [o] σπασμῷ, ἢ μετὰ σπασμοῦ· γίνεται δὲ ὁ ψόφος ἀπὸ σπασμοῦ.

773. Ἐχθρᾶς ἐχίδνης] Τυφῶνος [p] μὲν γὰρ καὶ ἐχίδνης ὕδρα.

*Ibid.* Ἰὸς ὡς ἐδαίνυτο] Ὡς κατήσθιεν αὐτὸν ὁ ἰός.

777. Τὸ σὸν μόνης δώρημ' ἔλεξεν] Εἶπεν ὅτι σὺ αὐτῷ προσήγαγες τὸν πέπλον· [q] ὡς ἀπέσταλται ὑπὸ σοῦ· οἷον, οὐδὲν ἀφ' ἑαυτοῦ πανουργήσας.

781. Μάρψας ποδός νιν: Δραξάμενος τοῦ ποδὸς τοῦ Λίχα κατ' ἐκεῖνο τὸ μέρος ἔνθα δεσμεῖται τὸ ἄρθρον· λέγει δὲ τὸ περὶ τὸν ἀστράγαλον μέρος, [r] ᾧ εἰώθαμεν δεσμεῖν ὑπόδημα, ἤ τι τοιοῦτο. Εἴρηται δὲ ἀπὸ τῶν λύγων· εὐέλικτον γὰρ τὸ φυτὸν, νέον ὄν. [s] Ὅμηρος·

δίδη μόσχοισι λύγοισιν.

*Ibid.* Ἧι λυγίζεται: Ἁρμόζεται, κάμπτεται, συστρέφεται· ὅπου ἐστὶν ὁ δεσμὸς τῶν νευρῶν, ἔνθα ὑποδεσμούμεθα.

782. Ἀμφίκλυστον] Τὴν ἐκ τοῦ πόντου ἀμφοτέρωθεν κλυζομένην.

783. Κόμης δὲ λευκὸν μυελόν: Διὰ δὲ τῆς κόμης τὸν ἐγκέφαλον ἐκραίνει, κατὰ [t] μέρος τῆς κεφαλῆς διασχισθείσης, [u] ὅ ἐστι, διαιρεθείσης τῆς κεφαλῆς, διὰ τῆς κόμης ἀνεπέμπετο ὁ ἐγκέφαλος σὺν τῷ αἵματι.

785. Ἀνευφώνησεν] Κατὰ τὸ ἐναντίον, ἀντὶ τοῦ, ἐστέναξεν.

*Ibid.* Τοῦ Ἡρακλέους νοσοῦντος, τοῦ δὲ [w] Λίχα ἤδη ἀνυσθέντος, ὅ ἐστι, πεφονευμένου.

[i] ἀνείη L.

[k] αἱματηρὰ om. Br.

[l] κἀπὸ πιείρας δρυὸς. ἀπὸ λιπαροῦ ξύλου R. Br.

[m] νεαρᾶ L. Mox κόλλα Br.

[n] προσχρισθεῖσα R.

[o] σπασμοῦ L. Mox γίνεται et seqq. om. R.

[p] μὲν om. Br. qui mox ἡ ὕδρα.

[q] ὥσπερ ἀπέσταλτο Br.

[r] Sic R. ὃ L. οὗ Br. Mox τὸ ὑπόδημα R. Br. et τι τοιοῦτον.

[s] Il. λ'. 105.

[t] τὸ μέσον Br. pro μέρος.

[u] ὅτι R. Br. pro ὅ ἐστι.

[w] MS. λιχ῾, quam scripturam secutus, editor Romanus dedit λίχου. P.E.

788. Ἔσπᾶτο γὰρ πέδονδε] Σπασμῷ γὰρ εἴληπτο, κείμενος ἐπὶ τῆς γῆς.

790. Λοκρῶν ὄρειοι πρῶνες: [x] Ὅμηρος·

Λοκρῶν δ' ἡγεμόνευεν Ὀϊλῆος ταχὺς Αἴας,
Λοκρῶν, οἳ ναίουσι πέρην ἱερῆς Εὐβοίας.

791. Ἐπεὶ δ' ἀπεῖπεν: Ἀπέκαμεν, ἀπηγόρευσεν ἑαυτὸν, ὑπερκέκμηκεν, ἀπείρηκεν πρὸς τὰς ὀδύνας, ἐπὶ γῆς κυλιόμενος.

793. Ἐνδατούμενος: Σφοδρῶς λοιδορούμενος. Ἐνδατεῖσθαι γὰρ σφοδρῶς ἐσθίειν. [Ἄλλως.] Λοιδορῶν, μεμφόμενος, κατὰ μέρος [y] τῶν λεγομένων ἀνακαλῶν. Ἐνδατεῖσθαι γὰρ τὸ μερίσασθαι· ἡ δὲ μεταφορὰ ἀπὸ τῶν δαινυμένων. Ἄλλως. Ἐνδατούμενος νῦν σφόδρα κακῶς λέγων, δυσφημῶν, συνεχῶς μεμφόμενος, [z] ἐπαρώμενος. Ἔνιοι δὲ γρ. ἐμματούμενος, ἀντὶ τοῦ, [a] μασώμενος.

795. Πλεονάζει ἡ κατά· [b] καὶ ἔστι κτήσαιτο, ἀντὶ τοῦ ἔσχεν.

796. Τότ' ἐκ προσέδρου: Ὅτε ἀπέκαμεν κυλιόμενος, τότε ἀνατείνας τὸν ὀφθαλμὸν διὰ τῆς κεχυμένης τοῦ σώματος λιγνύος, εἶδέν με δακρυρροοῦντα. Λιγνύος δὲ, [c] ἢ τῆς παρακειμένης ἀναθυμιάσεως καὶ καπνοῦ, ἢ τῆς παρακειμένης καὶ περικεχυμένης αὐτὸν φλογώδους νόσου.

801. Ἆρον] Προστακτικῶς.

803. Εἰ δ' οἶκτον ἴσχεις ἀλλά μ' ἔκ γε τῆσδε [γῆς]: [d] Ἐνῄσχυνται γὰρ αὐτοῦ θανεῖν, μὴ ἐγγελασθῇ ὑπὸ τῶν [e] Οἰχαλίων.

807. Βρυχώμενον] Ἀνοιμώζοντα μεγάλως ἐκ τῶν σπασμῶν.

810. Ποίνιμος: [f] Ἡ τιμωρὸς, ἡ ποινὴν ἀπαιτοῦσα.

812. Θέμις δ' ἐπεί μοι τὴν θέμιν: Θέμις δέ ἐστιν ἡμᾶς καταρᾶσθαί σοι, ἐπεὶ σὺ προτέρα τὴν θέμιν ἀπέρριψας καὶ [g] παρεῖδες· ἐὰν δὲ προὔλαβες, ἀντὶ τοῦ, φθάσασα τὴν θέμιν καὶ οὐκ ἐξεδέξω, ἕως τι κατὰ τὸ δίκαιον πράξῃς.

815. Τί σῖγ' ἀφέρπεις: Σῖγα ἐπιρρηματικῶς, ἀντὶ τοῦ, σιωπηλῶς· τουτέστι, διὰ τί οὐδὲν ἀποκρίνῃ πρὸς τὸν Ὕλλον;

[x] Il. β'. 527. Mox οἶοι ναίουσι L.
[y] κακῶς λέγων Br. pro τῶν λ. ἀν. Tum ἐνδατοῦσθαι L.
[z] ἐπαρόμενος R.
[a] μασσώμενος R. Br.
[b] καὶ ἔ. κτ. om. R. Br.
[c] ἢ om. R. Br. qui statim om. ἀναθυμιάσεως—παρακειμένης.
[d] αἰσχύνεται Br.
[e] Οἰχαλιέων Br.
[f] ἢ τιμωρὸς ἢ ποινὴ ἡ ἀπαιτοῦσα L.
[g] παρεῖδες καὶ οὐκ ἐδέξω, ἕως τι κατὰ τὸ δίκαιον πράξειας. προὔλαβες, ἀντὶ τοῦ, φθάσασα οὐκ ἐξεδέξω. Γράφεται καὶ προὔβαλες Br. γράφεται καὶ προὔβαλες etiam R.

816. Ξυνηγορεῖς] Συνᾴδεις, [h] συμφωνεῖς.

817. Οὖρος ὀφθαλμῶν ἐμῶν: Εἴθε οὖρος καλὸς [i] ἐπιπνεύσαι αὐτῇ ἀπιούσῃ, ἵνα μηκέτι αὐτὴν ἴδοιμι. Τροπικῶς δὲ [k] τὸ οὖρος, ὡς ἐπὶ νεὼς, ἀντὶ τοῦ, οὐριοδρομείτω.

819. Ὄγκον γὰρ ἄλλως ὀνόματος: Τί γὰρ μάτην ἐπαιρόμεθα τῷ τῆς μητρὸς ὀνόματι, οὐδὲν ἄξιον αὐτῆς διαπραξαμένης, ὧν [l] φύσις καὶ ὁ θεσμὸς ἀπῄτει.

*Ibid.* Τρέφειν] Ἀντὶ τοῦ ἔχειν.

823. Ἴδ' οἷον ὦ παῖδες: [m] Ὁ χορὸς πρὸς ἀλλήλας διαλέγεται περὶ τοῦ δεδομένου μαντείου τῷ Ἡρακλεῖ ἐν τῇ Δωδώνῃ, ὅτι νῦν ἀπέβη. Τὸ δὲ οἷον, ἀντὶ τοῦ, οἵως. [n] Οἷον, Ὁρᾶτε, ὦ φίλαι, οἵως ἡμῖν ἀθρόως συνέπεσεν, καὶ εἰς οἷον κακὸν ἀπέβη τὸ ἔπος ἐκ τῆς μαντείας πάλαι χρησθέν. Προσέμιξεν δὲ, ἀντὶ τοῦ, προσερράγη ὀξέως.

*Ibid.* Προσέμιξεν] [o] Προσερράγη.

825. Τᾶς παλαιφάτου προνοίας: γρ. παλαιφοίβου, ἵν' ᾖ, τῆς πάλαι μαντευσαμένης· φοιβᾶσθαι γὰρ, τὸ μαντεύεσθαι.

826. Ὅτ' ἔλακεν: Ὅπερ ἐφθέγξατο, ἐπειδὰν ἐνιαυτὸς [p] παρέλθοι, τότε διαδοχὴν γενέσθαι τῶν πόνων τῷ Ἡρακλεῖ, τῷ Διὸς παιδί. Ἀνάδοχαν δὲ, ἀνάπαυσιν, ἀνακωχὴν, [q] ἀναδοχήν.

*Ibid.* Τελεόμηνος: Ὁ ἐνιαυτὸς ὁ τέλειον ἔχων [r] τὸ δωδεκάμηνον. Καὶ ἄροτος ὁ ἐνιαυτὸς, ἀπὸ τοῦ ἅπαξ κατ' ἐνιαυτὸν ἀροῦν.

828. Αὐτόπαιδι: Γνησίῳ παιδί.

*Ibid.* Καὶ τάδ' ὀρθῶς: Ταῦτα δὲ τὰ χρησθέντα ἀσφαλῶς νῦν ἡμῖν ἀποβαίνει. Τροπικῶς δὲ κατουρίζει, ὥσπερ οὐρίῳ πνεύματι [s] προσορμίζει ἡμῖν κατ' ὀρθὸν ἀνυόμενα.

829. Κατουρίζει] Προσπνεῖ.

832. Πῶς γὰρ ἂν ὁ μὴ λεύσσων: Πῶς γὰρ ὁ μηκέτι ὁρῶν τὸ φῶς παρὰ Εὐρυσθέως κελεύοιτο;

833. Εἰ γάρ σφε Κενταύρου: Εἰ γὰρ αὐτὸν τὸν Ἡρακλέα τὸ

[h] συμφωνεῖς om. R. Br.

[i] MS. ἐπιπνεύσει. Ed. Rom. ἐπιπνεύσοι, et mox ἐπιούσῃ. Grammaticus noster ad v. 955. εἴθε ὡς ἔστηκα πνεύσειεν ἄνεμος οὔριος. P. E.

[k] τὸ om. Br.

[l] ἡ φύσις R. Br.

[m] αἱ τοῦ χοροῦ—διαλέγονται Br.

[n] οὕτως Br.

[o] Gl. om. R. Br.

[p] παρέλθῃ Br.

[q] ἄνεσιν Br.

[r] τὸν R. Br.

[s] προσορμίζει MS. supra scripto μεῖ, ut sit προσορμεῖ. P. E.

αἷμα τὸ θανάσιμον τοῦ Κενταύρου περιέχει, [t] πλευρᾷ προστακέντος ἰοῦ, πῶς ἂν ἕτερον ἥλιον ἢ τὰ νῦν ἴδοι;

833. Φοινία νεφέλα] [u] Τὸ αἷμα τὸ θανάσιμον.

834. Χρίει δολοποιός: Χρίει δὲ τὸ ἱμάτιον τῷ αἵματι ἡ ἀνάγκη τῆς Δηϊανείρας, [w] ἡ μετὰ δόλου τεχνησαμένη· ἠνάγκασται γὰρ ὑπὸ [x] ζήλου . . . δόλῳ τοῦτο τεχνήσασθαι.

836. Ὃν τέκετο θάνατος: Τοῦτον τὸν ἰὸν ἐγέννησεν ὁ αἰόλος δράκων, μᾶλλον δὲ ὁ θάνατος.

*Ibid.* Δράκων] [y] Ἡ ὕδρα.

837. Ἀέλιον] [z] Ἀντὶ τοῦ ἡμέραν.

838. Προστετακὼς φάσματι: Προσκεκολλημένος τῷ ἰῷ τῆς ὕδρας· τοῦτο δὲ καθ' ἑαυτό· αἰτιατικὴν γὰρ ἐπιφέρει. Ἄλλως. [zz] Προσκεκολλημένος τῷ ἰῷ, ἢ τῷ ὀλεθρίῳ παρὰ τὸ πεφονεῦσθαι φάσματι, τουτέστι, τῷ ἱματίῳ τῷ κεχρισμένῳ τῷ φαρμάκῳ τῆς ὕδρας, τουτέστι τῇ χολῇ.

839. Μελαγχαίτα τ' ἄμμιγα: Τοῦ δασυτρίχου· καὶ ἅμα τῷ φάσματι τῆς ὕδρας, καὶ τὰ κέντρα τοῦ Νέσου αἰκίζει αὐτόν. Δῆλον δὲ, ὅτι [a] φοίνια τὰ κέντρα τοῦ Νέσου. Λέγει δὲ τὸ αἷμα αὐτοῦ [b] συμμεμιγμένον τῇ χολῇ τῆς ὕδρας.

841. Δολόμυθα: Ὅτι τοῖς δολίοις τοῦ Νέσου λόγοις ἀπατηθεῖσα τετόλμηκεν. Ἄλλως. Φοίνια δολόμυθα. Τὰ δόλια [c] φάρμακα· καὶ γὰρ ἕτερά τινα ἐκέλευσεν αὐτῇ συμμῖξαι τῷ αἵματι, ὡς ὀπίσω εἶπεν.

842. Ἐπιζέσαντα] Ἐπιχυθέντα, ἀνακαχλάσαντα [d] ἐκ τῆς θέρμης τοῦ πυρός.

843. Ὧν ἅδ' ἁ τλάμων: Ὧν τὴν [e] βλάβην ὁρῶσα ἡ Δηϊάνειρα τοῖς οἴκοις συμβᾶσαν, αὐτὴν μὲν ἐξαρχῆς [f] οὐ συνεῖδεν, ἐκ κατασκευῆς δὲ τῆς Νέσου καὶ τῆς τούτου φωνῆς γενομένην, ὡς δῆθεν ἐπὶ [g] τὸ διαλλάττειν αὐτῇ τὸν Ἡρακλέα, λίαν ὀδύρεται καὶ στένει. Ἄλ-

[t] τῇ πλευρᾷ Br. qui mox τοῦ ἰοῦ.
[u] Gl. om. R. Br.
[w] τῆς—τεχνησαμένης. Br.
[x] Post ζήλου inserit L. δι' οὗ ἥρα τ(ὸ) δόλ(ον) τοῦ τ. Triclinius, δι' οὗ ἥρα τὸν δόλον τεχνάσασθαι.
[y] Gl. om. R. Br.
[z] Gl. om. R. Br.
[zz] προσκεκολλημένος τῷ φάσματι, τουτέστι τῷ ἱματίῳ τῷ κεχρισμένῳ τῷ φαρμάκῳ ἤγουν τῇ χολῇ τῆς ὕδρας, τῷ ἰῷ. Δεινοτάτῳ] ἤγουν ὀλεθρίῳ, παρὰ τὸ πεφονεῦσθαι. Br.
[a] φονία R. Br. Mox νόσου L.
[b] τὸ συμμ. R. Br. Supra δὲ om. Br.
[c] φάρμακα τὰ συμμεμιγμένα Br.
[d] ἀπὸ R. Br.
[e] βλάβην μεγάλην Br.
[f] αὕτη οὐ R. αὐτὴ οὐ Br.
[g] τῷ Br.

λως. [h]Ὧν τῶν νεωστὶ δρωμένων συμβάντων κακῶν τὴν ἀμέλλητον βλάβην ὁρῶσα συμβᾶσαν τοῖς οἴκοις Δηϊάνειρα, τὰ κακὰ μὲν ἐξ ἀρχῆς αὐτὴ οὐ συνεῖδεν, ἀπὸ γνώμης δὲ ἑτέρας τοῦ Νέσου γενόμενα ὡς δῆθεν ἐπὶ τὸ διαλλάττειν τὸν Ἡρακλέα. Ἄοκνον δὲ, τὴν [i] ὀξεῖαν καὶ ἀμέλλητον· ἢ πολύοκνον, ὅ ἐστι πολύφοβον· κατ' ἐπίτασιν δὲ τὸ ᾱ.

845. Νέων ἀϊσσόντων] Νεωστὶ προσβαλλόντων.

846. Οὔ τι προσέβαλε] [k] Οὐκ ἔγνω, οὐ συνῆκεν.

*Ibid.* Τὰ δ' ἀπ' ἀλλοθρόου: Ἀλλοφώνου· [l] ὅτι ἀπὸ τῆς Νέσου φωνῆς γέγονεν ἡ [m] κατὰ Ἡρακλέα συμφορά. Οἷον, τῆς ἄλλα εἰπούσης, [n] καὶ οὐ τὰ ἀληθῆ. Ἢ ἀλλοφώνου, ὡς ἠλλαγμένην τοῦ Νέσου φωνὴν ἔχοντος.

*Ibid.* Ἀπ' ἀλλοθρόου] [o] Ἀπὸ τοῦ Νέσου.

847. Ὀλεθρίαις ξυναλλαγαῖς: Ἢ ὀλεθρίαις καὶ ἐπιβλαβέσι φιλίαις. Ἢ ἐπεὶ ἀντὶ τοῦ ἰδίου θανάτου [p] Νέσος ἀντήλλαξεν αὐτῇ τὸ αἷμα. Ἢ ὅτι ὁ μὲν Νέσος εἶπεν αὐτῇ πόθου καὶ διαλλαγῆς ἐργαστήριον εἶναι τὸ φάρμακον· γέγονε δὲ ὄλεθρος Ἡρακλέους.

848. Ἦ που ὀλοὰ στένει: Ὄντως δὴ ἡ ἀθλία καταστάζει καὶ [q] καταβρέχει πόλλων δακρύων ἀφρόν. [r] Ἐμφαντικὸν τὸ ἄχνα διὰ τὸ πλῆθος. Χλωρὰν οὖν ἄχναν, τὸν νεαρὸν ἀφρόν.

*Ibid.* Ὀλοά] [s] Ἡ δυστυχὴς, ἢ ἡ τοῦ ὀλέσθαι ἀξία.

849. Ἀδινῶν] Ἀθρόων· ἢ πολυθρηνήτων.

*Ibid.* Δακρύων ἄχναν] Περιφραστικῶς τὰ δάκρυα.

*Ibid.* Ἄχναν] [s] Τὸν ἀφρόν.

850. Ἁ δ' ἐρχομένα μοῖρα: Ἡ προσδοκωμένη κακομοιρία τοῦ Ἡρακλέους ἐμφαίνει μεγάλην ἑτέραν ἄτην· προσδοκῶσι δὲ, ὅτι ἀπολλυμένου Ἡρακλέους, αὐτόχειρ ἑαυτῆς γενήσεται.

852. Δολίαν] Δόλῳ γὰρ αὐτὴν καὶ λάθρᾳ ἀναιρήσει.

854. Ἔρρωγεν παγά: Ἀντὶ τοῦ, πάρεστιν ἡμῖν δακρύειν, ὡς ἀπὸ

[h] Seqq. damus secundum L. τῶν νεωστὶ δρωμένων. καὶ εἰς τὴν ἀμέλλητον βλάβην συμβάντων τοῖς οἴκοις. ἡ Δηϊάνειρα, τὰ κακὰ μὲν ἐξ ἀρχῆς αὐτη οὐ συνεῖδεν, ἐπὶ τὸ διαλλάττειν τὸν Ἡρακλέα R. Et sic fere Br., qui versus finem αὐτὴ οὐ συνεῖδεν, οὕτως οἰομένη διαλλάξειν τὸν Ἡρακλέα.

[i] οἰκίαν R.

[k] οὐ συνῆκεν ἀπὸ τοῦ Νέσου R. Br.

[l] ὅτι om. R. Br.

[m] κατὰ Ἡρακλέους R. Br. Qui statim ἢ pro οἷον.

[n] ἢ τὰ R. καὶ μὴ τὰ Br.

[o] Gl. om. R. Br.

[p] ὁ N. R. Br.

[q] διαβρέχει R. Br.

[r] ἐμφατικὸν δὲ τὸ R. Br.

[s] Gl. om. R. Br.

πηγῆς κρουνηδόν· ἐκτέταται γὰρ τὸ κακὸν, καὶ πανταχοῦ διαβήσεται ἡ κατὰ τὸν Ἡρακλέα συμφορά.

855. Ὦ πόποι: Φεῦ, φεῦ· [t] κακὸν, φησὶ, γέγονε τῷ Ἡρακλεῖ, οἷον [u] οὐδὲ παρὰ τοῖς πολεμίοις ἀνοίκτιστον σιωπηθήσεται. Τὸ γὰρ οὔπω ἀντὶ τοῦ, οὐχί. Ἢ οὕτως· οἷον [w] κακὸν, φησὶν, οὐδέποτε ὑπὸ τῶν ἐχθρῶν συνέβη τῷ Ἡρακλεῖ, τοῦτο ἀπὸ τῶν ἰδίων αὐτῷ γεγένηται.

857. Ἀπέμολε πάθος: Ἀντὶ τοῦ, ἀπομόλοι· οἷον οὐδέποτε ἀπὸ τῶν πολεμίων γένοιτο.

858. Ἰὼ κελαινὰ λόγχα: Κελαινὴν εἶπε τὴν λόγχην, διὰ τὸν ἐξ αὐτῆς ἀποτελούμενον θάνατον· μέλας [x] γὰρ ὁ θάνατος· δυσφορεῖ δὲ ἐπὶ τῷ αἰχμάλωτον εἰλῆφθαι τὴν Ἰόλην· διὰ γὰρ ταύτην ἡ συμφορά. Λόγχα δὲ δορὸς, περιφραστικῶς ἡ λόγχη. Προμάχου δὲ, τοῦ προβεβλημένου. Τὸ δὲ λόγχα, πρὸς τὸ αἷμα. Ὁ δὲ λόγος· ὦ θανατοποιὲ λόγχη, ἥτις τότε ἀνελοῦσα τὸν Εὔρυτον, ἐνταῦθα τὴν Ἰόλην ἤγαγες ἐκ τῆς ὑψηλῆς Οἰχαλίας, ὡς εἴθε μήποτε· τουτέστιν, φεῦ τῆς λόγχης ἐκείνης, ἐν ᾗ ἐπόρθησε τὴν Οἰχαλίαν ὁ Ἡρακλῆς, ἵνα [y] ἐνέγκῃ τὴν Ἰόλην· διὰ γὰρ ταύτην ἡ συμφορὰ ἐγένετο. Τὸ δὲ [z] ἄρθρον τῷ λόγχῃ συναπτέον· ἥ τις λόγχη.

*Ibid.* Προμάχου δορός: Τὸ προμάχου ἐπὶ τοῦ Ἡρακλέους ληπτέον, οἷον, τοῦ πρὸ πάντων μαχομένου· τὸ νύμφαν δὲ συναπτέον τῷ τάνδε.

859. Θοάν] Ἀντὶ τοῦ, θοῶς· τινὲς δὲ τὴν ταχέως νυμφευθεῖσαν.

860. Αἰπεινᾶς] [a] Ἐν ὕψει κειμένης.

861. Αἰχμᾷ] Νόμῳ πολέμου.

862. Ἁ δ' ἀμφίπολος Κύπρις: Ὁ νοῦς· ἡ δὲ Κύπρις ἦν ἄρα φανερῶς ἡ πάντων τούτων [b] ἐργάτις, εἰς ἔρωτα Ἰόλης βαλοῦσα τὸν Ἡρακλέα.

*Ibid.* Ἀμφίπολος] Ἡ [c] ὑπηρετησαμένη τῷ Ἡρακλεῖ πρὸς τὸν ἔρωτα.

[t] κακὴ φήμη γέγονε R. κακὸν, φησὶ, γέγονε Br.

[u] οὐδέποτε πολεμίοις R. Br.

[w] κακὴ φήμη οὐδέποτε R. Mox παρὰ Br. pro ὑπό.

[x] γὰρ P. E. pro δέ.

[y] ἐνέγκοι Br.

[z] ἄρθρον τῇ λόγχῃ R. ἄρθρον α τῷ λόγχα Br.

[a] ἀπὸ τῆς ἐν ὕ. R. Br. Mox κειμένην L.

[b] ἐργάτης R.

[c] Hoc exemplo uti potuisset Hermannus ad defendendam vulgatam scripturam ὑπηρετοίμην El. 1306. P. E.

864. Πράκτωρ] Πρακτική.

865. Πότερον ἐγὼ μάταιος: Ὁ Χορὸς τῆς τροφοῦ ἀκούων θρηνούσης ἐπὶ τῇ ἀναιρέσει τῆς Δηϊανείρας, φησὶ τοῦτο· ἆρα ἀναίσθητός εἰμι; κατακούω θρήνου τινός.

868. Οὐκ ἄσημον ἀλλὰ δυστυχῆ: Οὐ μικρὸν, ἀλλὰ μέγα καὶ ἐξάκουστον· τοῦτο δὲ, ὡς ᾐσθημένη μείζονος βοῆς.

869. Καί τι καινίζει στέγη] Ἔοικέ τι νεώτερον ἔχειν ὁ οἶκος.

870. Ξύνες δὲ] Ἀλλήλαις παρακελεύονται αἱ ἀπὸ τοῦ Χοροῦ.

*Ibid.* Ξύνες δὲ τήνδε: Ἀντὶ τοῦ, τῆσδε ἄκουσον· παρὰ τὸ ἔθος γὰρ κατεστυγνακυῖα πρόσεισιν.

874. Τὸ πόμπιμον] Τὸ πεμφθέν· λέγει δὲ τὸν χιτῶνα.

876. Βέβηκε Δηϊάνειρα: [d] Βέβηκε, φησὶν, ἡ Δηϊάνειρα εἰς Ἅιδου, οὐ τοῖς ποσὶ βεβηκυῖα· τὸ γὰρ σῶμα οὐκ ἄπεισιν εἰς Ἅιδου.

878. Οὐ δήποθ' ὡς θανοῦσα: Κατ' ἐρώτησιν· οὐχὶ ὡς θανοῦσα; βέβηκεν δὲ, ἐπεὶ καὶ ζῶντά ἐστί που πορευθῆναι.

881. Σχετλιώτατα: [e] Σχετλιώτατα ἦλθε πρὸς τὴν ἀναίρεσιν· τουτέστιν, ὡς ἄν τις ἰδὼν ἢ ἀκούσας σχετλιάσειεν τὴν πρᾶξιν.

882. Εἰπὲ τῷ μόρῳ: Τίνι θανάτῳ συνέπεσεν; ἀντὶ τοῦ, τίνι τρόπῳ ἐτελεύτησεν;

883. Αὑτὴν διηΐστωσεν] Αὐτὴ ἑαυτὴν ἀφανῆ ἀπὸ τοῦ βίου ἐποίησεν.

884. Τίς θυμὸς, ἢ τίνες νόσοι: Τίνι θυμῷ χρησαμένη ἑαυτὴν ἀνεῖλεν; ἢ τίς θυμὸς, φησὶν, ἀνεῖλε τὴν Δηϊάνειραν; [Εἰς τὸ αὐτό.] [f] Ἀντὶ τοῦ, τίνα θυμὸν εἶχεν τότε. [Εἰς τὸ αὐτό.] Τίς θυμὸς συνεῖλεν.

885. [h] Τάνδ' αἰχμὰν βέλεος: Περιφραστικῶς, τὸ βέλος. Βέλος δὲ [i] εἶπεν τὴν Δηϊάνειραν, ὅτι τρόπον βέλους ἀνεῖλεν ἑαυτήν· ἢ ἥτις ὡς βέλος ἰοβόλον μέγα κακὸν [k] προσετρίψατο τῷ Ἡρακλεῖ.

887. Πρὸς θανάτῳ θάνατον] Τὸν ἑαυτῆς πρὸς [l] τῷ Ἡρακλέους.

[d] βέβηκε—Δηϊάνειρα om. R. Br.

[e] σχετλιώτατα om. Br.

[f] Priorem gl. collocant R. Br. ad v. 892. Alteram om.

[h] MS. τᾶνδ' αἰχμᾶν βέλ<sup>ε</sup>. Ed. Rom. τὰν δ' αἰχμὰν βέλος κακοῦ. Deinde MS. περιφρ<sup>α</sup>, unde male περίφρασις ed. Rom. P. E.

[i] εἶπε τὴν Δηϊάνειραν R. Paullo infra ἀνεῖλεν ἑαυτὴν ἡ Δηϊάνειρα Br.

[k] προετρίψατο R. L.

[l] τῷ τοῦ R. Br.

890. Ἐπεῖδες ὦ ματαία: Τεθέασαι τὴν ἐκείνης τόλμαν; ἐκαρτέρησας ἰδεῖν τὴν ὠμότητα; οὕτως γὰρ εἶπεν τὴν ὕβριν. Καὶ νῦν δὲ τὸ ματαία κατὰ ἀντίφρασιν, ἀντὶ τοῦ, ὦ μελέα· καὶ Ὅμηρος γὰρ τὸ μάταιον μέλεον καλεῖ·

[m] οὐ μέντοι μέλεος εἰρήσεται αἶνος.

893. Ταῦτα τῇ χειρὶ ἑαυτῆς διεπράξατο.

894. Τί φωνεῖς] Ἀντὶ τοῦ, ἄπιστα λέγεις.

*Ibid.* Σαφηνῆ] Ἀληθῆ.

896. Ἀνέορτος ἅδε νύμφα] Ἡ νεωστὶ ἐνταῦθα ὁρμήσασα Ἰόλη. [n] Ἀνέορτος δὲ, ἀντὶ τοῦ, αἰσχρὰ καὶ ἀπρεπής.

900. Κτίσαι] Κατασκευάσαι καὶ ποιῆσαι· καλῶς δὲ ὡς ἐπὶ μεγάλῳ τολμήματι εἶπεν τὴν λέξιν.

901. Πεύσῃ δ' ὥστε μαρτυρεῖν ἐμοί] Οὕτως ἀκριβῶς διηγήσομαί σοι τὸ πρᾶγμα, ὡς πεισθῆναί σε, ὅτι ἀληθῆ λέγω.

903. Κοῖλα] γρ. κοινὰ, ἢ τὰ τοῦ θανάτου· ἢ τὰ αὑτῆς καὶ τοῦ [o] αὐτοῦ.

904. Στορνύνθ'] Τὸν Ὕλλον στρωννύντα.

907. Ἐρήμη] [p] Χήρα.

*Ibid.* Ὀργάνων] Ἢ τῶν ἱστουργικῶν, ἢ τῶν ἐργαλείων, οἷς τὸν πέπλον ἔχρισεν.

*Ibid.* Κλαῖε δ' ὀργάνων ὅτου] [q] Καὶ ἥπτετό τινος ἐργαλείου, ὧν εἴωθεν μεταχειρίζεσθαι, συνόντος αὐτῇ τοῦ Ἡρακλέους, οἷον ἱστοῦ ἢ τινος τοιούτου, [r] ὠδύρετο, ὡς λοιπὸν καταλιμπάνουσα αὐτά· ἱστοῦ δὲ ἴσως ἐφήπτετο, διὰ τὸν κατασκευασθέντα πέπλον ἐπὶ συμφοραῖς.

909. Ἄλλῃ δὲ κἄλλῃ] Ἀντὶ τοῦ, τῇδε κἀκεῖσε.

913. Καὶ τὰς ἄπαιδας] Ἐπεὶ μηκέτι ἔμελλεν παῖδας τίκτειν, ἤτοι σχήσειν, ὅτι τοῦ λοιποῦ οὐ γενήσονται συνουσίαι πρὸς τὸν Ἡρακλέα εἰς παιδοποιΐαν. Οὐσίας [s] δὲ, κοίτας, συνουσίας.

916. Ἐπεσκιασμένη] Περικεκαλυμμένη, [t] κρύπτουσα.

917. Φρούρουν] Ἐφύλαττον.

*Ibid.* Δεμνίοις τοῖς Ἡρακλείοις] Ἔνθα [u] συνεκάθευδεν· ἄλλο γὰρ ἦν, ὅπερ ἐστόρεσεν ὁ Ὕλλος.

[m] Il. ψ'. 795.
[n] ἁ νέορτος R. Mox ἢ αἰσχρὰ R. Br.
[o] Ἡρακλέους R. Br.
[p] Gl. om. R. Br.
[q] καὶ om. R. Br.
[r] καὶ ὠδ. Br.
[s] δὲ om. R. Br.
[t] κρύπτουσα om. Br. R.
[u] συνεκάθευδεν τῷ Ἡρακλεῖ Br.

919. Ἐπενθοροῦσ' ἄνω] Ἐναλλομένη ἄνω εἰς τὴν κλίνην.

924. Εὐνήτριαν] Εὐναζομένην, κοιμωμένην.

927. Προὔκειτο μαστῶν περονὶς] Πρὸς τῷ στήθει γὰρ ἐπερονῶντο αἱ γυναῖκες.

*Ibid.* Ἐκ δ' ἐλώπισεν] Ἐγύμνωσεν, [w] ἐξέδυσεν· λῶπος γὰρ τὸ ἱμάτιον.

930. Τῷ παιδὶ] Τῷ Ὕλλῳ, τῷ παιδὶ τῆς τοιαῦτα τολμώσης.

931. Κἂν ᾧ] Καὶ ἐν ᾧ· [x] καὶ ἐν ὅσῳ διετρέχομεν πρὸς τὸν Ὕλλον, εἶτα πάλιν πρὸς τὴν Δηϊάνειραν, ἔφθασεν ἑαυτὴν ἀνελοῦσα.

933. Πλευρὰν ὑφ' ἧπαρ καὶ φρένας] [y] Περὶ τὸ ἧπαρ γὰρ φρένες εἰσὶ παχεῖαι. Ὅμηρος·

ὅθι τε φρένες ἧπαρ ἔχουσιν.

934. Ἔγνω γὰρ τάλας] Ἔγνω γὰρ κατὰ ποῖον τρόπον τοῦτο ἐποίησεν ἡ μήτηρ αὐτοῦ· συνεῖδεν, ὡς ὀργισθεῖσα ἐπὶ τῷ ἠπατῆσθαι παρὰ τοῦ Νέσου, τὸ ἔργον τοῦτο διεπράξατο.

939. Ἀμφί νιν: [z] Περὶ αὐτὴν, τὴν μητέρα.

941. Πλευρὰν παρεὶς ἔκειτο: Παρεὶς, ἐκτείνας [a] ἑαυτὸν, ἢ προσκολλήσας, ὠδύρετο, ὅτι αὐτὴν ματαίως ᾐτιάσατο, ὡς κακοήθως [b] ἀποστείλασαν τὸν χιτῶνα.

945. Ὥστ' εἴ τις δύο ἢ καὶ πλέους: Τῶν ἀνθρωπίνων ἀδήλων ὄντων, ἀνόητοί εἰσιν οἱ λογιζόμενοι δύο ἢ καὶ πλείους ἡμέρας, καὶ οὐ προσδοκῶντες καθ' ἑκάστην ὥραν τὸν θάνατον· πολλάκις γὰρ λύπῃ τινὶ ἢ δυστυχίᾳ περιπεσόντες, ἑαυτοὺς ὑπεξάγουσι τοῦ βίου παραχρῆμα, καὶ οὐκ ἀναμένουσι τὴν ἐπιοῦσαν ἡμέραν, ὡς καὶ [c] Δηϊάνειρα.

949. Πότερ' ἂν πρότερα: Ποῖα, φησὶ, στένω, τὰ κατὰ τὸν Ἡρακλέα, ἢ τὰ κατὰ τὴν Δηϊάνειραν; ποῖα χαλεπώτερα καὶ περαιτέρω δεινότητος; δυσκατάληπτά ἐστιν, [d] ἰσομέγεθα ὄντα.

952. Τάδε μὲν ἔχομεν: Τὰ μὲν κατὰ τὴν Δηϊάνειραν αὐταῖς ὄψεσιν ἔξεστι θεωρεῖν ἐν τῷ οἴκῳ· τὰ δὲ κατὰ τὸν Ἡρακλέα, ἐκδεχόμεθα.

954. Κοινὰ δ' ἔχειν τε καὶ μέλλειν: Κοινὰ δέ ἐστιν τὰ ἀμφοτέ-

[w] ἐξέδησεν R.

[x] καὶ om. R. Br.

[y] ἐπειδὴ περὶ Br. Mox γὰρ om. R. Br. Deinde φλέβες—ταχεῖαι L. Homeri locus est Od. ι'. 301.

[z] Gl. supra collocat R. post v. 931. sed om. τὴν μητέρα.

[a] ἑαυτὸν ἐπὶ πλευρὰν ἢ προσκολλήσας ἐκείνῃ Br.

[b] ἀποστείλασαν αὐτὴν τὸν χ. L.

[c] ἡ Δηϊάνειρα R. Br.

[d] ἰσομεγέθη R. Br.

ρων κακά· καὶ τὰ μὲν ἔχομεν, τὰ δὲ [e] μέλλομεν. [Εἰς τὸ αὐτό.] Ἴσον δέ ἐστι τὸ ἔχειν κακὰ, καὶ τὸ προσδοκᾶν.

955. Εἴθ' ἀνεμόεσσά τις: [f] Ἀνεμοεσσα αὖρα, περιφανὴς ἄνεμος. Ἔπουρος, οὔριος. Ἑστιῶτις, κατοικίδιος. Ὁ δὲ νοῦς· εἴθε, ὡς ἕστηκα, πνεύσειεν ἄνεμος οὔριος ἐπὶ τῆς οἰκίας, ἵνα με λαβὼν ταύτης ἀπαγάγῃ τῆς ἑστίας, καὶ [g] ἀποχωρίζοι, ὅπως μὴ παραχρῆμα ἀποθάνω, θεασαμένη τὸν Ἡρακλέα κακῶς διακείμενον. Τοῦτο δὲ λέγει, ὡς μὴ καρτεροῦσα ἰδεῖν τὰς συμφοράς.

956. Ἑστιῶτις] [h] Ἐπὶ τοῦ οἴκου τούτου.

957. Ἀποικίσειεν ἐκ τόπων] [i] Ἀποχωρίσειεν ἐκ τούτων τῶν τόπων.

959. Μὴ ταρβαλέα] [h] Μὴ ἐνεγκοῦσα τὴν θέαν.

961. Δυσαπαλλάκτοις] Δυσιάτοις.

962. Χωρεῖν πρὸ δόμων λέγουσι: Λέγουσί [k] τι παμμέγεθες κακὸν πλησίον ποῦ τῆς οἰκίας χωρεῖν, δυσιάτους ὀδύνας ἡμῖν ἐφελκόμενον.

963. Ἄσπετον] [l] Μέγα καὶ ἄπιστον.

965. Προύκλαιον ὀξύφωνος: Ἀντὶ τοῦ, προκλαίουσιν· ὁ Χορὸς αἰσθάνεται τοῦ Ἡρακλέους πλησίον φερομένου, καὶ πλῆθος θρηνούντων ἐπακολουθούντων αὐτῷ.

966. Ξένων γὰρ ἐξόμιλος: Ἐκ τῆς βαδίσεως συνῆκεν, τὸ φαινόμενον ἄθροισμα ξένων ἀνδρῶν εἶναι· οἷον, βάδισις ξένων ἀνδρῶν ἐστι, καὶ ἄλλου πλήθους συνέστηκεν.

967. Πᾷ δ' αὖ φορεῖ νιν: Ποῦ, [m] φησὶ, καὶ φέρει αὐτὸν ὁ ὅμιλος; ὡς γὰρ ὑπὲρ φίλου κηδομένην, ἄψοφον φέρει τὴν βάσιν.

970. Ἄναυδος] Μηδὲ φωνὴν προέσθαι [n] δυνάμενος.

971. Τί χρὴ θανόντα νιν: Τί, φησὶ, δεῖ κρῖναι περὶ αὐτοῦ, καὶ τί ἂν τις δοξάσειεν; πότερον τέθνηκεν, ἢ ὕπνῳ βεβάπτισται;

973. Ὤι μοι ἐγώ] [o] Ὕλλος ἀπαντήσας τῷ πατρὶ, θρηνεῖ.

974. Τί δὲ μήσομαι] [p] Τὶ τεχνάσομαι, ὅπως σωθείης.

976. Σίγα τέκνον: Γέρων τις ἀκολουθῶν τῷ Ἡρακλεῖ ἀπὸ Εὐ-

[e] μέλλομεν ἕξειν R. Br.
[f] ἀνεμόεσσα αὖρα om. Br.
[g] ἀποχωρίσῃ R. Br.
[h] Gl. om. R. Br.
[i] ἀποχωρήσειεν ἀπὸ τ. R. Br.
[k] τι παμμέγεθές τι L.
[l] Gl. om. R. Br.
[m] φορεῖ R. Br.
[n] δυνάμενον R.
[o] ὁ Ὕλλος ὑπαντήσας R. Br.
[p] τι om. R. Br. qui τεχνάσομαι, μηχανήσομαι.

βοίας, πρὸς τὸν Ὕλλον φησί· Μὴ ἀνεγείρῃς αὐτόν· τοῦτο γὰρ αἴτιον ὀδύνης τοῖς κάμνουσιν.

977. Ὠμόφρονος: Ἐκ τῶν ὀδυνῶν ἠγριωμένου.

*Ibid.* Ζῇ γὰρ προπετής: Προπετὴς, εἰς τὸν θάνατον προνενευκὼς, ἢ παρειμένος, εἰς τὴν γῆν πεσών· ἢ ἐπὶ πρόσωπον κοιμώμενος· ἢ καὶ μόνον κείμενος.

982. Φοιτάδα] Τὴν μανιώδη.

*Ibid.* Ἀλλ' ἐπί μοι μελέῳ: Ἀλλ' ἐνθουσιᾷ [q] με τῷ μελέῳ ἡ φρὴν, διὰ τὸ ἄπλετον βάρος· ἐν ἐπιθυμίᾳ, φησὶν, ἔχω τὸ βάρος, καὶ σιωπᾶν οὐ δύναμαι.

985. Ὦ Ζεῦ, ποῖ γᾶς ἥκω: [r] Ἡρακλῆς, ὡς ἐξαναστὰς καὶ ἀγνοῶν ποῦ μετενήνεκται.

989. Βρύκει] Ἐσθίει με ἡ νόσος, [s] καὶ ἀναλίσκει.

990. Ἆρ' ἐξῄδης: Πρὸς τὸν Ὕλλον [t] λέγει· ἆρα, φησὶν, ὅσον ἦν κέρδος τὸ σιωπᾶν ἔγνως, καὶ μὴ διασκεδάσαι τὸν ὕπνον;

993. Οὐ γὰρ ἔχω πῶς ἄν: Ἀδυνάτως ἔχω καρτερεῖν ἐπὶ τηλικούτῳ κακῷ.

995. Ὦ Κηναία κρηπίς: [u] Κρηπὶς, τὸ ἔδαφος· περιφραστικῶς δὲ, ἀντὶ τοῦ, ὦ Κήναιον· μέμφεται δὲ τῷ τόπῳ, ὅτι οὐκ ἐπὶ αἰσίοις αὐτῷ γέγονεν τὰ ἐκεῖ θύματα· [w] οἵαν οὖν, φησὶ, χάριν ἀπὸ τῶν θυμάτων διεπράξω.

996. Οἵαν ἀνθ' οἵων θυμάτων: Οἵαν μοι, φησὶ, προσετρίψω βλάβην, ὦ Ζεῦ, τὴν [x] ταῖς μανίαις ἀκμάζουσαν· λέγει δὲ ταῦτα ἀφορῶν εἰς τὸ ἑαυτοῦ σῶμα.

1001. Ἀκήλητον] Ἀνίατον, ἀκαταπράϋντον. Ἀπὸ κοινοῦ δὲ τὸ ὤφελον.

1002. Καταδερχθῆναι: Θεωρῆσαι, ἰδεῖν τὴν ἀκμὴν τῆς μανίας.

1003. Τίς γὰρ ἀοιδός: Τίς, φησὶν, ἐπῳδὸς ἢ ἰατρὸς διὰ χειρῶν τὴν τέχνην τῆς ἰατρικῆς ἐνδεικνύμενος, θεραπεύσει τὸ πάθος μου, εἰ μὴ ὁ Ζεὺς βούλοιτο;

1006. Θαῦμ' ἂν πόρρωθεν: Ἥδιστα ἂν, καὶ εἰ μακρόθεν [y] μεταπέμψαιτό τις τὸν θεραπεύσαντα, θεασαίμην, μεταπεμψαμένων ὑμῶν.

[q] μοι R. Br.
[r] Ἡρακλῆς ταῦτά φησι Br.
[s] οὐκ ἀναλ. R.
[t] λέγει ὁ γέρων Br.
[u] κρηπὶς om. R. Br.
[w] οἷα R.
[x] ταῖς om. R. Br.
[y] μεταπέμψοιτο L. R. Br. Mox θεραπεύσοντα Br.

1007. Δύσμορον] γρ. ὕστατον.

*Ibid.* Εὐνάσαι] Ἢ τὸ καθευδῆσαι, ἢ τὸ ἀποθανεῖν.

1008. Πᾷ μου ψαύεις: Ὡς ἐφαπτομένου αὐτοῦ τοῦ παιδὸς, ἐπὶ [z] τὸ γνῶναι πῶς ἔχει τῷ σώματι. [a] Ποῖ ψαύεις, ἀντὶ τοῦ, παῦε ψηλαφῶν καὶ μεταφέρων τῇδε κἀκεῖσε τὸ σῶμά μου. [Εἰς τὸ αὐτό.] Ποῦ προσάγεις τὰς χεῖρας;

1010. Ἀντέτροφας: Ὅ τι ἂν ἡσυχάσῃ τοῦ κακοῦ τούτου, πάλιν κινήσας [b] ἀνέτρεψας· οἷον, ὅ τι ἂν τῶν [c] ὀδυνῶν παύσῃ, τοῦτο διήγειρας.

1011. Ἧπταί μου] Τὸ κινηθῆναι ὑπὸ σοῦ καθήψατό μου.

1012. Ἥδ' αὖθ' ἕρπει] Ἡ νόσος, φησὶ, πάλιν ἐπίκειται.

*Ibid.* Πόθεν ἔστ' ὦ πάντων Ἑλλάνων: Οὐ πρὸς τοὺς φέροντας φησὶν, ἀλλὰ καθόλου πρὸς πάντας τοὺς εὐεργετηθέντας πρώην ὑπ' αὐτοῦ· ποῦ, φησὶν, ἄρα [d] ἐστὲ, ὦ πάντων Ἑλλήνων ἀδικώτατοι, τουτέστιν, ἀχαριστότατοι, οὓς ἐγὼ πῇ μὲν κατὰ θάλατταν, πῇ δὲ ἐν γῇ ἔσωζον, [e] πάντα τόπον καθαίρων, ὑπὲρ σωτηρίας ἐκείνων ἐγγὺς θανάτου ἐγενόμην. Τὴν δὲ ἐκ τόπου σχέσιν εἶπεν, ἀντὶ τῆς ἐν τόπῳ, ὡς

[f] Σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη·

ἀντὶ τοῦ, σχεδόν.

*Ibid.* Πόθεν] Ἀντὶ τοῦ ποῦ.

1015. Ὠλεκόμαν] Ἔκαμνον, καὶ ἐγγὺς θανάτου ἐγενόμην.

*Ibid.* Καὶ νῦν ἐπὶ τῷδε νοσοῦντι: Καὶ νῦν, φησὶν, οὐδεὶς ἐκείνων ἐπ' ἐμοὶ νοσοῦντι, οὐ πῦρ, [g] οὐ ξίφος σωτήριον προσαγαγὼν, ἀπαλλάξει με τοῦ ζῆν.

*Ibid.* Τῷδε] Δεικτικῶς, ἀντὶ τοῦ ἐμοί.

*Ibid.* Οὐ πῦρ] Λείπει προσαγαγών.

1017. Οὐδ' ἀπαράξει: Οὐδεὶς ἐκείνων, φησὶ, βούλεται [h] ἐλθὼν τὴν κεφαλήν μου ἀποτεμεῖν, καὶ ἐλευθερῶσαι τοῦ μοχθηροῦ βίου.

*Ibid.* Ὀνήσιμον] [i] Ὠφελήσιμον, σωτήριον.

1020. Ὦ παῖ] Εἷς τῶν γερόντων, [ii] ἀκολουθῶν ἐξ Εὐβοίας τῷ Ἡρακλεῖ, πρὸς τὸν Ὕλλον φησί.

[z] τῷ Br.
[a] ἢ πᾷ R. Br.
[b] ἀνατρέψας L.
[c] ἡδονῶν R.
[d] ἐστὶν R.
[e] καὶ πάντα Br.
[f] Od. β'. 267.
[g] λείπει προσαγαγών· οἷον οὐ πῦρ, οὐ ξ. R. Br. qui om. paullo infra.
[h] ἐλθεῖν R. Br. Mox κεφαλὴν μ' ἀποτεμεῖν R. Mox ἐλευθερῶσαί με Br.
[i] om. R. Br.
[ii] ἀκολουθησάντων et mox τοῦτό φησι Br.

1020. *Τοὔργον τόδε μεῖζον ἀνήκει*] Τὸ *βοηθῆσαι, ἢ βαστάξαι τὸν Ἡρακλέα, μεῖζόν ἐστιν ἢ κατ' ἐμέ.* Ἀνήκει δὲ, *ἀντὶ τοῦ, ὁρμᾷ·* [k] *ὤξυνται μεῖζον, φησὶν, ἢ κατὰ τὴν ἐμὴν δύναμιν.* Τοὔργον *δὲ, τὴν νόσον φησί.*

1021. *Σὺ δὲ σύλλαβε:* Σὺ *γὰρ νέος εἶ, καὶ ὀξύτερόν σοι τὸ ὄμμα πρὸς τὸ σώζειν τὸν πατέρα, μᾶλλον ἢ δι' ἐμοῦ.*

1022. *Ἔμπλεον*] [l] *Ὀξύτερον.*

*Ibid.* *Ψαύω μὲν ἔγωγε:* Εἰ *τὸ κατασχεῖν αὐτὸν ἴαται, ἰδοὺ ἐφάπτομαι αὐτοῦ· ἴσθι δὲ, φησὶν, ὅτι τὴν λαθίπονον ἴασιν τῶν ὀδυνῶν, οὔτε διὰ στόματος, οὔτε ἔξωθεν προσάπτειν δύναμαι· οὐκ οἶδα γάρ· τοιαῦτα γὰρ ἀλγήματα δίδωσιν ὁ Ζεύς.*

*Ibid.* Οὔτ' *ἔνδοθεν οὔτε θύραζε:* Οὔτε *ἀπ'* [m] *ἐμαυτοῦ, οὔτε ἀπό τινος τῶν ξένων δύναμαι ἐξανύσαι.*

1023. *Λαθίπονον δ' ὀδύναν*] [n] *Λείπει φαρμάκου.* [*Εἰς τὸ αὐτό.*] [o] Τὴν *ὀδύναν τοῦ βίου αὐτοῦ τὴν λαθίπονον ἐξανύσαι οὐ δύναμαι.*

*Ibid.* *Ἔνδοθεν*] *Διὰ στόματος.*

1025. *Ὦ παῖ παῖ*] *Αἰσθάνεται τῆς τοῦ παιδὸς φωνῆς ὁ Ἡρακλῆς.*

1029. *Θρώσκει*] [p] *Ἀναζωπυρεῖται ἡ νόσος.*

1030. *Δειλαία*] *Δειλοποιός.*

1031. *Ἀποτίβατος*] *Ἀπροσπέλαστος.*

1032. *Ἰὼ Παλλάς*] *Ἐπικαλεῖται τὴν Ἀθηνᾶν εἰς βοήθειαν.*

1033. *Ἰὼ παῖ:* Κἂν *σὺ, ὦ παῖ, τὸν φύσαντα οἰκτείρας, ἐπίσπασαί μοι ξίφος ἀνεμέσητον, ἐφ' ᾧ οὐδείς σε μέμψεται ὡς πατροκτόνον.*

1037. *Ἐχόλωσεν*] [q] *Ἐπίσσωσεν.* [*Εἰς τὸ αὐτό.*] *γρ. ἐχόλησεν, οἷον, χολῇ ἔχρισε τὸν χιτῶνα.*

1039. *Ἂν ὧδ' ἐπίδοιμι*] *Ἣν ἴδοιμι τῷ αὐτῷ νοσήματι περιπεσοῦσαν.*

1040. *Αὔτως*] [r] *Ὁμοίως.*

1041. *Ὦ Διὸς αὐθαίμων:* Ὦ *τοῦ Διὸς ἀδελφὲ Ἀϊδωνεῦ.*

1044. *Ὠκυπέτᾳ*] [r] *Τάχει.*

1051. *Στυγνός*] *Στυγνοποιὸς, διὰ τὰς τῶν ἄθλων προστάξεις.*

[k] *ὥρμηται* R. Br.
[l] Gl. om. R. Br.
[m] *αὐτοῦ* R. Haec paullo aliter Br. Tricl.
[n] Gl. om. Br.
[o] Gl. om. R. Alio loco ponit Br. Seq. om. R. Br.
[p] *ἀποζωπυρεῖται* Br. *ἡ νόσος* om. R. Br.
[q] *ἐπίσσωσεν* om. R. Br.
[r] Gl. om. R. Br.

1054. Ἀμφίβληστρον] Τὸν χιτῶνα [s] ὡς ἀμφίβληστρον.

1055. Προσμαχθέν] Προσκολληθέν.

1056. Ἀρτηρίας] Τὰς [t] φλέβας.

1057. Ῥοφεῖ] Ἐκπίνει.

*Ibid.* Χλωρόν] Νέον, ἢ νεκρόν.

1059. Ἀφράστῳ τῇδε χειρωθείς: Ἀπροσδοκήτῳ, ἀνεννοήτῳ, ἢ ἀλέκτῳ· ἢ περὶ ἧς οὐκ ἔχει τις φράσασθαι, τίς εἴη τὴν φύσιν.

*Ibid.* Πέδῃ] [x] ἐποχῇ, ἥττῃ.

1060. Κοὐ ταῦτα λόγχη πεδιάς: Ἡ ἐν τῷ πεδίῳ βαλλομένη. Ἢ ἐπεὶ ἐν τῷ Θεσσαλικῷ πεδίῳ ἐμαχέσατο πρὸς Κενταύρους.

*Ibid.* Λόγχη πεδιάς: Ἡ ἐν πεζομαχίᾳ· θέλει γὰρ εἰπεῖν, ὅτι οὔτε παραταττόμενος, οἷον πρὸς Λαομέδοντα, οὔτε πρὸς [u] Αὐγέαν, ἢ Κενταύρους.

1061. [w] Θήρειος βία: Λέοντος, ὕδρας, Κερβέρου, καὶ τῶν λοιπῶν.

1062. Ἄγλωσσος] Κακόγλωσσος, βάρβαρος, ἢ ἀλλόγλωσσος.

1064. Κοὐκ ἀνδρὸς φύσιν] Λείπει ἔχουσα.

1066. Ὦ παῖ: Ὦ Ὕλλε, δεῖξον τοῖς ἔργοις, ὅτι ἀληθῶς ἐξ Ἡρακλέους ἔχεις τὸ γένος, καὶ μή μου προκρίνῃς τὴν Δηϊάνειραν, ἀλλὰ ταῖς σαῖς χερσὶ τῆς οἰκίας αὐτὴν ἔξαγε, καὶ παράδος μοι. Ταῦτα δὲ, ἀγνοῶν ὅτι [y] τέθνηκεν.

1069. Ὡς εἰδῶ σάφα: Ἵνα μάθω, πότερον ὑπὲρ ἐμοῦ νοσοῦντος λυπῇ, ὅταν ἴδῃς τὸ σῶμα τῆς Δηϊανείρας παρ' ἐμοῦ βλαπτόμενον καὶ δικαίως καταπονούμενον.

1073. Ὅστις ὥς τις παρθένος: [z] Ὅμηρος·

ἠΰτε κούρη
νηπίη, ἥθ' ἅμα μητρὶ [a] κλαίουσ' ἀνελέσθαι ἀνώγει.

1074. Βέβρυχα] [b] Ἀναβοῶ.

1076. Αἰὲν εἱπόμην κακοῖς] [c] Ὑπέφερον πᾶν κακόν.

1077. Νῦν δ' ἐκ τοιούτου: Ἐξ ἰσχυροῦ γέγονα ἀσθενής· ἢ [d] ὑπὸ τοιούτου κακοῦ.

[s] λέγει Br.

[t] βφλέβας R. manifesto typothetae errore, quem fideliter reposuit Erfurdtius.

[u] Αὐγείαν R. Br.

[w] θήριος R. Br.

[x] Gl. om. R. Br.

[y] τέθνηκε λέγει R. Br.

[z] Il. π'. 7.

[a] Sic L. R. θέουσ' Br. Erfurdt, qui lectionem Rom. edit. silentio praeterit.

[b] Gl. om. R. Br.

[c] ἤγουν ὑπέφ. R. Br.

[d] ἀπὸ R. Br.

1079. Σκέψαι] [e] Σκόπει.

1081. Ἰδοὺ θεᾶσθε] Ὁ λόγος πρὸς τοὺς περιεστῶτας.

1083. Αἶ αἶ] Ὀδυνώμενος ἀναβοᾷ.

1084. Ἔθαλψεν ἄτης: Πάλιν ἐξεπύρωσέν με ὁ τῆς νόσου σπασμός.

1085. Οὐδ' ἀγύμναστόν μ' ἐᾶν ἔοικεν: Ὀδύνης [ee] ἀπείραστον, ἄνετον ὀδυνῶν· ἀντὶ τοῦ, οὐκ ἐνδίδωσί μοι.

1088. Ὦ Διὸς ἀκτὶς παῖσον] Ὦ κεραυνὲ, εἴθε με λάβοις.

1089. Ἐγκατάσκηψον] Τόξευσον κατ' ἐμοῦ τὸν κεραυνόν.

1090. Δαίνυται] Ἐσθίει με [f] ἡ νόσος.

1091. Ἤνθηκεν, ἐξώρμηκεν: [g] Ἤκμασεν, ἀνεκάχλασεν καὶ ἐγήγερται.

1092. Ὦ νῶτα καὶ στέρνα: Ἀφορῶν εἰς [h] ἕνα ἕκαστον μέλος, δυσφορεῖ, ὅτι ἀφ' οἵου οἷον γέγονεν αὐτοῦ τὸ σῶμα.

1093. Ὑμεῖς ἐκεῖνοι: Ἆρα ὑμεῖς ἐστὲ, [i] αἵ τὸν Νεμεαῖον χειρωσάμεναι λέοντα, τὸν τὴν Νεμέαν λυμαινόμενον;

*Ibid.* Λέοντ' ἄπλατον: Ἀπρόσιτον, [k] ἀναγόρευτον, ἀδιήγητον· ἢ φαῦλον καὶ μεμισημένον, ὃν οὐκ ἄν τις προσφθέγξαιτο.

1095. Ἀπροσήγορον] [l] Ἀδιήγητον.

1097. Διφυῆ τ' ἄμικτον] Τὸν τῶν Κενταύρων ἀπροσπέλαστον, ᾧ οὐκ ἦν συμμῖξαι καὶ συμβαλεῖν.

1098. Ὑπείροχον βίαν: Ὑπερέχοντα κατὰ τὴν δύναμιν. Ὑβριστὴν δὲ, μάχιμον, ὠμὸν, οὐ σώφρονα· διὰ τὸν Νέσον, καὶ τὸν Πειρίθου γάμον.

1100. Τρίκρανον: [m] Ἡσίοδος πεντηκοντοκέφαλον αὐτὸν φησὶν εἶναι· οὗτος δὲ, τρίκρανον.

*Ibid.* Σκύλακα] [n] Τὸν Κέρβερον.

1101. Τόν τε χρυσέων δράκοντα: Φασὶ τὸν Ἄτλαντα τῷ Ἡρακλεῖ κεκομικέναι τὰ μῆλα, ὅτε καὶ [o] αὐτὸν διαδεξάμενος τὸν οὐρανὸν ἐβάστασεν.

[e] Gl. om. R. Br.

[ee] ἀπείρατον R. Br.

[f] ἡ νόσος δηλονότι· τὸ δὲ ω πάτερ κεραυνοῦ, ἀντὶ τοῦ, ὦ κεραυνὲ, εἴθε με λάβοις R. Br.

[g] Gl. om. R. Br.

[h] ἓν Br.

[i] οἱ—χειρωσάμενοι R. Br. Mox Νεμαίαν L.

[k] κἀπροσήγορον καὶ ἀναγόρευτον Br.

[l] Gl. om. R. Br.

[m] Theogon. 312. πεντηκοντακέφαλον R. πεντηκοντακάρηνον Br.

[n] In pr. gl. praeced. R. Br.

[o] Sic P. E. αὐτὸς L. R. Br.

1102. Ἐπ' ἐσχάτοις τόποις] Τοῖς τῆς Λιβύης.

1103. Ἐγευσάμην, [p] ἐπειράθην.

1105. Ἄναρθρος: Οὐκ ἔχων τὰ ἄρθρα τῶν μελῶν, διὰ τὸ σεσῆφθαι αὐτά. Κατερρακωμένος [q] δὲ, τὰς σάρκας σαπεὶς, καὶ ἔχων αὐτὰς κρεμαμένας, ὡς ῥάκη.

1106. Τυφλῆς ὑπ' ἄτης: Ὑπὸ νόσου ἀφανοῦς καὶ ἀκαταλήπτου, ἣν οὐκ ἐστὶν ἰδεῖν.

1109. Τόδ' ἴστε] Οἱ παρόντες.

1110. [r] Κἂν τὸ μηδὲν ᾧ, κἂν μηδὲν ἕρπω: Ἀντὶ τοῦ, καὶ οὕτως ἔχων, καὶ οὕτω διακείμενος.

1115. Εἰ σφαλήσεται] Εἰ [s] ἀποτεύξεται τούτου.

1117. Σιγὴν παρασχών] Ἀντὶ τοῦ, σιωπήσας καὶ ἡσυχάσας.

1120. Οὐ γὰρ ἂν γνοίης: Τουτέστιν, ἐὰν μὴ τοῦ θυμοῦ παύσῃ, πρότερον οὐ δυνήσῃ γνῶναι ὑπὸ τῆς ὀργῆς σκοτούμενος, ὅτι ἀδίκως αὐτὴν ἀνελεῖν βούλει, ὅπερ σοι ἐστὶ μεγίστη χαρὰ, οὐδὲ ὅτι μάτην ἀλγεῖς τὴν ψυχὴν, νεμεσῶν τὴν οὐδὲν ἀδικήσασαν.

1121. [t] Χαίρειν προθυμῇ] Ἀνελεῖν αὐτὴν βουλόμενος.

1123. Ποικίλλεις] [u] Σοφίζεις, καλλωπίζεις τῷ λόγῳ.

1126. Ὦ παγκάκιστε: Αὕτη τοῦ μίσους ἐπίτασις, ὅτι καὶ μνήμην τῆς μητρὸς ἐποιήσατο· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ Ἡρακλέους ἀκούοντος.

1128. Ἔχει γὰρ οὕτως: Τὸ γὰρ κατ' αὐτὴν, φησὶ, πρᾶγμα ἐκτός ἐστιν ἀδικίας, ὡς μηδὲν εἶναι τοῦτο σιωπῇ παραδοῦναι.

1131. Λέγ'· εὐλαβοῦ δέ: Εὐλαβοῦ μὴ δι' ὧν ὑπὲρ τῆς μητρὸς λέγεις, περὶ ἐμὲ φαῦλος ἐξελεγχθῇς.

1133. Πρὸς τοῦ; τέρας τοι διὰ κακῶν: Πρὸς τίνος; [w] ἄπιστον γὰρ διὰ δυσφημῶν ὥσπερ ἐμαντεύσω· τουτέστιν, ἄπιστον λέγεις, ὅτι ἑαυτὴν ἀνεῖλεν, εἰ μὴ ἄρα μαντικῆς μετέχων τοῦτο ἔγνως, ὡς μάντευμα ἄπιστον. Τοῦτο δὲ εἶπεν, ἐπειδὴ πολλάκις τὰ μὴ προσδοκώμενα μαντεύονται οἱ θεοί.

[p] ἐπειράθην, πεῖραν ἔσχον R. Br.

[q] δὲ om. Br.

[r] κᾂν τὸ μηδὲη (sic) ὦ. κᾂν μηδὲν ἕρπων. ἀντὶ τοῦ, ὦ παρόντες, κᾂν μηδὲν ἕρπων, καὶ οὕτως ἔχων, καὶ οὕτω διακείμενος R.

[s] ἀποτεύξηται L.

[t] ἢ μάτην ἀλγεῖς, ἀνελεῖν R. Br.

[u] σοφίζεις καὶ καλλωπίζεις R. σοφίζῃ καὶ καλλωπίζεις Br.

[w] ἀπιστῶν L. ἄπιστον R. Br. Mox δυσφημιῶν Br. In fine gl. οἱ θεοὶ om. R. Br.

1134. Πρὸς ἐκτόπου] [x] Ὑπ' ἄλλου ξένου.

1136. Στραφείη θυμός: Λήξειεν ἡ ὀργή.

1137. Δεινοῦ λόγου: Θαυμαστοῦ· ἄπιστον γὰρ, εἰ παύσομαι τῆς ὀργῆς· ὅμως εἰπέ.

1138. Ἅπαν τὸ χρῆμ' ἥμαρτε: [y] Ζητοῦσα, φησὶ, χρηστόν τι διαπράξασθαι, τοῦ ὅλου πράγματος ἥμαρτεν.

1145. Ἰοῦ, ἰοῦ: Ἀναμιμνησκόμενος τῆς ἀπὸ Δωδώνης μαντείας, ταῦτα λέγει, ἀριθμήσας τὸν χρόνον· ἄρτι ἔγνων, ὅτι εἰς ἔσχατον ἦλθον συμφορᾶς.

1149. Σπέρμα σῶν ὁμαιμόνων] Ἀντὶ τοῦ, [z] τοὺς σοὺς ἀδελφούς.

1151. Μάτην ἄκοιτιν] [a] Τὴν Ἀλκμήνην· τοῦτο δὲ φησὶν, ὡς ἀνάξια πάσχων.

*Ibid.* Τελευταίαν ἐμοῦ φήμην] [b] Τὴν περὶ τῆς τελευτῆς μου φήμην.

1153. Ἐπακτίᾳ] Παραθαλαττίᾳ.

*Ibid.* [c] Ἕδραν] Διατριβήν.

1159. Ἐξήκεις δ' ἵνα] Εἰς ἡλικίαν ἥκεις, [d] ἵνα φανῇς ἄξια πράττων παῖς ἐμὸς εἶναι.

1161. Ἐμοὶ γὰρ ἦν [e] πρόσφαντον: [f] Προσμεμαντευμένον, προειρημένον ὑπὸ τοῦ Διός. [g] Οὕτω δὲ διὰ τὸ σ ἐν τῇ τραγικῇ λέξει.

1162. Πρὸς τῶν πνεόντων: Τῶν ζώντων· πνεῦμα γὰρ ἡ ψυχή·

ψυχὴν [h] ἐκάπυσσεν.

καὶ

ὅσα γαῖαν ἐπιπνείει τε καὶ ἕρπει.

Ἔνθεν γὰρ ἡ ψυχή.

1165. Οὕτω ζῶντά μ' ἔκτεινεν θανών: Δυνάμει γὰρ αὐτὸς αὐτὸν ἀνεῖλεν.

1166. Φανῶ δ' ἐγώ: Ἐρῶ σοι ἄλλην μαντείαν νεωτέραν, συμφωνοῦσαν τῇ προτέρᾳ.

[x] ἀντὶ τοῦ ὑπ' R. Br.

[y] Gl. om. R.

[z] πάντας τοὺς Br. R.

[a] τοῦτο φησὶν ὡς ἀνάξια τοῦ Διὸς πάσχων. Br.

[b] ἵνα τὴν et in fine φήμην μάθητε R. Br.

[c] ἕδρα] διατριβὴ R. Br.

[d] ἵνα φανῇς ὁποῖος] ἵνα φανῇς, ἄξια R. Br.

[e] Ed. Rom. πρόσφατον, quod in textu quidem habet ms. P. E.

[f] προμεμαντευμένον R. Br.

[g] οὕτω—λέξει h. l. om. Br. qui addit post Σέλλων v. 1169.

[h] ἐκάπυσε L. R. Locus est Il. χ'. 467. Alter locus Il. ρ'. 447. Mox ἔνθεν—ἀνεῖλεν om. R. Br.

1169. Σέλλων εἰσελθών: Ἀκούσας ἔγραψα· ἔθος γὰρ [i] τοὺς χρησμὸν δεχομένους παραχρῆμα γράφειν, ἵνα μὴ ἐπιλάθωνται. Ἔνιοι δὲ χωρὶς τοῦ σ̄ γράφουσιν, Ἑλλοὺς ἀποδεχόμενοι, καὶ Ἑλλοπίαν τὴν Δωδώνην νομίζουσιν εἶναι· τὴν γὰρ χώραν οὕτως Ἡσίοδος ὀνομάζει ἐν Ἠοίαις, λέγων οὕτως·

Ἔστι τις Ἑλλοπίη πολυλήϊος ἠδ' εὐλείμων,
ἀφνειὴ μήλοισι καὶ εἰλιπόδεσσι βόεσσιν.
Ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες, πολυβοῦται,
πολλοὶ, ἀπειρέσιοι, φῦλα θνητῶν ἀνθρώπων·
ἔνθα [[k] τε] Δωδώνη τις ἐπ' ἐσχατιῇ πεπόλισται.
[l] Τὴν δὲ Ζεὺς ἐφίλησε, καὶ ὃν χρηστήριον εἶναι,
τίμιον ἀνθρώποις· ναῖον δ' ἐν πυθμένι φηγοῦ·
ἔνθεν ἐπιχθόνιοι [ll] μαντήϊα πάντα φέρονται,
ὃς δὴ κεῖθι μολὼν θεὸν ἄμβροτον ἐξερεείνῃ,
δῶρα φέρων [m] ἔλθῃ σὺν οἰωνοῖς ἀγαθοῖσιν.

ἐντεῦθεν [n] δὲ λέγουσιν εἶναι Ἑλλοπιεῖς, καὶ τοὺς ἐν Εὐβοίᾳ οἰκήσαντας.

1170. Καὶ πολυγλώσσου δρυός: Ἤτοι πολλὰ μαντευομένης, καὶ διὰ τοῦτο πολλὰ φθεγγομένης. Ἢ τῆς διαφόροις διαλέκτοις χρησμῳδούσης, [o] πρὸς τὴν ἑκάστου τῶν μαντευομένων γλῶσσαν.

1171. Χρόνῳ τῷ ζῶντι: Τῷ [p] ἐφεστῶτι, ὁ γὰρ παρελθὼν οἱονεὶ διέφθαρται· ὁ δὲ μέλλων πάλιν ἄδηλος.

1176. Ταῦτ' οὖν ἐπειδὴ λαμπρά: Φανερὰ, σαφῆ, πρόδηλα. Ἐπεὶ οὖν, φησὶν, ὁ χρησμὸς ἀπέβη, δεῖ σε γενέσθαι σύμμαχον ἐμοί.

1178. Καὶ μὴ 'πιμεῖναι: Καὶ μὴ, ἀπειθήσας μοι, παροξυνεῖς με εἰς [q] λοιδορίας κατὰ σοῦ. [Εἰς τὸ αὐτό.] Ἀπειθοῦντά μοι.

1179. Ἀλλ' αὐτὸν εἰκάθοντα: Ἀπὸ κοινοῦ τὸ [r] δεῖ. Δεῖ δέ σε εἴκοντα τῇ ἐμῇ προστάξει, πράττειν ὃ βούλομαι· τὸ γὰρ τοῖς γονεῦσι πείθεσθαι, νόμος ἐστὶ κάλλιστος καὶ εὐκλεὴς παρὰ πᾶσιν.

1181. Ταρβῶ μὲν εἰς λόγου: Εὐλαβοῦμαι μὲν εἰς τοιαύτην ὁμιλίαν ἐλθὼν, μὴ οὐχ αἱρετά μοι προτείνῃς· πράξω δὲ ὅμως, κἂν δεινὰ ᾖ.

[i] τοῖς—δεχομένοις Br.
[k] τε om. L. R.
[l] τὴν δὴ Br. τὴν δὲ R. Tum φίλησε L.
[ll] μαντεύματα R. Receptam, ut videtur, habet L. cum Tricl.
[m] ἔλθησι R. θ' ἵκοιτο Br.
[n] δὲ om. R. Br.
[o] καὶ τὴν R.
[p] Sic Tricl. ὑφεστῶτι L. R. ἐνεστῶτι καὶ παρόντι νῦν Br. qui mox διέφθαρται καὶ τέθνηκεν. Mox πάλιν ex L.
[q] λοιδορίαν R. Br.
[r] δεῖ semel L. R. In fine παρὰ πᾶσιν om. R. Br.

1181. Εἰς λόγου στάσιν] Περιφραστικῶς, εἰς λόγους.

1184. Ἐπιστρέφεις] Ζητεῖς, ἐπάγεις μοι ἀκριβῆ πίστιν.

1185. Ἀπιστήσῃς ἐμοὶ] Γρ. [s] προστήσῃς ἐμοὶ, ἐναντιωθήσῃ, ἀπὸ μεταφορᾶς τῶν ἐν τῇ βρώσει ψωμῶν προσισταμένων.

1188. Ἦ μὴν τὶ δράσειν] Ἐπὶ τὸ τί δρᾶσαι.

1190. Ἐπώμοτον] Ὅρκιον.

1191. Εἰ δ' ἐκτὸς ἔλθοις] Εἰ παραβαίης τοὺς ὅρκους.

1192. Οὐ μὴ λάβω] [t] Οὐ χρεία βλαβῆναί με· ποιήσω γὰρ ἃ προστάξεις μοι· ἢ ποιήσω δὲ, εἰ βούλει σύ.

1193. Ὕψιστον πάγον: [u] Ὑψηλὸν ὄρος ἐν Εὐβοίᾳ ἡ Οἴτη· πᾶν δὲ ὄρος, ὄρος τοῦ Διὸς ὀνομάζεται, ἐπεὶ, φησὶν, ὑψίστῳ ὄντι τῷ θεῷ ἐν ὕψει τὰς θυσίας ποιεῖσθαι.

1196. Ἐξαρέντα σε: Ταῖς σαυτοῦ χερσὶ μεθ' ὧν θέλεις φίλων· οὐ γὰρ μόνος ἐδύνατο φέρειν αὐτόν.

1199. Ἄγριον ἔλαιον] [x] Ἄκαρπον ἀγριέλαιον.

1203. Εἰ δὲ μή: Εἰ δὲ μὴ ταῦτα ποιήσεις, διατελέσω ταῖς κατάραις καὶ καθ' Ἅιδου βαρῶν σε.

*Ibid.* Ἀραῖος] Ἐπάρατος, τιμωρὸς δαίμων.

1205. Οἷά μ' εἴργασαι] Οἷα θέλεις ἐργάσασθαι κατ' ἐμοῦ, πατροφόντην γενέσθαι παρακελευόμενος.

1206. Ὁποῖα δραστέ' ἐστίν] Τοιαῦτά σοι παρακελεύομαι, οἷα δρᾶσαι ὀφείλεις· εὐεργετήσεις [y] με γάρ.

*Ibid.* Πατρὸς ἄλλου] [z] Ξένος, ἀλλ' οὐκ ἐμὸς ὢν υἱός.

1208. Ἐκκαλῇ] [a] Ἀναγκάζεις.

1209. Παλαμναῖον] [a] Ἀλάστορα, μιαίφονον, αὐτόχειρα.

1213. Ἀλλ' εἰ φοβῇ] Ἀλλ' εἰ παραιτῇ τὸ ἀνελεῖν με, τὰ ἄλλα ποίησον, τουτέστι, τὴν ὕλην συνάγαγε.

1215. Ἦ καὶ πυρᾶς] Οὕτως οὖν πληρώσεις τὴν πυρὰν τῆς ὕλης;

1216. Ὅσον γ' ἂν αὐτός] Πάντα, φησὶ, ποιήσω, [b] πλὴν τοῦ σώματος ἅψασθαι.

[s] προστήσεις R. Br. Seq. gl. om. R. Br.

[t] Οὐ χρὴ λαβεῖν με, πημονὰς δηλονότι R. Br.

[u] ὑψηλὸν ὄρος τῆς Οἴτης R. ὄρος Εὐβοίας ὑψηλὸν ἡ Οἴτη. πᾶν δὲ ὄρος, τοῦ Δ. ὀν. ὄρος, ἐπεὶ, φασὶν, ὑψίστῳ ὄ. τ. θ. ἐν ὕ. δεῖ τ. θ. π. Br.

[x] Gl. om. R. Br.

[y] γάρ με R. Br.

[z] ξένου τινος Br.

[a] Gl. om. R. Br.

[b] πλὴν τοῦ ἅψασθαι τοῦ σώματός σου Br.

1218. Ἀλλ' ἀρκέσει καὶ ταῦτα] Καὶ ταῦτα μὲν ἀρκέσει· βραχὺ δὲ τούτοις πρόσθες· οἷον, ταῖς ἄλλαις εὐεργεσίαις καὶ ἑτέραν βραχεῖαν χάριν πρόσθες, γήμας τὴν Ἰόλην.

1223. Ἐπισκήπτω] Ἐντέλλομαί σοι, παρεγγυῶ.

1226. Πρόσθου δάμαρτα] Γυναῖκα ποίησον.

1227. Μηδ' ἄλλος ἀνδρῶν] Ἄτοπον γάρ, φησὶν, [c] τὴν ἅπαξ ἀνακλιθεῖσάν μοι, [d] ἑτέρῳ ξένῳ παρακαθευδῆσαι.

1229. Κήδευσον] Οἰκείωσαι.

1230. Τὸ γάρ τοι μεγάλα] [e] Ἐὰν γὰρ ἐν τοῖς μείζοσι θέμενος.

1232. Οἴμοι τὸ μὲν νοσοῦντι] Τὸ θυμοῦσθαι, εἰ μὴ πεισθείην αὐτῷ, καὶ τὸ πείθεσθαι ὧδε φρονοῦντι, δυσχερές.

1234. Οὕτω λαλεῖς, ὡς μηδὲν πράξων ὧν λέγω.

1235. Τίς γάρ ποθ' ἥ μοι μητρί: Τὸ τίς ἐφ' ἑαυτοῦ ἔθηκεν, ἀντὶ τοῦ, πῶς ἂν ἐγὼ ἑλοίμην γῆμαι αὐτὴν, τὴν τῶν κακῶν αἰτίαν [f] οὖσαν.

1237. Τίς ταῦτ' ἂν ὅστις μὴ 'ξ ἀλαστόρων: Τίς ἂν ταῦτα πράττειν ἕλοιτο, ἐκτὸς ὢν μανίας καὶ [g] θεηλασίας; ἀντὶ τοῦ, οὐκ ἂν ἑλοίμην, εἰ μὴ μαινοίμην.

1240. Οὐ νέμειν ἐμοὶ φθίνοντι μοῖραν] [h] Ἀντὶ τοῦ, μέρος εὐποιΐας προσνέμειν ἐμοί.

1241. Φθίνοντι] [i] Φθειρομένῳ.

1243. Ὡς νοσεῖς φράσεις: Ὡς φανερὸς εἶ νοσῶν χαλεπῶς, οὕτω καὶ χαλεπῶς διαλεγόμενος.

1244. Σὺ γάρ μ' ἀπευνασθέντος: [k] Σὺ, φησὶν, ἀναταράττεις ἀπὸ τοῦ καταπραϋνθέντος κακοῦ, μὴ πειθόμενος.

1245. Δειλαῖος ὡς εἰς πολλά: Ἄτοπον γὰρ [l] καὶ ἐναντιοῦσθαι καὶ πείθεσθαι, δι' ὃ ἀπορῶ.

1246. Δικαιοῖς] Δίκαιον νομίζεις.

1247. Ἀλλ' ἐκδιδαχθῶ] Τοῦτο κατ' ἐρώτησιν.

1249. Πράσσειν ἄνωγας: Δίκαιόν σοι τοῦτο φαίνεται, τὸ συνα-

[c] τὴν om. R. Br. Mox συνανακλιθεῖσαν Br.

[d] ἀνδρὶ ξένῳ R. Br.

[e] Gl. om. R. Br.

[f] οὖσαν σοί τε καὶ τῇ ἐμῇ μητρί. Br.

[g] ἠλασίας L.

[h] ἀντὶ τοῦ, μέρος εὐποιΐας οὐ νέμει μοι φθειρομένῳ R. ἀντὶ τοῦ, φθειρομένῳ μοι εὐποιΐας μέρος οὐ προσνέμοι ἄν. Br.

[i] Gl. om. R. Br.

[k] σύ με R. Br. Mox πραϋνθέντος Br.

[l] τὸ ἐναντιοῦσθαι Br. et mox τὸ πείθεσθαι.

*φθῆναί* [m] *με τῇ* Ἰόλῃ; *πρὸς ὅν,* [n] *ὅτι οὐκ ἄδικον τοῦτο ἡγοῦμαι, ἀλλ' εὐσεβὲς, τὸ πειθαρχεῖν τῷ πατρί.*

1252. Θεοῖσι δεικνὺς ἔργον: *Διαμαρτυράμενος τοὺς θεοὺς, γαμήσω τὴν* Ἰόλην.

1254. Καλῶς τελευτᾷς: Ἀντὶ τοῦ, *καλῶς τὸν λόγον ἐπεραίωσας.*

1255. Ὡς πρὶν ἐμπεσεῖν: Ὡς *πρὶν εἰς πυράν με θῇς, πρὶν ταραχθῆναι ὑπὸ τῆς νόσου.*

*Ibid.* Ἄγ' ἐγκονεῖτε] Ἐνεργεῖτε, *καὶ ἀνακουφίσατε.*

1257. Παῦλά τοι κακῶν: Μόνη *γὰρ ἀνάπαυσις, τὸ παραθεῖναί με τῷ πυρὶ, καὶ τοιαύτῃ τελευτῇ χρήσασθαι.*

1261. Ἄγε νῦν πρὶν τήνδ' ἀνακινῆσαι: Ἑαυτὸν *παραθαρρύνει, ὥστε μὴ βοᾶν κομιζόμενον εἰς τὴν* [o] *πυράν.* Ἄγε *οὖν, φησὶν, ὦ σκληρὰ ψυχὴ, ὡς ἀπὸ χαλυβινοῦ σιδήρου πεποιημένη, πρὶν τήνδε ἀνακινῆσαι νόσον, ἐνδοῦσα* [p] *τὸ σεαυτοῦ στόμα ἐμφραγῆναι, ὡσανεὶ στόμα φρέατος λίθῳ κεκολλημένου, πρὸς τὸ μηκέτι ὕδωρ* [q] *ἀνιμᾶσθαι.* Λείπει [r] *δὲ τὸ ως, ὡς ἀπὸ χάλυβος γενομένη.*

1262. Χάλυβος λιθοκόλλητον στόμιον παρέχουσα] [s] Λίθινον *καὶ σκληρὸν χαλινὸν σαυτῇ ἐπιβαλοῦσα.*

*Ibid.* Ἀνάπαυε βοήν: Ἀνάπαυσον *τὴν βοὴν, ὡς* [t] *ἐπίχαρτον ἅμα καὶ ἀκούσιον πρᾶγμα χωροῦσα, τὴν πυράν· πῶς δὲ ἐπίχαρτον καὶ ἀκούσιον; ἐπίχαρτον μὲν, ὅτι ἀπαλλάττεται τῆς νόσου· ἀκούσιον δὲ, ὅτι λυπεῖ* [u] *πάντα ἡ ἀποστέρησις τοῦ βίου· παρὰ τὸ,*

*ἑκὼν ἀέκοντί γε θυμῷ.*

1266. Αἴρετ' ὀπαδοί: Οὐκ *οἰκέταις, ἀλλὰ τοῖς ἀκολουθοῦσιν αὐτῷ ἐξ* Εὐβοίας [x] *φησί.*

1267. Συγγνωμοσύνην: Ἀντὶ τοῦ, *συγγνώμην, ὅτι κατὰ γνώμην πατρῴαν τοῦτο ποιῶ.*

1270. Οἳ φύσαντες καὶ κλῃζόμενοι: [y] Εἰς *τὸν* Δία *ἡ ἀπότασις τοῦ λόγου· ἐκείνους, φησὶν, ἀγνώμονας ἡγεῖσθε, οἵ τινες γεννήσαντες αὐτὸν, περιορῶσι τοιαῦτα πάσχοντα.*

[m] *με* om. Br.

[n] Br. omisso ὅτι habet, *οὐκ ἄδικον φησὶν ὁ Ἡρακλῆς, τοῦτο κ. τ. λ.*

[o] *πυρὰν, καὶ φησίν· ἄγε, ὦ σκληρὰ ψυχὴ χαλύβος, ὡς* Br. Mox *χαλυβικοῦ* R. Br.

[p] *τὸ στόμα τὸ σεαυτῆς* Br.

[q] *ἀνιμᾶσθαι, ἀνέπαυε τὴν βοήν* Br.

[r] *δὴ τὸ ὡς, ἵν' ᾖ, ὡς* R. *ἵν' ᾖ* item Br.

[s] *ἀντὶ τοῦ λίθινον* R. Br.

[t] *εἰς ἐπίχαρτον* R. Br.

[u] *πάντοτε* Br. Locus mox citatus est Il. δ'. 43.

[x] *φησὶ* om. R. Br.

[y] *πρὸς* R. Br.

1272. Ἐφορᾷ] Περιττὴ ἡ πρόθεσις.

1274. Αἰσχρὰ δ' ἐκείνοις] [z] Τοῖς γεννήσασιν ἐπονείδιστα.

1276. Τῷ τήνδ' ἄτην ὑπέχοντι] [z] Τῷ Ἡρακλεῖ.

1277. Λείπου μηδὲ σὺ παρθένε: [a] Ἔοικεν Ὕλλος ἀποστραφεὶς ταῖς ἀπὸ τοῦ Χοροῦ λέγειν [b] τοῦ μὴ ἀπολιμπάνεσθαι τῶν οἴκων, ἕως ἂν [c] ἐπανέλθωσιν ἀπὸ τῆς πυρᾶς. [d] Τινὲς δὲ γράφουσιν ἐπ' οἴκων, τουτέστι, μηδὲ ὑμεῖς περιλείπεσθε ἐνταῦθα, ἀλλ' ἀκολουθήσατε.

1279. Καινοπαγῆ] Νεοκατασκεύαστα.

1280. Κοὐδὲν τούτων ὅτι μὴ Ζεύς] Λείπει [e] τὸ ἐποίησεν. [Εἰς τὸ αὐτό.] Λείπει τὸ ἐποίησεν. Δία δὲ τὴν εἱμαρμένην, ἥ τις [g] καὶ ἀγαθῶν ἐστιν αἰτία. [Εἰς τὸ αὐτό.] Οὐδὲν τούτων οὐδεὶς ἔπραξεν, εἰ μὴ μόνος ὁ Ζεύς.

[z] Gl. om. R.

[a] τοῦτο λέγει ὁ χορὸς ἢ ὁ Ὕλλος· ἔοικε γὰρ ὁ Ὕλλος R. Br.

[b] τοῦ om. Br.

[c] ἐπέλθωσιν L. R. ἀπέλθωσιν Br.

[d] ἀπ' οἴκων. γράφεται ἐπ' οἴκων R. Br.

[e] τὸ om. R. Br. ubi reliqua paullo aliter collocata sunt.

[f] διὰ δὲ τὴν L. διὰ τὴν R. Br.

[g] κακῶν καὶ ἀγαθῶν R. Br.

# ΕΙΣ ΤΟΝ ΑΙΑΝΤΑ.

1. Πάρεστιν Ὀδυσσεὺς ἐπὶ τὴν σκηνὴν ἀγωνιῶν καὶ πολυπραγμονῶν, μή τι ἀπὸ ἐχθροῦ πάθῃ· πάντα δὲ τὰ τῆς ὑποθέσεως συνεκτικῶς ἐδήλωσεν ἐν τῷ προοιμίῳ, πρὸς τίνα ὁ λόγος, καὶ ποῦ ἡ σκηνὴ, καὶ τί πράττει [a] Ὀδυσσεύς· ἐν δὲ τῷ πεῖράν τινα, ἤδη ἴχνος τι κατέθετο τῆς ὑποθέσεως, ὡς [b] περὶ ἐχθρὸν ἥκει· δεῖ δὲ τὰ τῆς ὑποθέσεως συνεκτικὰ εἶναι ἐν ἀρχῇ. Ἀεὶ ὁρῶ σε, ὦ Ὀδυσσεῦ, πείρᾳ καὶ δόλῳ μετιόντα τοὺς ἐχθρούς· πεῖρα [c] γὰρ ἡ βλάβη, ὡς καὶ ἐν Δανάῃ·

> Οὐκ οἶδα τὴν σὴν πεῖραν· ἓν δ' ἐπίσταμαι,
> τοῦ παιδὸς ὄντος τοῦδ', ἐγὼ διόλλυμαι.

Τὸ δὲ ἀεὶ εἶπεν, ἀναφέρουσα εἰς ἐκεῖνο, ὅτι καὶ μετὰ Διομήδους κατάσκοπος γενόμενος ἐπὶ τοὺς Τρῶας, οὐκ ἔλαθεν αὐτὴν, ὡς αὐτὸς μαρτυρῶν φησί·

> [d] Κλῦθί μοι, αἰγιόχοιο Διὸς τέκος, ἥ τε μοι αἰεὶ
> ἐν πάντεσσι πόνοισι παρίστασαι, οὐδέ σε λήθω.

Δυσχεραίνει δὲ ἡ Ἀθηνᾶ τῷ Αἴαντι, ὅτι ἀπώσατο τὴν συμμαχίαν αὐτῆς. [Εἰς τὸ αὐτό.] Ἀεὶ ὁρῶ σε, ὦ Ὀδυσσεῦ, τὴν παρὰ τῶν ἐχθρῶν σοι γινομένην βλάβην ζητοῦντα προϋφαρπάσαι· οἷον, ἐπιβουλεύει σοί τις, σπουδάζεις τὴν ἐπιβουλὴν τὴν κατὰ σοῦ γινομένην αὐτῷ τῷ ἐπιβουλεύσαντι βλαβερὰν γενέσθαι· ἐκ μεταφορᾶς τῶν κυνηγῶν, οἳ τὰ μικρὰ θηρία φονεύουσι, προφυλαττόμενοι τὴν ἐξ αὐτῶν ἐσομένην βλάβην. Πεῖρα δὲ Ἀττικῶς, δόλος καὶ τέχνη· ὅθεν καὶ πειραταὶ, οἱ κατὰ θάλασσαν κακοῦργοι.

*Ibid.* Λαρτίου] Κτητικὸν ἀντὶ κυρίου.

2. [e] Πεῖραν] Δόλον.

*Ibid.* Ἐχθρῶν] [e] Λείπει ἡ κατά.

[a] ὁ Ὀδυσσεὺς R. Br.

[b] π ms. An ἐπὶ? P. E. παρὰ R. Br.

[c] δὲ R. Br.

[d] Il. κ΄. 278.

[e] Deest haec gl. hac sede R. Br.

2. Θηρώμενον] [f] Ἀνιχνεύοντα. [Εἰς τὸ αὐτό.] Τὸ θηρώμενον ἐπήνεγκεν καὶ τὰ ἄλλα μεταφορικῶς, καὶ τὸ νεοχάρακτα εὐφυῶς· ὁπόταν γὰρ νεωστὶ αἱ ἀποχαράξεις τῶν ζώων γένωνται, μᾶλλον ἐπακολουθοῦσιν οἱ κυνηγέται, πρὶν ὑπὸ ἀνέμου ἀφανισθῇ ἡ ὀδμή.

*Ibid.* Μετρούμενον] ἀριθμοῦντα, ζητοῦντα. [Εἰς τὸ αὐτό.] Ἀκολουθοῦντα τὰ ἴχνη τὰ ἐκείνου νεοχάρακτα, νεωστὶ κεχαραγμένα. Προσοχὴν δὲ ἐργάζεται τῷ ἀκροατῇ περὶ τῶν δηλωθησομένων.

7. Εὖ δέ σ' ἐκφέρει: Ἐπάγεταί σε ἡ βάδισις [g] Αἴαντος, δίκην κυνὸς εὐοσφρήτου, ἀπὸ τοῦ ἴχνους ζητοῦντα, εἰ ἔνδον γέγονεν ὁ Αἴας· προέλκονται γὰρ τοὺς κυνηγέτας αἱ κύνες ἐπὶ τὰ ἐπαγόμενα, παρ' ὃ καὶ ἐπακτῆρας [h] ἔνιοι θέλουσιν αὐτοὺς καλεῖσθαι, ὡς ἐπαγομένους ὑπὸ τῶν κυνῶν· Ὅμηρος·

[i] πρὸ δ' ἄρ' αὐτῶν
ἴχνη ἐρευνῶντες κύνες ἤϊσαν.

*Ibid.* Ἐκφέρει] [k] Ἔξω τῆς σκηνῆς τοῦ Αἴαντος.

11. Καί σ' οὐδὲν εἴσω] Οὐκ ἀναγκαῖον τὸ πολυπραγμονεῖν ἔτι, εἰ ἔνδον [l] ἐστὶν Αἴας· ἔνδον γάρ· ἀλλὰ [m] λέγειν διὰ τί τὴν σπουδὴν ταύτην ἔθου, ἵνα παρ' ἐμοῦ μάθῃς τὰ ἀγνοούμενά σοι. [Εἰς τὸ αὐτό.] Ἀντὶ τοῦ, οὐκ ἀναγκαῖον ἐστίν.

14. Ὦ φθέγμ' Ἀθάνας] Καὶ τοῦτο ἄριστα πεποίηται· φθέγμα γὰρ εἶπεν, ὡς μὴ θεασάμενος αὐτήν· δῆλον γάρ, ὡς οὐκ εἶδεν αὐτὴν ἐκ τοῦ, κἂν ἄποπτος ᾖς ὅμως, τουτέστιν ἀόρατος. Τῆς δὲ φωνῆς μόνης αἰσθάνεται, ὡς ἐθάδος αὐτῷ οὔσης· [n] ἔστι μέντοι ἐπὶ τῆς σκηνῆς ἡ Ἀθηνᾶ· δεῖ γὰρ τοῦτο χαρίζεσθαι τῷ θεατῇ· προθεραπεύει δὲ τὴν θεὸν ὁ Ὀδυσσεύς, καὶ οὕτω λέγει [o] τὰ Αἴαντος.

15. Ἄποπτος] [p] Ἀόρατος.

*Ibid.* Φώνημα: [p] Ἀντὶ τοῦ φωνῆς.

*Ibid.* Ξυναρπάζω] [q] Ὀξέως συνίημι καὶ ἀντιλαμβάνομαι.

*Ibid.* Φρενί: [p] Ἀντὶ τοῦ, ἀπὸ τῆς φρενός.

[f] ἀντὶ τοῦ ἀνιχ. R. Br. qui et in seqq. leviter variant.
[g] τοῦ Αἴαντος R. Br.
[h] θέλουσιν ἔνιοι R. Br.
[i] Od. τ'. 435.
[k] Haec in princ. superioris gl. R. Br.
[l] ὁ Αἴας R. Br.
[m] λέγε R. Br.
[n] ἔστη R. Br.
[o] τὸν Αἴαντα, ut videtur, L.
[p] Desunt R. Br.
[q] Haec alia sede exhibent R. Br.

17. Κώδωνος] Ἡ κώδων θηλυκῶς, Ἀττικῶς. [Εἰς τὸ αὐτό.] Κώδων καλεῖται τὸ πλατὺ τῆς σάλπιγγος· ἀπὸ μέρους δὲ τὴν σάλπιγγα φησί. Πολλὰ δὲ εἴδη σαλπίγγων· εἰσὶ γὰρ Λιβυστικαὶ σάλπιγγες, εἰσὶν [r] Αἰγύπτιαι, εἰσὶ Τυρσηνικαί· πρῶτος δὲ Ἀριχώνδας συμμαχῶν τοῖς Ἡρακλείδαις ἤγαγεν εἰς Ἕλληνας τὴν Τυρσηνικὴν σάλπιγγα. [s] Ὁ δὲ νοῦς· καὶ σοῦ τὸ φώνημα ἀκούω ἐξαιρέτως, ὡς Τυρσηνικῆς σάλπιγγος ὀξυφωνοτάτης οὔσης.

20. Σακεσφόρῳ] [t] Οὐχ ἁπλῶς ὁπλο(φόρῳ,) ἀλλὰ κατ' ἐξοχήν. (Ὅμηρος.)

[u] Αἴας δ' ἐγγύθεν ἦλθε, φέρων σάκος, ἠΰτε πύργον.

Οἰκεῖον δὲ . . . . εἰς ὀνο . . .

23. Τρανές: Σαφές. Καλῶς δὲ τοῦτο ἐποίησεν, (ἵνα ἐπικρεμὴς ᾖ) ἔτι ἡ ὑπόθεσις, καὶ τὸ ἄπιστον εἰς ἀμφίγνοιαν (ἄγηται·) δι' ὃ [w] θελόντης τοῦτον ὑπέστην τὸν κίνδυνον, (ἵνα γνῶσι) τἀληθές, πάντων τὴν αἰτίαν τοῦ γεγον(ότος εἰς αὐ)τὸν ἀναγόντων.

*Ibid.* Τρανὲς] [x] Ἀληθές.

*Ibid.* Ἀλώμεθα] Τῷ νῷ [y] ἀλώμεθα.

26. Λείας ἁπάσας: (Τὰ ποίμνια,) τὰ βοσκήματα, λείας φησίν· ἔνθεν καὶ ληστὴς (κατὰ τὸ κύριον·) Ὅμηρος·

[z] Ληΐδα δ' ἐκ πεδίου συνελάσσαμεν.

Τὸ (δὲ κατηνα)ρισμένας, ἄκυρον. Τὸ γὰρ σκυλεύειν, ἐναρίζειν, (ὅτι) τὰ ἔναρα, σκῦλα, παρὰ τὸ ἀρηρέναι, καὶ ἐντὸς αὐτῶν (εἶναι ἡμᾶς·) καὶ τὸ παρ' Ὁμήρῳ τοιοῦτόν ἐστιν·

[a] Ἦ τοι βέλτερόν ἐστι κατ' (οὔρεα) θῆρας ἐναίρειν.

Πῶς γὰρ οἷόν τε ἐστὶ σκυλεύειν τοὺς λέοντας, εἰ μὴ εἴη καὶ ἐπὶ [b] τῶν ἀλόγων ζῴων τὸ σκυλεύειν. [c] Καλλίμαχος ἐπὶ τῆς λεοντείας δορᾶς·

τὸ δὲ σκύλον ἀνδρὶ καλύπτρη
γινόμενον νιφετοῦ καὶ βελέων ἔρυμα.

27. Ἐπιστάταις: Τοῖς ποιμέσι· καλῶς δὲ τοῦτο, ἵνα μὴ παρα-

[r] Αἰγύπτιοι R. Br. Mox Ἀρχώνδας Br.

[s] Verba ὁ δὲ νοῦς et sequentia ab editore Romano addita videntur. P. E.

[t] σακεσφόρος δὲ ὁ Αἴας οὐχ ἁπλῶς ἀλλὰ R. Br.

[u] Il. η'. 219. Mox οἰκεῖον δὲ τοῦτο τοῦ Αἴαντος R. Br. Memineris autem verba lunulis ( ) inclusa e cod. ms. evanuisse.

[w] ἐθελόντης R. Br

[x] Gl. alia sede R. Br.

[y] πλανώμεθα R. Br.

[z] Il. λ'. 676. ληΐδα τ' R. qui mox συνηλάσαμεν.

[a] Il. φ'. 485.

[b] τῶν om. R. Br.

[c] Fr. 142. ubi Br. σκύλος.

γένοιτό τις ἀπαγγέλλων τὸ σαφές. Πόθεν οὖν αὕτη ἡ ὑπόνοια; ὅτι εἶδέν τις αὐτὸν ἐν τῷ πεδίῳ πηδῶντα μετὰ τοῦ ξίφους [c] νεαροῦ ἀπὸ τοῦ αἵματος.

32. Καὶ τὰ μὲν σημαίνομαι: Οἷον, σημεῖα ἐμαυτῷ τινα συντίθημι ἀπὸ τοῦ ἴχνους, τὰ δὲ ἀπορῶ· τοιοῦτον γὰρ συμβαίνει ἐπὶ τοὺς ἰχνευτὰς, ἐπιταραττομένων τῶν ἰχνῶν· διὰ δὲ τὴν μανίαν δυσίχνευτος καὶ ἐπιτεταραγμένη ἡ βάσις γέγονε τοῦ Αἴαντος. [Εἰς τὸ αὐτό.] [d] Καλῶς Ὀδυσσεὺς ἀναμένει τὸ ἀκριβὲς γνῶναι, ἵνα μὴ δοκοίη κατ' ἐχθροῦ προπετές τι πράσσειν.

*Ibid.* Σημαίνομαι] (Σημ)ατίζομαι, δι(ὰ σημεί)ων γινώσκω.

33. Κοὐκ ἔχω μαθεῖν ο ου] Οὐκ ἔχω ὅπως μάθω ποῦ ἐστιν.

34. Καιρὸν δ' ἐφήκεις: [e] (Κατὰ) καιρὸν ἥκεις. Εὐφυῶς δὲ ἄρχεται ὑποθέσεως ὁ ποιητὴς, ὥστε τρανῶσαι τὸ πᾶν διὰ τῆς Ἀθηνᾶς· θεραπεύει δὲ [f] ὁ Ὀδυσσεὺς τὴν Ἀθηνᾶν, ἵνα καὶ ἐν τοῖς ἑξῆς ἔξῃ αὐτὴν εὐμενῆ.

36. Ἔγνων, Ὀδυσσεῦ] Ταῦτα πρὸς τὰ ἐξ ἀρχῆς, ἵνα μὴ δόξῃ ἀγνοεῖν ἡ θεὰ τὸ πρᾶγμα.

38. Ἐν τοῖς ἀμοιβαίοις κατὰ βραχὺ δηλοῦται ἡ ὑπόθεσις· πυνθάνεται [g] πρῶτον, εἰ ἄρα πρὸς καιρὸν πονῶ· εἰ γὰρ αὐτός ἐστιν ὁ τὸν φόνον δράσας, πρὸς καιρὸν ἂν εἴη πονῶν ὁ Ὀδυσσεύς.

39. [h] Τὸ ὡς ἀντὶ τοῦ ἀληθῶς.

40. Καὶ πρὸς τί δυσλόγιστον: Ἐπύθετο πρῶτον, εἰ αὐτός [i] ἐστιν ὁ δράσας· εἶτα καὶ τὴν αἰτίαν πυνθάνεται· τὸ δὲ δυσλόγιστον ὅμοιον [k] τῷ "πρᾶγος ἄσκοπον." Ἀγνοεῖ γὰρ ἔτι τὴν μανίαν.

41. Χόλῳ βαρυνθείς: Ὁ μὲν Ὀδυσσεὺς πυνθάνεται, πρὸς τί αὐτῷ χρήσιμον· ἡ δὲ τὴν αἰτίαν ἐπήγαγεν, ὑφ' ἧς κινηθεὶς εἰς χόλον ἤχθη· τοῦτο γάρ ἐστι τὸ λεῖπον τῆς ὑποθέσεως. Ἡμεῖς δὲ ὡς [l] προεπιστάμενοι τὰ πράγματα ἀμβλύτερον κατανοοῦμεν. [Εἰς τὸ αὐτό.] [m] Ἤδη τὴν μανίαν αὐτοῦ σημαίνει, ἔνθεν αὐτῷ ἡ πλάνη γεγένηται.

44. Ἐρωτᾷ, πῶς μόνος ὢν πρὸς πλῆθος ἐδύνατο μάχεσθαι.

[c] νεωστὶ ῥαινομένου ὑπὸ R. Br.

[d] καὶ ὅλως R. Br. qui mox πράττειν.

[e] κατὰ κ. ἧ. et mox δὲ om. R. Br. qui statim τῆς ὑποθέσεως.

[f] ὁ om. R. Br.

[g] δὲ πρῶτον R. Br. qui mox πονεῖ.

[h] τὸ δὲ (ὡς Br.) ἐν τῷ ὡς ἔστιν ἀνδρὸς, ἀντὶ τοῦ ὄντως καὶ ἀληθῶς κεῖται. R. Br.

[i] ἐστιν om. R. Br.

[k] τὸ L. Vid. v. 21.

[l] οὐ προεπ. Br.

[m] Supra post ὑποθέσεως haec collocant R. Br.

45. Κἂν ἐξεπράξατο: [n] Μὴ λέγε βούλευμα, φησίν· οὐ γὰρ ἦν βούλευμα ἀλλὰ πρᾶγμα, εἰ κατημέλησα ἐγώ. [Εἰς τὸ αὐτό.] Ἐξέπραξεν.

48. Παρέστη] [o] Ἐπλησίασεν ἡμῖν.

*Ibid.* Κἀπὶ τέρμα] Τῆς ὁδοῦ.

49. Στρατηγίσιν πύλαις] Ταῖς τῶν [p] σκηνῶν πύλαις.

50. Μαιμῶσαν: γρ. καὶ διψῶσαν. [q] Προσκορὲς ἦν διηγηματικῷ εἴδει τὸ πᾶν διεξελθεῖν.

51. Τὸ ἑξῆς· Ἐγώ σφ' ἀπείργω τῆς ἀνηκέστου χαρᾶς.

52. Τῆς ἀνηκέστου χαρᾶς: Χαρὰν φησὶ τὴν ἐπὶ τῷ δοκεῖν τοὺς Ἕλληνας ἀνῃρῆσθαι· ταύτης οὖν αὐτὸν τῆς χαρᾶς ἀπεῖρξα, δυσφόρους γνώμας ἐμβαλοῦσα τοῖς ὄμμασι· καλῶς δὲ εἶπεν γνώμας· οὐ γὰρ κλέψαι φησὶ τὴν ὄψιν, ὥστε μὴ ὁρᾶν, ἀλλ' ἐπ' αὐτῇ γνώμην δύσφορον ἐπιβαλεῖν, ὡς οἴεσθαι ἰδεῖν τὰ μὴ ὄντα· τοῦτο δὲ οὐ τῶν ὀφθαλμῶν ἁμάρτημα, ἀλλὰ πολὺ πρότερον τῆς διανοίας.

53. Σύμμικτά τε βοσκόλων φρουρήματα] [r] Περιφραστικῶς σύμμικτα βουκόλια.

54. Ἄδαστα] [s] Ἀμέριστα, ἀδιαίρετα· πιθανὸν δὲ καὶ πρὸς τὸ πλῆθος· ἐλάσσονα γὰρ εἶναι εἰκὸς [τὰ μεμερισμένα.]

55. Ἔκειρε] [t] Ἤτοι, ἀντὶ τοῦ, κείρων ἐπῄει.

56. Κύκλῳ ῥαχίζων. Κατὰ πάντα τόπον τῆς ἐπαύλεως σφάζων καὶ διακόπτων· διὰ τὸ τὴν πρώτην καὶ μεγάλην διακοπὴν κατὰ ῥάχιν γίνεσθαι· ἐκ μεταφορᾶς καὶ τοὺς [u] μεγάλα κακουργοῦντας, ῥαχιστὰς φαμέν.

57. (Δισσοὺς Ἀ)τρείδας: Πιθανῶς τούτων τὰ ὀνό(ματα) εἶπεν· κατ' αὐτῶν γὰρ πλείων ἡ ἀ(γα)νάκτησις, ὡς τῆς ἀδικίας προκαταρξαμένων· τὸ δὲ τοῦ Ὀδυσσέως ἐταμιεύσατο τῷ Αἴαντι, ἵνα καὶ μεῖζον εἴη τὸ πάθος, αὐτοῦ φανερῶς παραπαίοντος· κἀπειδὴ γέλοιον προελθόντα τὸν Αἴαντα λέγειν καὶ παρενοχλεῖν τοῖς θεαταῖς, εἰ προειρήκει πάντα ἡ Ἀθηνᾶ.

[n] βούλευμα φησί· μὴ λέγε βούλημα, οὐ γὰρ ἦν, ἀλλὰ πρᾶγμα. Br.

[o] ἀντὶ τοῦ ἐπλησίασεν ἡμῖν, καὶ ἐπὶ τὸ τέρμα τῆς ὁδοῦ δηλονότι ἀφίκετο. R. Br.

[p] σκηνῶν τοῦ Ἀγαμέμνονος καὶ Μενελάου Br.

[q] ὅτι προσκορὲς R. Br. qui mox τὸ δὲ ἑξῆς.

[r] καὶ τὰ ἑξῆς· περιφ. τὰ βουκόλια R. Br.

[s] ἀδιαίρετα, ἀμέριστα R. Br. Infra τὰ μεμερισμένα om. L.

[t] ἤτοι om. R. Br.

[u] μεγάλως R. Br. Mox ῥαχιτὰς R.

57. Ἔχων] γρ. παρών.

58. [w] Ἐμπιτνῶν: γρ. ἐμπεσών.

59. Ἐγὼ δὲ φοιτῶντα: [x] Ἤτοι μαινόμενον· φοῖτος γὰρ, ἡ μανία· ἢ περιερχόμενον ἐν τοῖς ποιμνίοις διὰ τὴν μανίαν· λέγει (γὰρ) μανιάσι νόσοις. Ἢ ἀναστρε(φόμενον) ἐν τῇ μανίᾳ. [Εἰς τὸ αὐτό.] [y] Μεθ' ὁρμῆς μεμηνότα.

60. Εἰς ἕρκη κακά] γρ. ἐς ἐρινῦν κακήν.

61. Ἐλώφησεν] Ἐπαύσατο· ἀπὸ τῶν ὑποζυγίων· ὅθεν καὶ τὸ, [z] εὐλόφως φέρειν.

62. Τοὺς ζῶντας: Τοὺς ζῶντας τῶν βοῶν δήσας, ὡς αἰχμαλώτους ἄνδρας ἄγει καὶ τὰ λοιπὰ ποίμνια· πιθανὸν δὲ καὶ τοῦτο προειρῆσθαι, ἵνα, ὅταν εἴπῃ ἡ Τέκμησσα περὶ τοῦ κριοῦ, [a] προεπιστάμεθα τοῦτο.

66. Δείξω δὲ καὶ σοί: Πιθανὴ ἡ παρείσοδος τοῦ Αἴαντος· οὕτω γὰρ μεῖζον γίνεται τὸ πάθος τῆς τραγῳδίας, τῶν θεατῶν νῦν μὲν παραφρονοῦντα, ὀλίγῳ δ' ὕστερον ἔμφρονα θεωμένων· καὶ ἵνα ἰδὼν ὁ Ὀδυσσεὺς, ἐξείπῃ τοῖς ἄλλοις Ἕλλησιν· οὕτω δὲ καὶ ἡ εὔνοια τῆς Ἀθηνᾶς ἐνδείκνυται εἰς [b] Ὀδυσσέα.

72. Ἀπευθύνοντα: [c] Τιμωρίαν ἀπαιτοῦντα. [Εἰς τὸ αὐτό.] Ἐπιβαλόντα μετὰ εὐθύνης.

*Ibid.* Προσμολεῖν: Τουτέστιν, ἐξελθεῖν.

75. Ἐπιστρέφει ἡ Ἀθηνᾶ, ὡς οὐδενὸς ἐσομένου κακοῦ.

76. Μὴ πρὸς θεῶν: Παραιτεῖται Ὀδυσσεὺς, οὐχ ὡς κωμῳδοῦντος τοῦ ποιητοῦ δειλίαν τοῦ ἥρωος· οὕτω γὰρ [d] ἀφαιρεθείη τῆς τραγῳδίας τὸ ἀξίωμα· ἀλλὰ τὸ εὐλαβὲς ἐνδείκνυται· ἔμφρονος γὰρ ἦν τὸ τῷ μεμηνότι παραχωρεῖν· ὅρα γὰρ, οἷον ἦν [e] προσελθόντα ἐκεῖνον θεάσασθαι τὸν νεκρόν.

77. Τί μὴ γένηται: Μὴ τί γένηται φοβῇ; οὐχ ὁ αὐτὸς ἦν καὶ πρότερον ἄνθρωπος, ἀλλ' οὐδὲν ὑμᾶς εἰργάσατο κακὸν, ἡμῶν ἐπιμελουμένων.

78. Τῷδε τἀνδρί] Δεικτικῶς, ἀντὶ τοῦ ἐμοὶ, τῷ Ὀδυσσεῖ.

79. Οὐκοῦν γέλως ἥδιστος εἰς ἐχθρούς: Σκληρὸν μὲν, τὸ λέγειν

[w] ἐμπίπτων. γράφεται ἐμπεσὼν ἢ ἐμπιτνῶν. R. Br.

[x] ἀντὶ τοῦ R. Br.

[y] Gl. om. R. Br.

[z] Philoct. 872. P. E.

[a] προεπιστώμεθα Br.

[b] τὸν Ὀδυσσέα R. Br.

[c] ἀντὶ τοῦ τιμ. R. Br. qui mox ἢ ἐπιβαλόντα.

[d] ἂν ἀφαιρεθείη Br.

[e] προελθόντα—ἐχθρόν. Br.

ἐπεγγελᾶν τοῖς ἐχθροῖς· ἀλλὰ θεός ἐστιν, οὐκ εὐλαβουμένη τὸ νεμεσητὸν, ἄλλως τε καὶ παροξύνουσα τὸν Ὀδυσσέα φησίν.

80. Ἐμοὶ μὲν ἀρκεῖ: Μέτριον διεφυλάχθη τὸ τοῦ Ὀδυσσέως ἦθος, διὰ τὸ μὴ ἐντρυφᾶν τοῖς κακοῖς.

*Ibid.* Ἐς δόμους: [f] Ποιητικῶς εἴρηται ἀντὶ τοῦ, ἐν δόμοις.

81: Μεμηνότ' ἄνδρα περιφανῶς ὀκνεῖς: Ὀκνεῖς ἀντὶ τοῦ φοβῇ· πυκνῶς γὰρ τίθησι τὸ ὀκνεῖν, [g] ἐπὶ τοῦ φοβεῖσθαι.

*Ibid.* Ὀκνεῖς] Φοβῇ.

82. Φρονοῦντα γάρ τ' ἂν οὐκ ἂν ἐξέστην: Ἑκατέρῳ τὸ οἰκεῖον παράκειται, καὶ οὐ χρὴ τὰ τοῦ Ὀδυσσέως φρονιμώτερα οἴεσθαι τῶν τῆς Ἀθηνᾶς· ἀλλ' ἐκεῖνο σκοπεῖν, ὅτι ἡ μὲν μετὰ παρρησίας διαλέγεται, ὡς θεός· ὁ δὲ ὑπεσταλμένως, ὡς θνητὸς, τὸν καιρὸν ὁρᾷ, ὅτι ὁμόσε χωρῆσαι τῇ μανίᾳ τοῦ ἐχθροῦ οὐχ ἁρμόζει. [Ἄλλως.] Φρονοῦντα γὰρ αὐτὸν οὐκ ἂν ἐξέστην δι' εὐλάβειαν· τὸ δὲ [h] νῦν ἐκστῆναι, οὐ τῷ Αἴαντι, ἀλλὰ τῇ μανίᾳ.

85. Ἐγὼ σκοτώσω βλέφαρα καίπερ δεδορκότα: [i] Ἢ καὶ βλέποντα, τὰ βλέφαρα αὐτοῦ ποιήσω μὴ δεδορκέναι.

89. Ὦ οὗτος: Διὰ τοῦ οὗτος καὶ τοῦ Αἴας δισσὴ ἡ κλῆσις· ἢ ὅτι καὶ πρότερον ἐκάλεσεν αὐτὸν, ὅτε καὶ Ὀδυσσεὺς φησὶ, Τί δρᾷς, Ἀθάνα· ἢ ὡς καὶ πρότερον, ὁπότε ἐδόκει συλλαμβάνειν αὐτῷ πρὸς τὴν ἀναίρεσιν.

90. Τί βαιόν: Ὀλίγον, ἀντὶ τοῦ, οὐδὲ ὅλως· σύμμαχον δὲ αὐτὴν νομίζει, ὡς καὶ ἐν τοῖς ἑξῆς φησὶν, Ὡς εὖ παρέστης.

*Ibid.* Βαιόν] [k] Οὐδέν.

91. Ὦ χαῖρ' Ἀθάνα: Ἐπέγνω μὲν τὴν Ἀθηνᾶν· τὰ δὲ ἑξῆς, τοῦ παραπαίοντος· οὕτω γὰρ ἂν προκόψειεν ἡ ὑπόθεσις· οὐ παντελῶς δὲ ἀπώλετο αὐτοῦ τὸ ἡγεμονικόν· ἀλλ' ἡ μανία γέγονε περὶ τὸ λογιστικόν· ἐμέμνητο μὲν γὰρ ὡς ἐχθροὺς ἀνελὼν, περὶ τὸ πρόσωπον δὲ ἐσφάλλετο, ὅτι ποίμνια ἀνεῖλεν, καὶ (διελο)γίζετο ἄνδρας ἀνῃρηκέναι.

96. Κοὐκ ἀπαρνοῦμαι τὸ μή: Τὸ μὴ οὐχὶ βάψαι τὸ ξίφος εἰς τὸν στρατόν.

97. Ἤιχμασας] Σὺν αἰχμῇ ἐκίνησας.

[f] Sic ed. Rom. Nihil horum habet L. praeter ἐς δόμους supra scripto a recentiore manu ἐν δόμοις. P. E.

[g] ἀντὶ Br.

[h] νιν P. E.

[i] εἰ R. Br.

[k] Alia sede collocant R. Br.

98. Οἶδ' ἀτιμάσουσ'] Ἐὰν δασυνθῇ τὸ οἱ, [l] ἔσται ἐπὶ τῶν Ἀτρειδῶν· ἐὰν δὲ ψιλὸν, τὸ οἶδα, ἀντὶ τοῦ ἐπίσταμαι.

*Ibid.* Ἀτιμάσουσι] [m] Καταφρονήσουσιν. Ἀτιμάσαι γὰρ τὸ ἄτιμον ποιῆσαι.

100. Τἀμά: Καλῶς τὰ ἐμὰ ἔφη, οὐχ ἃ δεῖ με λα(βεῖν· ὡς) ἰδίων ἀπεστερημένος. [Εἰς τὸ αὐτό.] [n] Τὰ ἀνήκοντα ἐμοί.

102. Ἦ πέφευγέ σε] Οὐχ ὡς διαστέλλουσα φησὶν, ὡς ἂν εἴποι τις, ἔθανεν ἢ πέφευγέ σε, ἀλλὰ παροξύνουσα· φησὶ γὰρ, πέφευγεν δή σε ὁ Ὀδυσσεύς.

103. Τοὐπίτριπτον κίναδος] Τὸ ἐξῶλες θηρίον. Κίναδος γὰρ ἡ ἀλώπηξ· πάνυ δὲ κατατρέχει τοῦ Ὀδυσσέως, ὡς ἐχθίστου.

*Ibid.* Τοὐπίτριπτον] [m] Μαστιγίαν.

*Ibid.* Κίναδος] [n] Πανοῦργον.

*Ibid.* Ἐξῄρου μ' ὅπου] [o] Τῆς τύχης ἕστηκεν δηλονότι.

104. Τὸν σὸν ἐνστάτην: Ἤτοι κατὰ πάντα ἐνιστάμενόν σοι, ἢ ἰδικῶς ἐπὶ τῆς κρίσεως μόνον, οἷον, τὸν ἀντίδικον· κυρίως δὲ ἐνστάτης, ὁ ἐν τῇ ὁδῷ [p] ἀντιστήκων τινὶ, ὡς εἰ λέγοι τις τὸν Οἰδίποδα τοῦ Λαΐου ἐνστάτην γεγενημένον. [Εἰς τὸ αὐτό.] Ἐχθρὸν, ἀντίπαλον.

105. Ἥδιστος ὦ δέσποινα: Καθ' ἡδονήν μοι. Δεσμώτης δὲ λέγεται καὶ αὐτὸς ὁ δέσμιος, ὡς ὁ δεσμώτης Προμηθεύς· καὶ ὁ δεσμῶν, ὡς Κρατῖνος ἐν Πυτίνῃ ἐπὶ τῶν δεσμοφυλάκων·

> Ὄψει γὰρ αὐτὴν ἐκτὸς οὐ [q] πολλῷ χρόνῳ
> παρὰ τοῖσι δεσμώτησι καταπιττουμένην.

108. Ἑρκίου στέγης: Τοῦ περιφράγματος τῆς αὐλῆς, ἢ τῆς τοῦ δώματος στέγης· ἕρκιον γὰρ, τὸ δῶμα.

110. Μάστιγι πρῶτον: Ἐντεῦθεν ἡ ἐπιγραφὴ τοῦ δράματος· οὐ πρότερον φονεύω αὐτὸν, πρὶν ἂν μαστίξω.

112. Χαίρειν Ἀθάνα τἄλλα: Τὸ ἦθος τῆς ἀπαγγελίας ἀρχαῖον· ἔστι δὲ νῦν τὸ χαίρειν ἀντὶ τοῦ, χαρτῶς ἐμοὶ [r] λέγειν· φησὶ δὲ, ὡς κατὰ τὰ ἄλλα εἴκων τῇ θεῷ, τοῦτο δὲ [s] ἀντιβαίνων· ὑπεροπτικὸν δὲ τὸ ἦθος αὐτοῦ ἐντεῦθεν ἐνδείκνυται ὁ ποιητὴς, ἐπεὶ πάνυ πρόσκειται ὁ

[l] ἔστιν R. Br.

[m] Gl. om. R. Br.

[n] Alia sede R. Br.

[o] ὅπου τῆς τύχης ἐστὶ δηλονότι R. Br.

[p] ἀντεστηκὼς Br. qui mox om. ἐνστάτην γεγενημένον.

[q] πολλοῦ χρόνου Br. et mox δεσμώταισι cum Suida. Deinde καταπιττουμένην L. quomodo Suidæ ms. Voss.

[r] λέγεις R.

[s] ἀντιβαίνειν L.

*ἀκροατὴς τῷ Αἴαντι διὰ τὴν συμφορὰν, καὶ μονονουχὶ χαλεπαίνει τῷ ποιητῇ, ἵνα δόξῃ ἀξιοπαθεῖν ὁ Αἴας, μὴ ὑποτεταγμένος τῇ δαίμονι.*

*Ibid.* Ἔγωγέ σ' ἐφίεμαι: Ἐφίεμαί σε εἰς τὰ ἄλλα κελεύειν μοι, καὶ χαίρειν ὡς πειθομένου μου· εἰς τοῦτο δὲ μόνον οὐκ ἀκούσομαί σου.

115. [t] Ἐννοεῖς]

118. Ὁρᾷς Ὀδυσσεῦ: Παιδευτικὸς ὁ λόγος, καὶ ἀποτρεπτικὸς ἁμαρτημάτων, καὶ διὰ τοῦτο ἐπίτηδες καὶ τῷ Ὀδυσσεῖ καὶ τῷ θεατῇ ὑπέδειξεν τὸν Αἴαντα, δηλῶν ὡς ὁ πρότερον φρόνιμος καὶ πρακτικὸς, νῦν ἐξέστη διὰ τὸ θεομαχῆσαι· καὶ τοῦτο δὲ Ὁμήρου παίδευμα, ὅτι ἐφ' οἷς αὐχοῦσί τινες, τούτων στεροῦνται παρὰ θεῶν, ὡς καὶ Θάμυρις [u] τὴν μουσικὴν, καὶ Νιόβη τῶν τέκνων.

119. Προνούστερος] [w] Καὶ προνοίας μᾶλλον ἐχόμενος.

121. Ἐποικτείρω] [x] Ἐλεῶ.

122. Ἴωνες ἔμπης φασὶν, Ἀττικοὶ δὲ ἔμπας καὶ ἔμπα.

124. Ἢ τοὐμὸν σκοπῶν] Οἷον, ἀφορῶν εἰς τὰ ἀνθρώπινα τὰ πάντων κοινά.

125. Ὁρῶ γὰρ ἡμᾶς: Πρὸς τὸ Πινδαρικόν·

[y] Τί δέ τις; τί δ' οὔ τις; σκιᾶς ὄναρ ἄνθρωποι·

ἀντὶ ἀνυπάρκτου τὸ ἀνυπαρκτότερον· ἐνταῦθα μέντοι [z] ἐστὶν ὁ λόγος ἐγγυτέρω τῆς ἀληθείας ἤπερ τὸ Πινδαρικόν· ὁ μὲν γὰρ Πίνδαρος ἐν τοῖς ἀσυστάτοις πεποίηται τὴν [a] ὑποβολὴν, ὁ δὲ ἐν τοῖς φαινομένοις καὶ δοκοῦσιν, οὐχ ὑπάρχουσι δὲ κατὰ ἀλήθειαν· ὁ δὲ Ὅμηρος δι' ἑνὸς αὐτάρκως τοῦτο δεδήλωκεν,

[b] Οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο.

126. Εἴδωλα] [c] ἀπεικάσματα.

127. Ὑπέρκοπον] Ἀντὶ τοῦ ὑπέρκομπον.

*Ibid.* Ὑπέρκοπον: Φασὶ τὸν Αἴαντα τρίτον ἠσεβηκέναι περὶ τοὺς θεούς· πρῶτον μὲν ἐκβαλεῖν τοῦ δίφρου τὴν Ἀθηνᾶν, βουλομένην αὐτῷ συμμαχεῖν· δεύτερον ἀπαλεῖψαι τὴν γλαῦκα τὴν ἐγγεγραμμένην τῷ ὅπλῳ αὐτοῦ ἐξ ἔθους πατρῴου· τρίτον, ὅτι οὐκ ἐπείσθη τῷ πατρὶ συμβουλεύοντι πείθεσθαι [d] τοῖς θεοῖς.

[t] Sic nec plura Elmsleii apographum. Ἐννοεῖς. γράφεται ἐννέπεις R. Br.

[u] τῆς μουσικῆς R. Br.

[w] καὶ om. R. Br.

[x] Gl. om. R. Br.

[y] Pyth. VIII. 135.

[z] ὁ λόγος ἐστιν R. Br.

[a] ὑπερβολὴν R. Br.

[b] Od. σ'. 129.

[c] ἀπεικασμένα R. Br.

[d] τοὺς θεοὺς L.

130. Χειρὶ] Δυνάμει.

131. Ἡμέρα] Ἡμέρα γὰρ μία ἐλαττοῖ καὶ πάλιν αὔξει.

132. Τοὺς δὲ σώφρονας] Τὸ συναγόμενον τοῦτό ἐστιν, ὅτι δεῖ θεοφιλεῖς μόνον εἶναι τοὺς σώφρονας, καὶ [μὴ] ἐπὶ ἄλλῳ ἀλαζονεύεσθαι.

134. Τελαμώνιε παῖ: Πιθανῶς αὐτῷ ὁ Χορὸς ἐσκεύασται ἀπὸ Σαλαμινίων ἀνδρῶν, τοῦτο μὲν παρρησιαζομένων ὡς ἐλευθέρων, τοῦτο δὲ συμπαθῶς ἐχόντων ὡς πολιτῶν, καὶ αἰδημόνως λαλούντων ὡς ὑπηκόων· οὐ γὰρ πιθανὸν ἐξ Ἀχαιῶν εἰσάγειν, καὶ διὰ τὸ μὴ συνάχθεσθαι, καὶ διὰ τὸ μὴ προσκρούειν τῷ βασιλεῖ· τὸ δὲ τῶν αἰχμαλώτων κηδεμονικὸν μὲν, ὡς Αἰσχύλος ἐν Θρῄσσαις, οὐ μὴν εὐπρόσωπον· ὅρα γὰρ οἷον [e] αἰχμαλώτους ἐπιτιμᾶν τῷ Μενελάῳ. Πιθανὴ δὲ καὶ ἡ εἴσοδος· ἀκούσας γὰρ ὁ Ὀδυσσεὺς παρὰ τῆς Ἀθηνᾶς,

> Δείξω δὲ [f] σοὶ καὶ τὴν περιφανῆ νόσον,
> ὡς πᾶσιν [g] ἀνθρώποισιν εἰσιδὼν θροεῖς.

Καὶ μαθὼν τὸ σαφὲς, (δεδή)λωκε [h] τοῖς Ἀχαιοῖς· ταύτης οὖν (τῆς φήμης) ἀκούσαντες οἱ Σαλαμίνιοι παραγεγόνασι, (μηδέπω) ὑπὸ τῆς (εὐνοίας) πεπεισμένοι ὡς αὐτὸς εἴη ὁ πράξας, (ἀλλ' ἀπι)στοῦντες [i] ὡς ὑπὸ ἐχθροῦ (πεπλά)σθαι οἰόμενοι. Ὁ δὲ νοῦς· (σοῦ μὲν) εὖ πράσσοντος ἐν (χαρᾷ ἐσμὲν,) καὶ τὸ ἀνάπαλιν· τὸ δὲ ὅλον, ἐν σοὶ ἐσμέν· (τὰ δὲ) πράγματα νῦν τοῦ Αἴαντος (φαῦλά εἰσι,) καὶ οὐκ ἐνεχώρει αὐ(τῷ διηγ)ήσασθαι τὰ ἀνδραγα(θήμα)τα.

135. (Βάθρον ἀγ)χιάλου: Τὸ θεμέλιον, τὸ ἕ(δρασμα·) ἀντὶ τοῦ, δι' ὃν ἵσταται ἡ Σαλαμίς. Οὐ πάντως δὲ αἱ ἀγχίαλοι (καὶ ἀμφί)αλοί εἰσιν, οἷα ἐστὶ καὶ ἡ Ἀλεξάνδρεια, ἀγχίαλος μὲν, οὐ(κ ἀμφί)αλος δέ· αἱ δὲ νῆσοι καὶ (ἀγχί)αλοι καὶ ἀμφίαλοί εἰσι.

136. Σὲ μὲν εὖ πράσσοντ'] Ἀντὶ τοῦ, σοῦ μὲν εὖ πράσσοντος· ἢ οὕτως· εἰς σὲ μὲν εὖ [k] πράττοντα ἐπιχαίρω· ἵνα λείπῃ ἡ εἰς.

*Ibid.* Ἐπιχαίρω] [l] Ἀντὶ τοῦ συγχαίρω.

137. [Σὲ δ' ὅταν] [kk] Ἐπὶ σὲ δὲ, καὶ τὰ ἑξῆς.]

*Ibid.* Ζαμενὴς] [m] Δυσμενής.

[e] τοὺς αἰχ. R. τὸ τοὺς Br.

[f] καὶ σοὶ τήνδε τὴν περιφ. R. καὶ σοὶ τήνδε π. Br.

[g] Ἀργείοισιν—θροῆς R. Br.

[h] τοὺς Ἀχαιοὺς L.

[i] καὶ R. Br.

[k] πράσσοντα R. Br.

[kk] Nihil horum habet ms. praeter ἐπὶ a recentiori manu. P. E.

[l] Alia sede R. Br.

[m] ἀντὶ τοῦ δυσμενὴς R. Br.

138. Ἀπὸ κοινοῦ τὸ ἐπιβῇ. Εἰς σὲ δὲ ὅταν νόσος ἐπιβῇ. Κακόθρους δὲ, οἷόν ἐστι καὶ τὸ ἑξῆς, τοιούσδε λόγους ψιθύρους, [n] ἀντὶ τοῦ διάβολος.

140. Πτηνῆς ὡς ὄμμα πελείας] Ἐπεὶ περιδεὲς τὸ ζῶον. Ὄμμα δὲ πελείας, περιφραστικῶς ἡ πέλεια.

141. Ὡς καὶ τῆς νῦν φθιμένης νυκτὸς] Ὡς καὶ τῆς παρελθούσης νυκτὸς ἐν φόβῳ γεγόναμεν ἐπὶ τῇ σῇ δυσκλείᾳ· πιθανῶς δὲ οὐκ ἐλέγχει τὸν βασιλέα ὡς ἡμαρτηκότα, ἀλλὰ τὴν [n n] δυσπραξίαν προσέλαβεν ὡς ἀπὸ τῆς εἱμαρμένης· πάνυ δὲ εὔνοι ὄντες ἀπιστοῦσι, καὶ ὑπολαμβάνουσιν αὐτὸν ὑπὸ [o] τοῦ ἐχθροῦ συκοφαντεῖσθαι· ἐν δέει οὖν καθέστηκα, ὅταν ᾖ τι τοιοῦτο περὶ σέ.

143. Ἱππομανῆ: Τινὲς τὸν [p] μεγάλως μαινόμενον ἐξεδέξαντο, ἀλλ' οὐκ [q] ἐπίστευεν ὁ Χορὸς ὅτι ἐμαίνετο ὁ Αἴας. [r] Σὲ, τὸν ἵπποις μαινό(μενον, καὶ) ἱππικόν· ἀλλ' οἱ νησιῶται οὐχ ἱππομανοῦσιν, οὐδὲ ἱππήλατοί εἰσιν αἱ νῆσοι· τὸ ἱππομανῆ τοίνυν πρὸς [s] τὸ λειμῶνα ἐκληπτέον. Ἄλλως. Ἱππομανῆ ἢ αὐτὸν λέγει τὸν Αἴαντα, ὡς μεγάλως μαινόμενον, ἀπὸ μεταφορᾶς· ἡ γὰρ τῶν ἵππων μανία χαλεπωτέρα ἐστίν· ἢ ἐπὶ ἵπποις μαινόμενον· ὡς βούπεινα, ἤτοι τὸν μεγάλως μαινόμενον· τὸ γὰρ ἵππος ἐπὶ μεγάλου τάσσεται, ὡς ἱπποσέλινον, καὶ ἱππογνώμονα, τὸν μεγαλογνώμονα· ἢ ἐπὶ τοῦ λειμῶνος, οἷον, τὸν εὐανθῆ, ἐφ' [t] ᾧ οἱ ἵπποι μαίνονται, ἢ τὸν ἄγαν μεμηνότα, καὶ ἀνθοῦντα, καὶ [u] ἐνυβρίζοντα τῇ χλόῃ διὰ τὸ πλῆθος. [Εἰς τὸ αὐτό.] [w] Μεγαλομανῆ, ὡς βούπεινα.

147. Αἴθωνι] Λαμπρῷ.

148. Τοιούσδε λόγους: Ὁ νοῦς· οὐδὲν ἐνεχυ(ρὸν εἰδὼς) ὁ Ὀδυσσεὺς [x] πλάττεται ψευδεῖς λόγους, ἀκούσας μόνον ὡς (ἴης σ)ὺν νεορράντῳ ξίφει. Καλῶς δὲ καὶ τὸ ψιθύρους λόγους, ὡς διὰ (πανου)ργίαν ἀδεῶς οὐ λέγοντος, ἀλλὰ πρὸς [y] ἓν ἕκαστον ἐ(ξαπα)τῶντα λάθρᾳ.

[n] MS. ἀντὶ τοῦ διαβόλους, quae verba in aliam sedem transtulit editor Romanus, superiora τοιούσδε λόγους ψιθύρους prorsus omisit. P. E.

[n n] δυσπραγίαν R. Br.

[o] τῶν ἐχθρῶν R. Br. qui mox τοιοῦτον.

[p] μεγαλομανῆ R. τὸ μεγαλομανῆ Br. Tum ἐδέξαντο Br.

[q] ἐπίστευσεν R. Br.

[r] σὲ] ἢ P. E. ἤ σε anonymus Johnsoni.

[s] τὸν λ. R. Br.

[t] ὃν R. Vocula deest L.

[u] ἐξυβρίζοντα Br.

[w] Alia sede R. Br.

[x] πλάττει Br. qui mox ἴοις.

[y] ἕν'—ἐξαπατῶντος anon. Johnson.

151. Εὔπιστα λέγει] Ὅτι ἐν ἀτυχίᾳ καθέστηκας, [y] τῆς ἥττης χάριν· ἢ ἐπεὶ μέγας εἶ, εἶχες τὸν φθόνον συμπράττοντα.

154. Τῶν γὰρ μεγάλων ψυχῶν ἱείς: Τροπικῶς, ὡς ἐπὶ τῶν τοξευόντων κατὰ μεγάλου σώματος, οἳ οὐχ ἁμαρτάνουσιν. Πιστὰ οὖν τοῖς ἀκούουσι τὰ κατὰ τῶν μεγάλων, διὰ τὸν φθόνον. Πίνδαρος·

[z] ὄψον
δὲ λόγοι [a] φθονεροῖς·
ἅπτεται δ' εἰδὼς,
χειρόνεσσι δ' οὐκ ἐρίζει.

*Ibid.* Ἱείς: Ἀφιεὶς, τοξεύων· ἀπὸ κοινοῦ δὲ τὸ τίς. Κατὰ μὲν τῶν μεγάλων ψυχῶν ἱείς τις, οὐκ ἂν [b] ἁμάρτοις· κατ' ἐμοῦ δὲ ἱείς τις, [οὐ] πείθει τὸν ἀκούοντα.

155. Κατὰ δ' ἄν τις ἐμοῦ: Κατ' ἐμοῦ, τοῦ [c] δημοτικοῦ καὶ εὐτελοῦς.

157. Τὸν ἔχοντα] Λείπει τὸ εὖ. [d] Πρὸς τὸν εὖ ἔχοντα.

158. Καίτοι σμικροὶ μεγάλων: Πάνυ αἰδημόνως ὁ Χορὸς [e] ἐξελέγχων τὴν ἀδικίαν τῶν Ἑλλήνων, οὐ τοῦτο ἄντικρυς ἐποίει, ἀλλὰ ψιλῶς γνωμολογεῖ· βούλεται γὰρ ἐπιτιμᾶν, ὅτι κακῶς πράττουσι καθαιροῦντες [s] Αἴαντα, καὶ ἑαυτοῖς ἀσυμφόρως· φησὶ γὰρ ὅτι ἀσθενὴς φυλακὴ τοῖς μικροῖς ἄνευ τῶν μεγάλων· τοῦτο δὲ τείνει καὶ ἐπὶ τὸν Αἴαντα, ὅτι δεηθήσονται αὐτοῦ.

159. Σφαλερὸν ῥῦμα] Ἀντὶ τοῦ ἀσθενὴς φυλακή.

*Ibid.* Πύργου] Πόλεως.

161. Καὶ μέγας ὀρθοῖθ' ὑπὸ μικροτέρων: Οὐκ ἔστιν ἐναντίος ὁ λόγος, ἀλλὰ καὶ αὔξησιν ἔχει· εἰ γὰρ ὁ μέγας ὑπὸ τοῦ ἐλάττονος διασώζεται, [t] πόσῳ τῶν μειζόνων ἔχεσθαι χρή; κοινωνικὸς δὲ ὁ λόγος καὶ φιλάνθρωπος· καὶ Ὅμηρος,

[u] Συμφερτὴ δ' ἀρετὴ πέλει ἀνδρῶν καὶ μάλα λυγρῶν.

162. Ἀλλ' οὐ δυνατὸν τοὺς ἀνοήτους: [w] Ἀνοήτων, καὶ φθονερῶν,

[y] δηλονότι τῆς ἥττης R. Br.
[z] Nem. VIII. 36.
[a] φθονεροῖς· ἅπτεται δ' ἐσλῶν ἀεὶ, χερόνεσσι Br.
[b] ἁμάρτοι R. Br. Mox κατεμὲ δὲ ἱεὶς L.
[c] δειματικοῦ L.
[d] Seqq. accesserunt ex L.
[e] ἐξελέγχει—ποιῶν—γνωμολογῶν Br. ἐξελέγχει—ποιεῖ—γνωμολογῶν R.
[s] τὸν Αἴαντα R. Br.
[t] πόσῳ μᾶλλον R. Br.
[u] Il. ν. 237.
[w] τοὺς Ἕλληνας ἀνοήτους καὶ φθονεροὺς — ἀνεπιστήμονας κἀνθάδε δὲ. R. Br. Mox τὸ L.

καὶ διαθρεῖν τὰ τοιαῦτα ἀνεπιστημόνων· κἀνθάδε τὸ θορυβῇ σύμφωνόν ἐστι τῷ,

Τοιούσδε λόγους ψιθύρους πλάσσων·

μέχρι γὰρ νῦν ἐν λόγοις ἐστὶν ἡ ἀδικία καὶ θορύβῳ τῷ ἀπὸ τῆς βλασφημίας.

162. Τοὺς ἀνοήτους] Τοὺς Ἕλληνας.

163. Τούτων] Τῶν λεχθέντων.

*Ibid.* Γνώμας] [x] Ὀρθὰς τὰς κρίσεις.

166. Ἀπαλέξασθαι] Ἀντὶ τοῦ ἀντιτάξασθαι.

168. Ἅπερ πτηνῶν ἀγελαί: [y] Θηλυκῷ τῷ ἀγελαὶ ἐπήγαγεν ἀρσενικὴν μετοχὴν, τὴν ὑποδείσαντες, πρὸς τὸ νοητόν· ἐν γὰρ ταῖς ἀγέλαις εἰσὶ καὶ ἄρσενες καὶ θήλειαι. Ὁ [z] δὲ νοῦς· διὰ τοῦτο κομπάζουσι, σοῦ ἀφανοῦς ὄντος, ὡς πτηνῶν ἀγέλαι παταγοῦντες· καὶ τοῦτο εἰς τὸν κενὸν ψόφον.

172. Ἦ ῥά σε [a] Ταυροπόλα: Ὁ Χορὸς οὐδέπω πεπιστευκὼς ὅτι Αἴας τὰ τεθρυλημένα διεπράξατο, ἀλλ' οἰόμενος ἔκ τινος ὀργῆς θεῶν ταύτην τὴν φήμην γεγενῆσθαι, ποιεῖται πρὸς τὴν φήμην τὸν λόγον. Ταυροπόλα [b] δὲ, ὅτι ἐν Ταύροις τῆς Σκυθίας τιμᾶται· ἢ ἀπὸ μέρους, τῶν ποιμνίων ἡ προστάτις· ἢ ὅτι ἡ αὐτὴ [τῇ] σελήνῃ ἐστὶ, καὶ ἐποχεῖται ταύροις, ἣν καὶ ταυρωπὸν ὀνομάζουσιν. Τὸ ἑξῆς· ἢ ῥά σε Ταυροπόλα ὥρμησεν ἐπὶ βοῦς ἀγελαίας· τοὺς πολλοὺς γὰρ τῶν μαινομένων ἐκ σελήνης νοσεῖν ὑποτίθενται, διὰ τὸ νυκτερινῶν δεσπόζειν φασμάτων. Ἄλλως. Τὴν μὲν ἀναίρεσιν τῶν ποιμνίων ὁ Χορὸς πιστεύει ὑπὸ Αἴαντος γενέσθαι, οὐκ ἐξ ἰδίας δὲ προνοίας.

173. Ὦ μεγάλα φάτις] Διὰ μέσου ἡ ἀναφώνησις· ὦ θαυμαστὴ φήμη, ἥτις ἐγέννησάς μοι ταύτην τὴν αἰσχύνην· κακὴ γὰρ [c] φήμη ὑπῆρξε περὶ τοῦ Αἴαντος.

175. Πανδήμους, ἢ τὰς παντὸς τοῦ δήμου, ἢ τὰς συνηγμένας.

176. Ἤ που τινὸς νίκας] Ἢ διὰ χάριν τινὸς [d] νίκας. Ἀκάρπωτον δὲ, ἧς καὶ καρποὺς οὐκ ἐδέξατο. [Εἰς τὸ αὐτό.] Οἴονται ἐκ τούτων αὐτὸν ἐμμανῆ εἶναι· ἆρα οὖν, φησὶ, χαριζομένη σοι τὸ νικᾶν, καρπὸν καὶ ἀπαρχὰς οὐκ ἐδέξατο τῆς νίκης, ἢ ἀπὸ κυνηγεσίων δῶρα οὐ λα-

[x] ὀρθὰς δηλαδὴ R. Br. qui in gl. seq. om. ἀντὶ τοῦ.
[y] θηλυκῶς R. Statim τὸ L.
[z] δὲ om. R. Br.
[a] ταυροπῶ^λ: L.
[b] ἢ ὅτι R. Br.
[c] φ^η L. φησιν R. Br.
[d] νίκης R. Br. qui mox ἧς καρπὸν οὐκ.

βοῦσα· ὡς καὶ Ὅμηρος ἐπιλελησμένους τινὰς φησὶ, καὶ δίκην παρέχοντας τῆς λήθης.

178. Εἴτ' ἐλαφηβολίαις] [e] Ἀπὸ κοινοῦ τὸ ψευσθεῖσα.

179. Ἦ χαλκοθώραξ ἤ τιν' Ἐνυάλιος: Διαστέλλει τὸν Ἄρεα ἀπὸ τοῦ Ἐνυαλίου, ὡς ἕτερον δαίμονα ὑπουργὸν τοῦ μείζονος θεοῦ, καὶ δῆλον ἐκ τῶν συνδέσμων· δηλοῦται γὰρ ὁ Ἄρης ἐκ τοῦ χαλκοθώραξ· ἢ καὶ ὁ Ἄρης μεμφόμενός σοι, ὡς ἀπαρχὰς δορὸς οὐ (λα)βὼν, ἐτίσατό σε τῆς λώβης, τῆς εἰς αὐτὸν γενομένης λήθης· ἐτίσατο δὲ ἐννυχίοις μηχαναῖς ἐπὶ σοῦ ταύτης τῆς νυκτός. Πιθανῶς δὲ πλείονας αἰτίας τιθέασιν ἀποροῦντες· οἱ γὰρ στοχαζόμενοι οὐ καθ' ἓν ἵστανται.

180. Μομφὰν] [e] Τοῦτο πρὸς τὸν Αἴαντα, οὐ πρὸς τὴν φήμην λέγει.

183. Οὔ ποτε γὰρ φρενόθεν: Οὐ γὰρ ἐπὶ τοσοῦτον [f] ἀφρονεῖς, ὡς ἄνευ αἰτίας θέλειν ἐμπεσεῖν τοῖς ποιμνίοις. [ff] Ἀριστερὰ δὲ τὰ μωρὰ οἱ παλαιοὶ ἐκάλουν· δεξιὰ δὲ, τὰ συνετά.

186. Ἥκοι γὰρ ἂν] Ἔοικε γὰρ [g] εἶναι θεία νόσος. Θεία δὲ, ἡ ἐκ θεοῦ κατασκήψασα εἰς αὐτόν· τὴν δὲ νόσον αὐτοῦ, φήμην Ἀργείων ὠνόμασεν.

188. Ὑποβαλλόμενοι] Πειθόμενοι· ἢ ὑποβλήτως λέγοντες· ἢ ἰδιοποιησάμενοι· εἰ δὲ οὐκ ἔστιν ἀληθῆ ταῦτα, ἀλλὰ πεπλασμένα ὑπὸ τοῦ βασιλέως, ἢ Ὀδυσσέως.

189. Κλέπτουσι] [h] Ὑποσπείρουσι.

190. Τᾶς ἀσώτου] Τῆς ἐξώλους, καὶ σώζεσθαι μὴ δυναμένης.

*Ibid.* Σισυφιδᾶν: γρ. Σισυφίδα. Λέγεται γὰρ ἡ Ἀντίκλεια ἀποστελλομένη ἀπὸ Ἀρκαδίας ἐπὶ Ἰθάκην πρὸς Λαέρτην ἐπὶ γάμον, κατὰ τὴν ὁδὸν Σισύφῳ συνελθεῖν, ἐξ οὗ ἦν φύσει [i] Ὀδυσσεύς· ὁ δὲ Σίσυφος Κορίνθου βασιλεὺς, πανοῦργος ἀνὴρ, περὶ οὗ φησὶν Ὅμηρος·

[k] ὃ κέρδιστος γένετ' ἀνδρῶν·

ὅστις ὑπὸ τοὺς ὄνυχας καὶ τὰς ὁπλὰς τῶν ζώων ἑαυτοῦ μονογράμματον ἔγραψε τὸ ὄνομα αὐτοῦ. Αὐτόλυκος δὲ κατ' ἐκεῖνο καιροῦ

[l] ἐκέκαστο

κλεπτοσύνῃ θ', ὅρκῳ τε,

[e] Gl. om. R. Br.

[f] ἀφρονεῖ L. et mox θέλων.

[ff] Ἀριστερὰ οἱ παλαιοὶ τὰ μωρὰ ἐκάλουν. R. Br.

[g] εἶναι νόσος θεία ἡ R. Br.

[h] Gl. om. R. Br.

[i] ὁ Ὀδυσσεὺς R. Br.

[k] Il. ζ'. 153. ὃς R.

[l] Od. τ'. 395.

καὶ αὐτὰ τὰ κλεπτόμενα παρ' αὐτοῦ τὴν μορφὴν ἤλλασσεν. Κλέψας οὖν καὶ Σισύφου θρέμματα καὶ μεταβαλὼν, [m] ὅμως οὐκ ἔλαθε τὸν Σίσυφον· ἐπέγνω γὰρ αὐτὰ διὰ τῶν μονογραμμάτων· ἐπὶ τούτοις δὲ ἐξευμενιζόμενος τὸν Σίσυφον, ἐξένισεν αὐτὸν, καὶ τὴν θυγατέρα αὐτοῦ Ἀντίκλειαν συγκατέκλινεν αὐτῷ, καὶ ἔγκυον ἐξ αὐτοῦ γενομένην τὴν παῖδα συνῴκισε Λαέρτῃ, δι' ὃ Σισύφου ὁ Ὀδυσσεύς· τὸν δὲ Ὀδυσσέα Σισύφου συνήθως φησὶ Σοφοκλῆς καὶ ἐν Συνδείπνῳ·

Ὦ πάντα πράσσων, ὡς ὁ Σίσυφος πολὺς
ἔνδηλος ἐν σοὶ πανταχοῦ, μητρὸς [n] πατήρ.

Καὶ Αἰσχύλος ἐν Ὅπλων Κρίσει·

Ἀλλ' Ἀντικλείας ἆσσον ἦλθε Σίσυφος,
τῆς σῆς λέγω τοι μητρὸς, ἥ σ' ἐγείνατο.

Καὶ Εὐριπίδης ἐν Κύκλωπι·

[o] Χαῖρ', ὦ ξέν'· ὅστις δ' εἶ, φράσον, πάτραν τε σήν.
[p] Ἴθακος Ὀδυσσεὺς, γῆς Κεφαλλήνων ἄναξ.
Οἶδ' ἄνδρα κρόταλον, δριμὺ Σισύφου γένος.

Φαίνεται δὲ τὸ κακόηθες [q] αὐτῷ καὶ διὰ τῆς γενέσεως.

191. Μὴ μή μ' ἄναξ: Τὸ πλῆρες· μὴ μή μοι· ὁ δὲ νοῦς· εἰ δὲ πλάσσουσι ταῦτα, καὶ οὐκ ἀληθείᾳ συνέδρασας, μηκέτι κρυπτόμενος ἐν ταῖς ἐφάλοις κλισίαις κακὴν φάτιν ἄρῃ καὶ περιποιήσῃ, ἀλλὰ προελθὼν δεῖξον ψευδῆ τὰ λογοποιούμενα. [Εἰς τὸ αὐτό.] Τὸ πλῆρες, μή μοι.

193. Ἄρῃ] Ἐπάρῃς, αὐξήσῃς ἀπὸ σοῦ.

194. Ἀλλ' ἄνα ἐξ ἑδράνων: Ἀνάστα ἐκ τῶν θρόνων, ὅπου πολὺν χρόνον σεαυτὸν ἐνεστήριξας, τὴν ἐκ τοῦ οὐρανοῦ πεμφθεῖσαν ἄτην αὔξων, καὶ οἷον ἐμπυρούμενος ὑπὸ τοῦ πάθους, καὶ ἐν ἀγωνίᾳ πολλῇ ὤν.

*Ibid.* Ὅπου μακραίωνι στηρίζῃ: Ὅπου στηρίζῃ μακραίωνι σχολῇ, ὅ ἐστι πολυχρονίῳ, [r] βραδεῖ, τὸν ἀγῶνα ἐμποιοῦντί σοι· μακραίων δὲ αὐτοῖς δοκεῖ διὰ τὴν εὔνοιαν.

196. Ἄταν οὐρανίαν: Μετέωρον, μεγάλην. Φλέγων δὲ, ζωπυρῶν, ἀνεγείρων. [Εἰς τὸ αὐτό.] [s] Τὴν ἐκ τοῦ οὐρανοῦ πεμφθεῖσαν ἄτην αὔξων.

197. Ἐχθρῶν δ' ὕβρις: Ἡ δὲ τῶν ἐχθρῶν ὕβρις, τῶν ταῦτα ἐπὶ

[m] ὁμοίως R. Br.
[n] φθορεὺς Br.
[o] V. 102.
[p] Pro Ἴθακος, γῆς, γένος, L. habet Ἰθάκης, γὰρ, γόνον. P. E. γόνον item R.
[q] αὐτοῦ R. Br.
[r] βραδὺν—ἐμποιούσῃ R. Br.
[s] Alia sede R. Br.

σοὶ λεγόντων, οὕτω μᾶλλον ἄφοβός ἐστι, καὶ [t] ἀδεῶς εἰς τὸ βλασφημεῖν σε, διὰ τὸ μὴ φαίνεσθαί σε τοῖς Ἀχαιοῖς.

*Ibid.* Ἀτάρβητα] Ἀντὶ τοῦ ἀταρβήτως, [u] ὅ ἐστιν, ἀνειμένως.

198. Ἐν εὐανέμοις βάσσαις: Τουτέστιν ἐν ἐκείνοις τοῖς τόποις, ὅπου τὰ ὑπὸ σοῦ ἀνῃρημένα ποίμνια ὁρῶντες ἐπεγγελῶσιν· ἢ ἐν εὐανέμοις βήσσαις, οἷον, ἐν εὐδίᾳ καιρὸν ἔχοντες διαβάλλουσιν. [Εἰς τὸ αὐτό.] Λείπει [ὡς πῦρ.] Ὡς πῦρ ἐν εὐανέμοις βήσσαις.

199. Καγχαζόντων] Γελώντων.

200. Βαρυάλγητα] Βαρέα καὶ ἀλγεινά.

201. Ναὸς ἀρωγοί: Ἔξεισι Τέκμησσα, καὶ διδάσκει τὸν Χορὸν, ὅτι Αἴας ἐστὶν ὁ σφάξας τὰ ποίμνια· πυνθάνεται δὲ παρὰ τοῦ Χοροῦ, ὅτι Ἑλληνικὰ ἦν τὰ σφαγέντα· ἑκάτερος οὖν παρ' ἑκατέρου τὸ ἀγνοούμενον μανθάνει· ἡ δὲ Τέκμησσα, αἰχμάλωτος γυνὴ τοῦ Αἴαντος· πιθανῶς δὲ ἔξεισιν· οὐ γὰρ ἐπὶ πολὺ δεῖ ἀπολοφύρεσθαι τὸν Χορὸν, ἀλλὰ προκόπτειν τὰ τῆς ὑποθέσεως. Ἡ δὲ διάθεσις εὖ ἔχει τῷ ποιητῇ· ἐπεὶ γὰρ ἄπεστι Τεῦκρος, καὶ [x] Εὐρυσάκης ἔτι νήπιος, Τέκμησσα κατολοφύρεται· οὐ γὰρ ἕτερον πρόσωπον γνήσιον τῷ Αἴαντι· αἱ δὲ τοιαῦται γυναῖκες ὑποτίθενται εὔνοιαν πρὸς τοὺς δεσπότας, ὡς Βρισηῒς πρὸς Ἀχιλλέα.

202. Γενεᾶς χθονίων ἀπ' Ἐρεχθειδᾶν: Διὰ τὸ τὴν Σαλαμῖνα συνῆφθαι τῇ Ἀττικῇ, καὶ περισπούδαστον τοῖς Ἀθηναίοις αὐτὴν κτήσασθαι· πρὸς εὔνοιαν οὖν τῶν ἀκροωμένων τοῦτο φησίν· ἢ ἐπεὶ ἐξ Αἰγίνης ἐλθὼν ὁ Τελαμὼν ἐβασίλευσε Σαλαμῖνος· ἡ δὲ Αἴγινα τῆς Ἀττικῆς.

204. Τοῦ Τελαμῶνος τηλόθεν: [y] Ἤτοι τοῦ οἴκου, ὅ ἐστι, τηλόθεν μακρὰν Φρυγίαν Σαλαμῖνος· ἢ οἱ πρὸ πολλοῦ κηδόμενοι, καὶ οὐχὶ νῦν μόνον· ἢ οἱ τηλόθεν ὄντες, ὅ ἐστι, ξένοι κατὰ γένος, καὶ ὅμως τοῦ Τελαμῶνος οἴκου φειδόμενοι, εἰ καὶ μὴ προσήκομεν.

205. Ὁ μέγας ὠμοκράτης Αἴας: Ὁ δυσπέπαντον καὶ αἰτιώνυμον ἔχων πάθος· ἢ ὁ ὠμὸς καὶ καρτερός· ἢ ὁ ὑπὸ ὠμότητος κεκρατημένος· ἢ ὁ γενναῖος, ὁ καὶ τῶν ὤμων κρατεῖν δυνάμενος.

206. Θολερῷ κεῖται] [z] Ἐν ταραχώδει ζάλῃ κεῖται, ὅ ἐστι, μανίᾳ.

[t] ἀδεὴς Br.
[u] ὅ ἐστιν om. R. Br.
[x] ὁ Εὐρυσ. R. Br.
[y] ἤτοι—τηλόθεν ex L. Mox μακρὰν γὰρ Φρυγία R. Br. Infra κηδόμενοι pro φειδόμενοι nescio quis apud Johnsonum.
[z] Gl. om. R. Br.

208. Τί δ' ἐνήλλακται: Τί αὐτῷ [a] παρὰ τὴν ἡμερινὴν ὄχλησιν γέγονε βάρος; οἷον, ἐν τίνι γέγονεν ὁ Αἴας βάρει, ὥστε ἀλλοῖος γενέσθαι πρόσθεν ἢ κατὰ τὴν ἡμέραν; τί αὐτῷ βάρος ἐνήλλακται αὕτη ἡ νύξ;

*Ibid.* Τῆς ἀμερίας: γρ. [b] δὲ ἀημερίας, ἀντὶ τῆς ἀηδοῦς φορᾶς· καὶ [c] ἔσται ὁ νοῦς· ποῖον βάρος ἔλαβεν αὕτη ἡ νὺξ ἀπὸ τῆς προτέρας ἀηδίας;

211. Ἐπεί σε λέχος δοριάλωτον: Ἐπεί σε ἔχει ὁ Αἴας, δοριάλωτον [d] στέρξας τὸ λέχος σου· ἢ [e] ἀλλ' ἐπεί σε ἀνέχει ὁ Αἴας, τὸ δοριάλωτόν σου στέρξας λέχος. Ἀνέχει [f] δὲ, ἀντὶ τοῦ ἔχει· παρέλκεται γὰρ ἡ ανα. Ἄμεινον στέρξασαν γρ.

212. Ἀνέχει: Ἀντὶ τοῦ ἀνυψοῖ, τιμᾷ.

214. Ἄρρητον] Κακόφημον, μηδὲ λέγεσθαι ὀφείλοντα.

216. Τὸ κεφάλαιον τοῦ κακοῦ πρῶτον ἐκτίθεται, ὅτι ἐφύβριστα εἴργασται, μανίᾳ περιπεσών.

217. Ἀπελωβήθη: Ἀντὶ τοῦ, ἐφύβριστα εἴργασται· ἢ οὕτως· ἐνυβρίσθη, καὶ λωβητὸς γέγονεν.

219. Χειροδάϊκτα: [g] Θύματα ὑπὸ τῶν χειρῶν αὐτοῦ δαϊχθέντα.

220. Κείνου χρηστήρια: Τὰ τολμήματα καὶ πράξεις, ἢ τὰ διεφθαρμένα ποίμνια· παρὰ τὸ διαχρήσασθαι αὐτά· δηλοῖ δὲ ἡ λέξις καὶ τὸ μαντεῖον, καὶ τὸν χρησμὸν, καὶ τὸ ἱερεῖον. [Εἰς τὸ αὐτό.] Ἃ διεχρήσατο ἐκεῖνος.

222. Αἴθοπος: Διαπύρου, θερμοῦ ἐν ταῖς μάχαις· ἢ τὸ θερμὸν νῦν ἐπὶ τοῦ παρακεκινηκότος κείσθω.

225. [h] Κληϊζομένην] Πεφημισμένην.

226. Τὰν ὁ μέγας μῦθος ἀέξει: Ἣν ἀγγελίαν πᾶς λόγος αὔξει· πρώην μὲν γὰρ μόνοι οἱ Ἕλληνες ἔλεγον ταῦτα περὶ Αἴαντος· ἡμεῖς δὲ ἠπιστοῦμεν· νῦν δὲ καὶ ἡμεῖς ἔγνωμεν.

227. Ὤμοι φοβοῦμαι: Τὸ ἐκ τούτου, φησὶν, ἀποβησόμενον· εἰκὸς γὰρ τὸν νοῦ ἐξεστηκότα μηδὲ ἑαυτοῦ ἀνασχέσθαι· οὐ γὰρ, φησὶ, φοβοῦμαι μὴ τιμωρηθῇ ὑπὸ τῶν βασιλέων.

228. Περίφαντος] Φανερός ἐστιν, ὅτι ταῦτα ἑαυτὸν διαθήσει.

[a] περὶ R. Br.
[b] δὲ om. R. Br.
[c] ἔστιν R. Br.
[d] στέρξασαν Br.
[e] ἄλλως R. Br.
[f] δὲ om. R. Br. Mox παρέλκει Br.
[g] θύματα om. R. Br.
[h] φημιζομένην ὑπὸ τῶν Ἑλλήνων οὐ θεόθεν R. Br.

229. Θανεῖται] [i] Ὑπὸ τῶν Ἑλλήνων, οὐ θεόθεν.

*Ibid.* Παραπλήκτῳ] Τῇ μανικῇ· παραπλὴξ γὰρ ὁ μανικός.

232. Ἱππονώμας] Τοὺς μεγάλως φυλάττοντας, τοὺς ποιμένας· οὗτοι γὰρ ἐνόμιζον καὶ ποιμένας αὐτὸν ἀνῃρηκέναι.

233. Ὤμοι κεῖθεν κεῖθεν ἄρ' ἡμῖν: Ὡς οἰκουροῦσα, τὰ ἔξω ἡ Τέκμησσα [k] ἀγνόει· δεῖ οὖν τὸν Χορὸν τὰ μὲν ἔνδον ἀπ' αὐτῆς γνῶναι· τὴν δὲ, ἀπὸ τοῦ Χοροῦ τὰ ἔξω.

235. Τὴν μὲν] Τὴν ποίμνην.

236. Πλευροκοπῶν] Κατὰ τῶν πλευρῶν τύπτων.

237. Δύο δ' ἀργίποδας: Ἴσως τὸν μὲν ἕνα ἐνόμιζεν Ὀδυσσέα· τὸν δὲ ἄλλον, Νέστορα ἢ Μενέλαον.

*Ibid.* Ἀργίποδας] [l] Λευκόποδας.

238. Τοῦ μὲν κεφαλὴν καὶ γλῶσσαν: Ἴσως τοῦτον ἐνόμιζε Νέστορα, ὡς ψευδομαρτυρήσαντα κατ' αὐτοῦ.

241. Μέγαν ἱπποδέτην ῥυτῆρα λαβὼν παίει: Διπλώσας τὸν χαλινὸν, παίει τὸν κριὸν, ὡς λιγυρᾷ καὶ ὀξυφώνῳ μάστιγι. Ἱπποδέτην δὲ ῥυτῆρα, χαλινὸν μέγαν· μέγαν δὲ, πρὸς τὸ πικρότερον καθάψασθαι τοῦ ἐχθροῦ.

243. Κακὰ δεννάζων: Ἀντὶ τοῦ, βλασφημῶν· περιστέλλει δὲ καλῶς τὸν λόγον, φάσκουσα τὰ ῥήματα μὴ εἶναι τοῦ Αἴαντος, ἀλλὰ θεῶν τινὸς [m] ὑποβολῇ· δαίμονα δὲ φησὶ τὴν μανίαν. [[n] Εἰς τὸ αὐτό.] Ἀπὸ τοῦ δεινὸν δεινάζω καὶ δεννάζω, ὡς φαεινὸς, φαεννός.

245. Ὥρα τίν' ἤδη τοι κρᾶτα: Ὥρα τινὰ ἡμῶν, ἀντὶ τοῦ ἕκαστον ἡμῶν, προελκυσάμενον τὴν ἐσθῆτα τοῖς καλύμμασι τὴν [o] κεφαλήν· ὁρῶν δὲ ὁ Χορὸς ὅτι ἐν μεγίστῳ κακῷ ἐστὶν Αἴας, τὸ μὲν κατὰ τὴν νόσον, τὸ δὲ κατὰ τὴν ἀπειλὴν τῶν βασιλέων, διαπορεῖται τί πρακτέον αὐτῷ· [p] πότερον ἐγκαλυψαμένους φεύγειν ὅποι ποτ' οὖν, ἢ ἀποπλεῖν ἐπιβάντας ἐπὶ τῶν νεῶν· καὶ οὐκ ἔστι μὲν μικρὸν τὸ [q] ἐάσαντα τὸν προστάτην ἀπαλλαγῆναι· ἀλλὰ σημαίνουσι διὰ τούτων ἔστιν ὅτε τὰ ἐν ποσὶ δεινά· εἰώθασι γὰρ οἱ ἀποροῦντες ἐξ ἀρχῆς τοιαῦτα προσφέρεσθαι.

250. Μεθεῖναι] [r] Μετιέναι, φεύγειν· ἕκαστον ἡμῶν, φησὶ, δεῖ μεθεῖναι, τουτέστι, ῥίψαι ἑαυτὸν ἐν νηῒ καὶ φυγεῖν.

[i] Hanc gl. h. l. om. R. Br.
[k] ἠγνόει R. Br.
[l] Alia sede R. Br.
[m] ὑποβολὴν Br.
[n] δεννάζων δὲ ἀπὸ R. Br.
[o] κεφαλὴν κρυψάμενον R. Br.
[p] πρότερον L.
[q] ἐάσαντας R. Br.
[r] μεθιέναι Br.

251. Τοίας] Ἀντὶ τοῦ μεγάλας.

*Ibid.* Ἐρέσσουσιν : Ἀντὶ τοῦ, εὐτόνως κινοῦσιν· ἀπὸ τῶν ἐρεσσόντων, ἀντὶ τοῦ, ἐλαύνουσι, κινοῦσιν.

252. Δικρατεῖς] Οἱ δισσοί.

253. Πεφόβημαι] Εὐλαβοῦμαι τὸ λευσθῆναι, καὶ ἄλλως μετ' αὐτοῦ, ὃν δὴ μοῖρά τις κακὴ κατέχει· λέγει δὲ τὴν [s] μανίαν. Λιθόλευστον δὲ ἄρη, τὸν θάνατον· καὶ [t] Ὅμηρος·

Γίνετ' Ἄρης ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσι.

256. Αἶσ' ἄπλατος] Ἀντὶ τοῦ μεγάλη [u] μανία.

257 Οὐκέτι [w] αὐτὸν κατέχει ἡ μανία, ἀλλὰ λήγει, ὡς ὀξὺς νότος ταχέως λήγει· ὡς γινομένων τινῶν σημείων ἐπὶ τοῖς πνεύμασιν, ὥστε παρατείνειν αὐτὰ, ἢ ταχέως πεπαῦσθαι· οἷόν ἐστι καὶ ἐν τῇ κωμῳδίᾳ·

Ἀλλ' ἔπεσε ταχέως· δειλινὸς γὰρ ἤρξατο.

Φησὶν οὖν ἡ Τέκμησα πεπαῦσθαι, ἀντὶ τοῦ συμπαθεῖν αὐτὸν τῆς μανίας, ἵνα προκόπτῃ τὰ τῆς ὑποθέσεως.

259. Καὶ νῦν φρόνιμος : Ἔμφρων γενόμενος ἤρξατο συμπαρακολουθεῖν τῇ συμφορᾷ καὶ ἀλγεῖν.

261. Μηδενὸς ἄλλου παραπράξαντος : Οἷον, μηδενὸς συμπράξαντος καὶ μετασχόντος τῶν ἁμαρτημάτων· ἡ γὰρ κοινωνία τῶν ἁμαρτημάτων φέρει τινὰ παραμυθίαν· περισσὴ δὲ ἡ παρα πρόθεσις.

264. Φρούδου] Λείπει τὸ [x] ὄντος.

*Ibid.* Μείων λόγος] Ἀντὶ τοῦ, οὐδεὶς λόγος.

265. Πότερα δ' ἂν, εἰ νέμοι τις αἵρεσιν : Εἰ δοίη τις αἵρεσιν, [y] ποῖον ἂν προκρίνειας, λυπῶν τοὺς φίλους αὐτὸς ἥδεσθαι, ἢ λυπῶν τοὺς φίλους καὶ αὐτὸς λυπεῖσθαι; ἄριστα δὲ ἔχουσιν αἱ ἀντιθέσεις, τῶν μὲν οἰομένων ἐν εὐτυχίᾳ γεγονέναι, εἰ πέπαυται τὸ κακόν· τῆς δὲ βουλόμενης παραστῆσαι, ὅτι ἐν χείροσιν ἐστὶ τὰ τοῦ Αἴαντος νῦν, ὁπότε καὶ παρακολουθεῖ τοῖς [z] ἁμαρτήμασιν· εἰπόντος δὲ τοῦ Χοροῦ ἐν εὐτυχίᾳ εἶναι, εἰ πέπαυται ὁ Αἴας τοῦ κακοῦ, ἐπάγει ἡ Τέκμησα, ὅτι κακόν ἐστι τῷ οὕτω πράξαντι καὶ τὸ πεπαῦσθαι τῶν δεινῶν· παρα-

[s] Post haec verba L. R. habent, φησὶν οὖν ἡ Τέκμησσα etc. P. E. Vid. Schol. ad v. 257.

[t] Il. ν'. 569.

[u] μανία om. R. Br.

[w] κατέχει αὐτὸν R. Br. qui mox γενομένων.

[x] Imo, οὔσης. P. E. δηλονότι ὄντος R. Br.

[y] πότερον R. Br.

[z] ἁμαρτάνουσιν L.

κολουθῶν γὰρ τοῖς πεπραγμένοις ἐν ὀδύνῃ πλείονι γίνεται· καὶ [a] Εὐριπίδης·

Τὸ γὰρ ὀρθοῦσθαι γνώμην, ὀδυνᾷ.

Πρὸς δὲ τὸ ὑπ' ἐκείνων [b] εἰρημένον, ὅτι ἐν εὐτυχίᾳ ἂν εἴημεν, εἰ πέπαυται, ἀντιτίθησιν οὕτω· πότερα ἂν ἕλοιο, εἴ σοι δοίη τις αἵρεσιν, λυπῶν τοὺς φίλους αὐτὸς ἐν ἡδονῇ διάγειν, ἢ κοινωνεῖν τοῦ παντὸς, καὶ αὐτός τε λυπεῖσθαι καὶ τοὺς φίλους λυπεῖν; οἷον, ὁ μὲν Αἴας ἐν τῇ μανίᾳ ὢν ἐτέρπετο, οἰόμενος τιμωρεῖσθαι τοὺς ἐχθροὺς, ἐγὼ δὲ ἐλυπούμην ὁρῶσα αὐτόν· [c] νυνὶ δὲ παυσάμενος τῆς μανίας, καὶ αὐτὸς λυπεῖται ἐπὶ τοῖς πεπραγμένοις, λυπεῖ δὲ πάλιν καὶ τοὺς φίλους· νῦν οὖν δεδιπλασίασται τὸ κακόν· τοῦτο δὲ ἀναπτύσσει ὁ Χορὸς διὰ [d] τοὺς ἐπιφερομένους, τό τοι διπλάζον, ὦ γύναι, [e] μεῖζον κακὸν, οἷον, τὸ ἀμφοτέρους λυπεῖσθαι.

266. Ὥσπερ ὁ Αἴας ἐν μανίᾳ ὢν, λυπῶν ἡμᾶς, αὐτὸς ἥδετο.

269. Ἡμεῖς ἄρ' οὐ νοσοῦντες: Ἡμεῖς ἀντὶ τοῦ ὁ Αἴας νῦν μὴ νοσῶν ὀδυνᾷ ἑαυτὸν διὰ τὰ πεπραγμένα.

273. Φρονοῦντας] γρ. βλέποντας.

276. Ἡμεῖς θ' ὁμοίως: Ἐμοὶ, φησὶ, κατ' ἄμφω τοὺς καιροὺς συμβέβηκεν ἀνιᾶσθαι· αὐτοῦ μὲν τότε ἐξεστηκότος καὶ τερπομένου, νῦν δὲ σωφρονοῦντος καὶ λυπουμένου.

*Ibid.* Ἡμεῖς θ' ὁμοίως] [f] Συλλυπησόμεθα.

277. Ἆρ' ἐστὶ ταῦτα δὶς τόσ' ἐξ ἁπλῶν: [g] Ἁπλῶν μὲν, τὸ τοὺς φίλους ἀνιᾶν· δὶς τόσα δὲ, ὅτι καὶ αὐτὸς συναλγεῖ.

279. Πῶς γὰρ εἰ πεπαυμένος: Πῶς γὰρ οὐ θεῖόν τι εἴη τὸ κατὰ τὸν Αἴαντα, εἰ πεπαυμένος τοῦ κακοῦ μᾶλλον ἐν ἀνίᾳ διάγει.

*Ibid.* Πεπαυμένος, ἀντὶ τοῦ σωφρονῶν.

281. Ὡς ὧδ' ἐχόντων] Ὅτι κάκιον νῦν ἐκεῖνος ἔχει.

282. Τίς γάρ ποτ' ἀρχή: Ἀντὶ τοῦ, τίς ἡ προσβολὴ τοῦ κακοῦντος αὐτὸν θεοῦ;

285. Κεῖνος γὰρ ἄκρας νυκτός: Περὶ πρῶτον ὕπνον· πιθανῶς δὲ καὶ τὸ τοῦ χρόνου πρόσκειται· οἱ γὰρ ἐπιβουλεύοντες, τότε τὰς ἐξόδους ποιοῦνται, ὥστε λαθεῖν τὰς παραφυλακάς.

[a] Hippol. 249.
[b] εἰρημένων L.
[c] νῦν R. Br. qui infra νυνί.
[d] τῶν ἐπιφερομένων R. Br
[e] κακὸν μεῖζον L.
[f] Gl. om. R. Br.
[g] ἁπλοῦν R. Br.

285. Ἄκρας νυκτὸς] [g] Οἷον κατὰ τὴν ἑσπέραν.

*Ibid.* Ἡνίχ' ἕσπεροι : Ἢ ὅτε οὐκ ἔφαινον ἔτι οἱ ἕσπεροι ἀστέρες, ἢ ὅτε ἐσβέσθησαν οἱ λύχνοι· συνετῶς δὲ, καὶ οὐ κατὰ μαινόμενον, καὶ ἐκ [h] τοῦ καιροῦ γὰρ ἐννοίας ἐπιβουλεύοντος ἐπιθέσθαι περὶ πρῶτον ὕπνον. Λαμπτῆρες δὲ, οἱ κατὰ τὴν οἰκίαν φαίνοντες λύχνοι.

*Ibid.* Ἕσπεροι] [i] Οἱ κατὰ τὴν ἑσπέραν.

286. Ἦιθον] Ἀντὶ τοῦ ᾔθοντο.

287. Ἐμαίετο] Ἐζήτει.

*Ibid.* Κενάς] Τὰς οὐκέτι [k] χρήσιμον γινομένας.

288. Ἐπιπλήσσω] Ἐνίσταμαι.

290. Πεῖραν] Πορείαν, ὁδόν.

*Ibid.* Οὔτε τοῦ : Ὥσπερ παρὰ Αἰολεῦσι τὸ ὅτινα κοινόν ἐστι κατὰ γένος, οὕτω καὶ παρ' Ἀττικοῖς τὸ οὔτε τοῦ, ὅταν οὕτω συντάσσηται, κοινῶς λέγεται.

292. Ἀεὶ δ' ὑμνούμενα] Ἀεὶ θρυλούμενα ὑπὸ πάντων ἀνθρώπων, καὶ κοινά· ἢ ἀεὶ ὑπ' αὐτοῦ λεγόμενα πρὸς ἐμέ· ὅμοιον δὲ τὸ ἦθος ἐκείνῳ·

> [l] Ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σαύτης ἔργα κόμιζε.

294. Μαθοῦσ' ἔληξα] [m] Ἴσως φοβηθεῖσα αὐτὸν οὐ διεκώλυσεν.

295. Καὶ τὰς ἐκεῖ μὲν οὐκ ἔχω λέγειν : Τοῦτο μὲν ἀγνοεῖ ἡ Τέκμησσα λέγειν, τοῦτο δὲ προεῖπεν [n] αὐτὰ ὁ ποιητής· ὡς ἐνοχλεῖν οὐ δεῖ τὸν θεατὴν ταυτολογοῦντα.

297. Κύνας βοτῆρας : [o] Τοὺς ποιμενικοὺς κύνας· οὐ γὰρ ἀναιρεῖ κατὰ τὴν σκηνὴν ἄνθρωπον· ἀλλ' ὡς ἔξω τινὰς ἀνεῖλεν.

298. Ηὐχένιζε] Τὸν τράχηλον ἀπέκοπτεν, ἐλαιμοτόμει.

299. Ἔσφαζε [p] κἀρράχιζε : Ὅπερ Ὅμηρος αὖ ἐρύειν φησὶν, ὥστε κατὰ τοῦ λαιμοῦ γίνεσθαι τὴν σφαγήν.

300. Ὥστε φῶτας] Δηλονότι κύνας βοτῆρας [q] ὥστε φῶτας.

301. Τέλος δ' [r] ἀπαΐξας : Ἡ μὲν Τέκμησσα ἠγνόει τίνι διείλεκται· [s] ἡμεῖς δὲ μεμαθήκαμεν ἐκ τοῦ προλόγου, ὅτι Ἀθηνᾶ ἦν ἡ λα-

[g] οἱ R. Br.
[h] τῆς τοῦ R. Br.
[i] Deest gl. R. Br.
[k] χρησίμως R. Br.
[l] Il. ζ'. 490.
[m] ἴσως om. R. Br. qui mox διεκώλυσα.
[n] αὐτῷ R. αὐτὸς Br. Uterque mox καὶ pro ὡς. Tum ἐνοχθεῖν L.
[o] Praemisit Br. e Suida, ὑφ' ἓν ἀναγνωστέον.
[p] καράχιζε L.
[q] ὥστε φῶτας om. R. Br.
[r] ὑπαΐξας R. Br.
[s] ἡμεῖς δ. μ. om. R. Br.

λήσασα αὐτῷ· τὸ δὲ σκιᾷ τινὶ, ὅτι οὐ συνέβαλεν τὰ περὶ τὴν θεὸν, καὶ ὅτι ἴδιον τοῖς μαινομένοις [t] τὸ τοῖς ματαίοις λαλεῖν· ἀγνοοῦσα δὲ ὅτι ἡ Ἀθηνᾶ αὐτὸν ἐκάλεσεν, διὰ τοῦ [u] ἀπαίξας τὴν ἔξοδον τῇ μανίᾳ ἀνατίθησιν.

303. Συντιθεὶς γέλων πολύν] Τουτέστι, ῥήματα καταγέλαστα λέγων κατὰ τῶν κριῶν, [w] ὡς κατὰ ἀνθρώπων ἐποιεῖτο τὴν κόλασιν.

307. Καὶ πλῆρες ἄτης] Οὐχ ὅτι τοῦτο ἀλγεινὸν τὸ ἀνελεῖν τὰ ποίμνια, ἀλλ' ὅτι διήμαρτεν τῆς τιμωρίας τῶν ἐχθρῶν.

308. Θώϋξεν: Ἐβόησεν. Τὸ δὲ ἑξῆς· ἐν δὲ τοῖς ἐριπίοις τῶν νεκρῶν τοῦ ἀρνείου [x] φόνου.

*Ibid.* Ἐν δ' ἐριπίοις νεκρῶν: Ἐν τοῖς πτώμασι τῶν νεκρῶν καταπεσὼν ἔκειτο. Θαυμαστῶς δὲ ὑπ' ὄψιν ἤγαγεν τὰ πράγματα, μεταξὺ τῶν πτωμάτων τὴν φαντασίαν ἐπιδεικνὺς, οἷον καὶ τὸ παρ' Ὁμήρῳ περὶ τοῦ Κύκλωπος·

[y] τανυσσάμενος διὰ μήλων.

Ἐριφθεὶς [z] δὲ, ἀντὶ τοῦ καταπεσὼν, ἐρριμμένος· πάντα γὰρ τὰ ἐπὶ τὴν ἔραν πίπτοντα, [a] ἐρίπια καλοῦνται· καὶ αἱ ῥιπαὶ [b] ἐνταῦθα, καὶ τὰ ἐρίπια. Τινὲς δὲ ἐρεισθεὶς γράφουσιν, οἷον ἐπερεισάμενος.

309. Ἐρειφθεὶς] γρ. ἐρεισθείς.

312. Οὐκ ἔχων ἐπιβολὴν τῆς αἰτίας τῶν πεπραγμένων, ἐμὲ ἠρώτα τὸ συμβάν· πάνυ δὲ περιπαθὲς τὸν ἐμφρονέστατον Αἴαντα παρὰ τῆς γυναικὸς πυνθάνεσθαι, τίνα ἐστὶν ἃ ἔπραξεν αὐτός.

314. Κύροι] Τὸ κυρῶ περισπωμένως φησὶν ἡ συνήθεια, καὶ Ἀττικοί· ἐν δὲ εὐκτικοῖς βαρύνουσιν αὐτὸ Ἀττικοὶ μετὰ ἐκτάσεως τοῦ ῡ, κύροι λέγοντες, ἀντὶ τοῦ κυροίη· νῦν δὲ ἀντὶ τοῦ κυρεῖ ὁριστικοῦ κεῖται.

317. Οὐκ εἰώθει, φησὶν, ὁ Αἴας ἐν τοῖς κακοῖς ἀπολοφύρεσθαι, ἀλλ' ἦν καρτερικός· ἔλεγεν οὖν, φησὶν, ἀεὶ, κακοῦ ἀνδρὸς τὸ ὀλοφύρεσθαι, ὁποῖον φησὶν καὶ ὁ Ἡρακλῆς ἐν Τραχινίαις·

[c] Ἀλλ' ἀστένακτος αἰὲν εἱπόμην κακοῖς.

Ὁ οὖν Αἴας πρὸ τούτου, εἰ συνέβη τι αὐτῷ δεινὸν, ὡς ταῦρος [d] ἀνεβρυκᾶτο ἀνεξάκουστον· οὐδέποτε δὲ εἰς προφανῆ γόον ἐξέπιπτεν.

[t] καὶ R. Br.
[u] ἐπαΐξας R. ὑπαίξας Br.
[w] ὡς εἰ Br.
[x] φόνου ἐρειφθεὶς, ὅ ἐστιν ἐν δὲ τοῖς πτώμασι R. Br.
[y] Od. ί. 298.
[z] δὲ om. R. Br.
[a] ἐρείπια Br. Infra ἐρείπια R. Br. Sic etiam supra.
[b] ἐντεῦθεν, ὡς R. Br.
[c] V. 1074.
[d] ἀνεβρυχᾶτο R. Br.

317. Ἐξῴμωξεν] Ἐξάκουστον ᾤμωξεν.

319. Κακοῦ] Δειλοῦ.

*Ibid.* Βαρυψύχου] Μικροψύχου, καταπεπτωκότος τὴν ψυχήν.

320. Ἐξηγεῖτο] Ἐξήγησις ἐπὶ θείων, ἑρμηνεία ἐπὶ τῶν τυχόντων.

325. Σιδηροκμῆσιν] Τῷ σιδήρῳ φονευθεῖσιν, ὡς ἀνδροκμῆσιν.

326. Καὶ δῆλός ἐστιν ὥς τι δρασείων: [e] Προεκτικὰ πρὸς τὸν ἀκροατὴν, ἵνα προσέχῃ ἀκριβέστερον, προσδοκῶν τὸ συμβησόμενον.

327. Ἐοικότα κατά τινα τρόπον [f] καὶ λέγει καὶ ὀδυνᾶται, τῷ βούλεσθαι δηλονότι δράσειν κακόν τι.

328. Ἀλλ' ὦ φίλοι τούτων γὰρ οὕνεκ' ἐστάλην: Πιθανὴν τὴν πρόφασιν τῆς ἐξόδου φησὶν, ἵνα μὴ δόξῃ τὸν Αἴαντα ἐν τοιαύτῃ συμφορᾷ καταλελοιπέναι. [Εἰς τὸ αὐτό.] [g] Τοῦτο πρὸς τὸ μέγεθος τῆς συμφορᾶς.

329. Τὸ ἐστάλην κυρίως ἐπὶ θαλάσσης· οἷον, ἐστείλατό τις τὸν πλοῦν.

330. Φίλων γὰρ οἱ τοιοίδε νικῶνται: Δηλονότι καὶ οἱ κακοπραγοῦντες ἀπονέμουσιν αἰδῶ τινα τοῖς φίλοις· ἡ οὖν Τέκμησσα, ἅτε δὴ γυνὴ οὖσα καὶ αἰχμάλωτος, οὐχ [h] οἵα τε αὐτὸν παραμυθεῖσθαι· ἀλλὰ τὸν Χορὸν προτρέπεται εἰσιέναι· ἐπειδὴ δὲ ἄτοπον τὸν Χορὸν ἀπολιπεῖν τὴν σκηνὴν, ἀναβοᾷ ἔνδοθεν ὁ Αἴας, ἵνα μείνῃ ἐπὶ χώρας ὁ Χορός· τοῦτο γὰρ ἐπόθει ὁ θεατής. [Εἰς τὸ αὐτό.] Οἱ τοιοίδε φίλοι, ὁποῖοι ἐστὲ ὑμεῖς, νικῶνται φίλων, ἤγουν ἡττῶνται· ἡττᾶται δὲ ὁ ἐρῶν τινὸς, καὶ πολλὴν ἀγάπην εἰς αὐτὸν τρέφων· κρατεῖ δὲ ὁ ἐρώμενος.

332. Διαπεφοιβᾶσθαι: [i] Ἐκμεμηνέναι· παρὰ τὸν φοῖτον· ἢ ἀπὸ τῶν φοιβωμένων καὶ ἐνθουσιώντων· καὶ γὰρ ἐκεῖνοι μανίᾳ τινὶ ὁμοῖον πάσχουσι τί.

333. Ἰώ μοι μοι] [k] Ὁ Αἴας ἔνδοθεν ἀναστενάζει.

334. Τάχ' ὡς ἔοικε: Τάχα, ὡς φαίνεται, μᾶλλον στενάζει, ὡς νῦν αὐτοῦ μᾶλλον παρωξυμμένου ἢ πρότερον· εἶτα πρὸς τὸν Χορὸν τὰ ἑξῆς· ἢ οὐκ ἠκούσατε [l] Αἴαντος, οἵαν τήνδε θωΰσσει βοήν; ἐμφαντικῶς δὲ τὸ θωΰσσει. Καὶ γὰρ δεῖ [m] τὸν ὑποκρινόμενον τὸ τοῦ Αἴαντος

[e] προσεκτικὰ R. Br.

[f] καὶ λέγει κωιδύρεται ut lemma R. Haec verba om. Br. Mox δράσειν δηλονότι R. Br.

[g] Haec in princ. glossae praecedentis R. Br.

[h] οἷά L. R.

[i] ἐκμηνέναι L.

[k] Gl. om. R. Br.

[l] Αἴαντα L.

[m] τὸ L.

πρόσωπον ἀπηνεστέρῳ χρήσασθαι τῷ φθέγματι, καὶ κυνικώτερον βαΰζειν· διὰ τοῦτο εἶπεν θωΰσσει.

335. Θωΰσσει] [m] Βαΰζει.

337. Ἀνὴρ ἔοικεν ἢ νοσεῖν: Ἢ ἔτι νοσῶν ἀναβοᾷ, ἢ μεταγνοὺς ἐπὶ τοῖς [n] πεπραγμένοις.

*Ibid.* Τοῖς πάλαι] Τοῖς πεπραγμένοις ὑπὸ τοῦ παλαιοῦ νοσήματος.

339. Ἰὼ παῖ παῖ: Παρέλκει τὸ παῖ. Ἡ δὲ Τέκμησσα ἐνόμισεν αὐτὸν τὸν παῖδα καλεῖν.

340. Ὦ μοι τάλαιν᾽, Εὐρύσακες: Ἀπορούσης τὸ ἦθος· τὸ μὲν ἀποιμώζει, τὸ δὲ καλεῖ τὸν παῖδα· εἶτα πρὸς ἑαυτὴν ἐπαπορεῖ, τί ποτε μενοινᾷ· καὶ πάλιν καλεῖ τὸν παῖδα, καὶ ἑαυτὴν ἀπολοφύρεται· λεληθότως δὲ ἐνεφάνισεν καὶ τὸ τοῦ παιδὸς ὄνομα· ἐδεδίει δὲ, μὴ ἀνέλῃ αὐτὸν μαινόμενος.

*Ibid.* Ἀμφί σοι] Περὶ σοῦ.

341. Τί ποτε μενοίνᾳ] [o] Πρὸς τὸν Αἴαντα λέγει τοῦτο.

*Ibid.* Μενοινᾷ] Προθυμῇ.

*Ibid.* Ποῦ πότ᾽ εἶ] Ὁ παιδαγωγὸς αὐτὸν ἔξω εἶχεν. [Εἰς τὸ αὐτό.] Πρὸς τὸν Εὐρυσάκην.

342. Τεῦκρον καλῶ. Ποῦ Τεῦκρος: Μεταβαίνει ὁ Αἴας ἐπὶ πολλὰ, ἵνα δὴ πλείονες αἱ ἀγωνίαι [p] γίνωνται. Ἄλλως. Ἴδιον τοῦ κακῶς ἔχοντος, τὸ μὴ ἐφ᾽ ἓν τῶν λυπούντων ποιεῖσθαι τὴν ἀναφοράν· ἐπιζητεῖ δὲ Τεῦκρον, ἵνα παράθηται αὐτῷ τὸν παῖδα, ὃν ἀφίησι τῷ Χορῷ, μὴ εὑρὼν τὸν Τεῦκρον· τὸ δὲ ἀπεῖναι Τεῦκρον, χρήσιμον τῇ οἰκονομίᾳ· παρὼν γὰρ [q] ἐκώλυεν αὐτὸν πρᾶξαι ἃ ἐβούλετο· νῦν δὲ μόνης τῆς γυναικὸς ἐγένετο κρείττων.

344. Ἀνὴρ φρονεῖν ἔοικεν· ἀλλ᾽ ἀνοίγετε: Ἐκ τοῦ καλεῖν τὸν Τεῦκρον στοχάζονται, καὶ ἀνοίγειν κελεύουσιν, ἵνα [r] αἰδεσθείη θεασάμενος· οἷον, τάχ᾽ ἂν αἰδεσθείη με· ἢ οἷον, τάχα ἂν ἐφ᾽ ἡμῖν αἰδεσθῇ, ἀπολιπὼν ἡμᾶς ἀνάρχους καὶ ὑποχειρίους τοῖς ἐχθροῖς.

346. Διοίγω] Ἀνοίγω.

*Ibid.* Προσβλέπειν δ᾽ ἔξεστι: Ἐνταῦθα [s] ἐκκύκλημά τι γίνεται,

[m] Gl. om. R. Br.

[n] πεπραγμένοις ὑπὸ τοῦ παλαιοῦ νοσ. R. Br.

[o] Sequentia eadem fere R. Br. sed paulo aliter collocata.

[p] γίνονται L.

[q] ἐκώλυεν ἂν Br.

[r] αἰδεσθῇ Br. qui infra ἐφ᾽ ἡμῖν αἰδεσθείη.

[s] MS. ἐν κυκλήματι γὰρ, unde ed. Rom. ἐγκύκλωμά, τι γίγνεται. Rectius vero Brunckius ἐκκύκλημά τι γίγνεται. P. E.

ἵνα φανῇ ἐν μέσοις ὁ Αἴας ποιμνίοις· εἰς ἔκπληξιν γὰρ φέρει καὶ ταῦτα τὸν θεατὴν, τὰ ἐν τῇ ὄψει περιπαθέστερα· δείκνυται δὲ ξιφήρης, ᾑματωμένος, μεταξὺ τῶν ποιμνίων καθήμενος.

347. Τὰ τοῦδε πράγη] Τὰς πράξεις, ἃς οὗτος εἰργάσατο.

*Ibid.* Ὡς ἔχων κυρεῖ] Τουτέστιν ὡς διάκειται.

348. Ἰὼ φίλοι ναυβάται: Τάχιστα τὸ πᾶν ἀπήγγειλεν τῷ τροπικῷ· βούλεται δὲ σημᾶναι, ὅτι [t] ἐκ μεγάλου χειμῶνος ὥσπερ ὑπὸ κινήσεως ἀνέμων κῦμά τι ὑπολειφθὲν ἀπὸ τοῦ γεγονότος χειμῶνος κυκλεῖ αὐτόν· μετὰ γὰρ τὸν χειμῶνα εἴωθεν τὸ κῦμα ἐπιπλέον μένειν· λείπει δὲ τὸ ὡς, ἵν' ᾖ, ὡς ἀμφίδρομον, οἷον, τὸ πανταχόθεν περιτρέχον, ἐξ οὗ τὴν ὑπερβολὴν τοῦ κακοῦ σημαίνει, ὅτι κατ' οὐδὲν αὐτῷ ἐν εὐδίᾳ ἦν τὰ πράγματα.

350. Ὀρθῷ νόμῳ] [u] Ὀρθὸν νόμον, τὸν τῆς φιλίας φησίν.

353. Ἀμφίδρομον, τὸ ἑλικοειδὲς, ὃ βαπτίζει τὰς ναῦς.

354. Οἵ μ' ὡς ἔοικας: Ὁ Χορός ἐστιν ὁ λέγων· οὐ γὰρ εὐπρεπὲς τὴν Τέκμησσαν τὸν λόγον ὑφαρπάζειν λεγόμενον πρὸς τὸν Χορόν· ἐν ταῖς γὰρ ἀμφιβολίαις τῶν προσώπων δεῖ τοῦ ἤθους στοχάζεσθαι, καὶ διαστέλλειν τὸ πρόσωπον. [w] Ἔοικεν οὖν, φησὶν, ὅτι ἐν μεγάλῳ χειμῶνι γέγονας· τὸ γὰρ ἀφροντίστως, οἷον, διὰ τὸ μηδένα ἐπιμεληθῆναί [x] σε, ἐν χειμῶνι γέγονας. Ἢ οὕτω· πρὸς τὴν Τέκμησσαν ὁ λόγος· νομίζω σε ἀληθῆ μοι μεμαρτυρηκέναι περὶ τῆς μανίας [y] Αἴαντος· οὕτως γὰρ τὸ πρᾶγμα δείκνυσιν ἡμῖν, ὅτι μανικῶς διετέθη.

355. Ἀφροντίστως] Μανικῶς.

356. Ναΐας] Τῆς ναυτικῆς· ἐπεὶ ναυτικοὶ δοκοῦσιν οἱ νησιῶται.

358. Ἐπέβας] Τῶν νεῶν δηλονότι.

*Ibid.* Ἑλίσσων] Κωπηλατῶν· εἴρηται δὲ παρὰ τὸ ἀμφιελίσσας.

360. Ποιμένων: Τῶν [z] κηδομένων, τῶν βοηθῶν· ὡς καὶ ποιμαίνειν, τὸ φροντίζειν. [Εἰς τὸ αὐτό.] [a] Ποιμένων, τῶν ἐμὲ ποιμαινόντων καὶ θαλπόντων· τὴν αὐτὴν οὖν μοι προαίρεσιν λάβε, καὶ εὖξαι με ἀποθανεῖν, ἢ [b] σφάξον με σὺν τοῖς θρέμμασιν. Οὐ διὰ τὴν ἧτταν δὲ τῶν ὅπλων πικρὸς ὢν βούλεται ἀναιρεῖσθαι, ἀλλὰ τὸ ὄνειδος ὑφορώμενος

[t] ὥσπερ ἐκ μεγάλου χειμῶνος ὑπὸ κ. R. Br.
[u] Alia sede Br.
[w] ἔοικας R. Br.
[x] σου R. Br.
[y] τοῦ Αἴαντος R. Br.
[z] κηδεμόνων R. Br.
[a] ποιμένων οὖν R. Br.
[b] σφάζων R.

τῶν ποιμνίων· ἐν τούτῳ δὲ τὸ ἦθος, καὶ ἡ μεγαλοφροσύνη δείκνυται τοῦ Αἴαντος.

360. Ἐπαρκέσοντα] Ὑπηρετήσοντα.

361. Συνδάϊξον] Ὁμοῦ [c] διαφθείρετε.

362. Εὔφημα φώνει. Μὴ κακόν: Τὸ ἑξῆς· μὴ, κακὸν κακῷ διδοὺς ἄκος, μεῖζον ποίει τῆς ἄτης τὸ πῆμα· ἄτην δὲ, τὴν μανίαν· πῆμα δὲ, τὸν θάνατον, ὅ ἐστιν χεῖρον τῆς μανίας· τοῦτο δὲ φησὶν, ἐπεὶ ὁ Αἴας λέγει τῷ Χορῷ· ἀλλὰ [d] σύ με δάϊξον. Ἄλλως. Μὴ θεραπείαν κακοῦ ἕτερον κακὸν ἐπεισαγάγῃς, [e] οἷον, μὴ τῷ θανάτῳ διαλύσῃς τὸ ὄνειδος· πῆμα δὲ ἄτης, κατὰ περίφρασιν, ἄτην· μὴ τὴν ἄτην πλείονα ποιήσῃς· ἀρκεῖ γὰρ ἡ παροῦσα.

366. Ἀφόβοις] Τοῖς μὴ φόβον ἐμποιοῦσι. [f] Θηρσὶ δὲ, προβάτοις.

*Ibid.* Δεινόν] Φοβερόν.

*Ibid.* Χέρας] Κατὰ τὴν ἰσχύν.

367. Οἷον ὑβρίσθην ἄρα: Ὅτι οὐδὲν αὐτοῦ ἄλλο ἅπτεται, ὡς τὸ τῆς ἀσχημοσύνης, ὅτι κατὰ τῶν μηδενὸς ἀξίων ἠνδρίσατο.

368. Μὴ δέσποτ' Αἴας: Τοῦτο Τεκμήσσης ἐστὶ, καὶ παρὰ μέρος γίνονται αἱ παραμυθίαι, οἷα τὰ τῶν φίλων ἐστὶν ἐν ταῖς [g] τοιαύταις συμφοραῖς παραμυθουμένων, ἵνα ἐκεῖνος μὲν ἀπαράλειπτον ἔχῃ τὴν παραμυθίαν, οἱ δὲ ἐν μέρει [h] τυγχάνωσιν ἀναπαύλης. Τὸ δ' ἔκτος οὐκ ἄψορρον πρὸς τὴν Τέκμησσαν φησίν· ἐκείνοις μὲν γὰρ διαλέγεται Αἴας δεόμενος αὐτῶν· ἐνταῦθα δὲ τῇ Τεκμήσσῃ ἐπιπλήσσει· εἰώθαμεν γὰρ τοῖς ἐγγυτέρω παρρησιάζεσθαι· οὐχ ὡς αἰχμάλωτον ἐξουθενῶν.

369. Ἄψορρον] Ὀπισθόρμητον.

*Ibid.* Ἐκνεμῇ] Ἐξάξεις.

371. Ὦ πρὸς θεῶν: Τοῦτο ὁ Χορὸς, τῆς Τεκμήσσης σιγησάσης διὰ τὴν ἐπιτίμησιν· οὐ μὴν πρὸς τοῦτο ἀποκρίνεται ὁ Αἴας, ἀλλ' ἀνοιμώζει πάλιν· ἔστι γὰρ καὶ τοῦτο ἴδιον τῶν καμνόντων, ὥστε μὴ ἀκολούθως φθέγγεσθαι.

375. Κλυτὰ λέγει τὰ αἰπόλια, διὰ τὰς ἐν αὐτοῖς ταραχὰς καὶ φωνάς.

[c] διαφθείρατε R. Br.
[d] σύν R. Br.
[e] ἤγουν R. Br. qui mox τὴν ἄτην.
[f] θηρσὶ δὲ om. R. Br.
[g] τοσαύταις Elmsleii apogr.
[h] τυγχάνσιν (υ superscript) L. τυγχάνουσιν R.

377. Ἐπ' ἐξειργασμένοις: Ἐπὶ τετελεσμένοις, καὶ ἴασιν οὐκ ἔχουσιν, κατὰ τὸ Σιμωνίδου·

Τὸ γὰρ γεγενημένον οὐκ ἔτ' ἄρεκτον ἔσται.

378. Ὅπως οὐχ ὧδ' ἔχειν] Ὅπως ταῦτα μὴ οὕτως σχοίη. [Εἰς τὸ αὐτό.] Οὐχ οὕτως διακεῖσθαι.

379. Ἰὼ πάνθ' ὁρῶν] Πανοῦργε καὶ περίεργε.

381. Κακοπινέστατον: Τὸν πίνον ποτὲ μὲν ἐπὶ τῆς ἰδέας, ποτὲ δὲ ἐπὶ τοῦ ἤθους· ἐνταῦθα οὖν τὸν κακοήθη· ἀντὶ τοῦ κολάκευμα, τρίμμα, κακορύπαρον· πινῶδες γὰρ, ἀδόκιμον τῇ γνώμῃ, καὶ οὐ καθαρόν· ἄλλοτε ἄλλα νοῶν.

*Ibid.* Ἄλημα] [g] Ἀπάτημα.

382. Τοῦτο μάλιστα αὐτοῦ ἅπτεται, τὸ τῷ ἐχθρῷ καταγέλαστον εἶναι.

383. Ξὺν τῷ θεῷ πᾶς καὶ γελᾷ: Κινδυνεύει εἰς ἐναντίον εἶναι τὸ διανόημα, ἐὰν νομίζωμεν φάσκειν τὸν Χορὸν, ὅτι θεοῖς ἀρέσκει γελᾶν ἐκεῖνον καὶ ἐφήδεσθαί σοι· τοῦτο γὰρ προτροπὴν μᾶλλον φέρει εἰς τὸν θάνατον Αἴαντι· ἀκουστέον οὖν οὕτως· οὐχ ὅτι θεῷ ἀρέσκει γελᾶν ἐκεῖνον· ἀλλ' ὅτι, θεῶν βουλομένων, καὶ τὰ κακὰ μεθίσταται εἰς τέρψιν· εἰκὸς οὖν καὶ ἡμῖν, φησὶν, [h] βοηθήσειν τὸ θεῖον. Ἢ οὕτω· θεὸς καὶ τὸ γελᾶν καὶ τὸ κλαίειν δίδωσι· πῶς οὖν σου ἔχει καταγελάσαι Ὀδυσσεὺς, αἴτιός σοι γεγονὼς τῆς ἀτυχίας, ὅπου γε παρὰ θεῶν δίδοται;

384. Τοῦ Χοροῦ τὸν περὶ [i] θεῶν λόγον ἐμβαλλομένου, οὐκ ἐφίεται ὁ Αἴας, ἀλλ' ὑπὸ τῆς ἰδίας δυνάμεως ἐπαίρεται· φησὶν οὖν· ἴδοιμι αὐτὸν, καίπερ οὕτως κακούμενος· δῆλον γὰρ ὅτι [k] ἀμύνομαι, εἰ καὶ θεοὶ συλλαμβάνουσιν [l] αὐτῷ.

*Ibid.* Ἀτώμενος] Ἄτης πεπληρωμένος.

386. Μηδὲν μέγ' εἴπῃς] Ὁποῖον καὶ τὸ ἐν Ἠλέκτρᾳ·

[m] Μηδὲν μέγ' ἀΰσῃς·

τοῦτο δὲ πρὸς τὸ, Ἴδοιμί νιν, καίπερ ὧδ' ἀτώμενος.

387. Ὦ Ζεῦ] Αἱ τοιαῦται προσφωνήσεις οὐ διαλύουσι τὴν ὑπόθεσιν, παραλαμβάνουσαι τὸ μέλλον· ἀλλὰ προσοχὴν ἐργάζονται τῷ θεατῇ [n] προσδοκῶντι πῶς τὸ δεινὸν [o] ἀπαντήσειεν.

[g] Gl. om. R. Br.
[h] βοηθῆσαι R. Br. βοηθήσει L.
[i] θεοῦ R. Br.
[k] ἀμυνοῦμαι Br.
[l] αὐτοῦ L.
[m] V. 830.
[n] προσδοκοῦντι R.
[o] ἀπαντήσει Br.

389. Ἄλημα: [p] Πλάνημα καὶ παραλογιστικὸν πανούργημα, ἢ περίτριμμα· παρὰ τὸ βλέπειν.

392. Ἐπειδὴ τῆς παραμυθίας οὐκ ἠδυνήθη αὐτὸν μεταθεῖναι, δοκεῖ ἐκ τούτων αὐτὸν μεταθεῖναι· κἀμοὶ οὖν εὔχου ἀποθανεῖν.

395. Ὡς ἐμοί] Τουτέστιν, ὡς ἐμοὶ φαεινότερον τοῦ ἡλίου. [q] ὡς ἐμοὶ χρῆσθαι κριτῇ· ἢ παρέλκει τὸ ὡς. [[r] Εἰς τὸ αὐτό.] Ὡς εἴ τις τὸν θάνατον σωτηρίαν νομίσειεν.

396. [s] Ἑλέσθαι ἀντὶ τοῦ προτιμῆσαι· καὶ εἵλετο νίκην τις, ἀντὶ τοῦ ἔλαβεν· ἐνταῦθα δὲ ἕλεσθε ἀντὶ τοῦ ἁπλῶς λάβετε.

397. Οὔτε γὰρ θεῶν γένος, οὔτε ἀνθρώπων γένος ὁρᾷν ἔτι ἄξιόν μοι εἰς ὠφέλειαν· ἄριστον τοίνυν ἐξιέναι τοῦ βίου. Ἢ οὕτως· εἰς ὄνησιν ἀνθρώπων. Ὠφέλεια οὐκ εἰσί μοι οἱ ἄνθρωποι, οὔτε οἱ θεοί· τί οὖν ζῶ;

398. Ἀμερίων ἀνθρώπων] [t] Τὸ ἐξ ἀμερίων ἀνθρώπων.

400. Εἰς ὄνησιν] [t] Εἰς ἡδονήν.

401. Ἀλλά μ' ἁ Διός] Καὶ ταῦτα χρησίμως κατὰ τὸν Χορὸν, ἵνα [u] ἐπίστανται πόθεν ἡ καταρχὴ τῆς μανίας· ἔδει οὖν οὐ παρὰ ἄλλου μαθεῖν, ἢ παρ' ἐκείνου τοῦ πεπονθότος· συνίησι γὰρ πεπλανημένος ὑπὸ [w] Ἀθηνᾶς· ἡ γὰρ Τέκμησσα τὸ ὅλον ἀγνοεῖ.

402. Ὀλέθριον] Μέχρι θανάτου.

403. Φύγῃ: γρ. τράπῃ.

404. Ποῖ μολὼν μενῶ] Ποῖ ἐλθὼν παραμενῶ; πανταχοῦ γὰρ ἕπεται ἡ θεὸς αἰκιζομένη.

405. Εἰ τὰ μὲν φθίνει] [x] Τὴν κατὰ τὴν κρίσιν τῶν ὅπλων.

407. Μώραις δ' ἄγραις] Διὰ τὴν ἀναίρεσιν τῶν βοτῶν.

408. Δίπαλτος: Ἀμφοτέραις ταῖς χερσὶν, οἷον περιδεξίως με φονεύοι· παντὶ σθένει, ὡς Δίδυμος· ἢ ὁ στρατός με φονεύοι, λαβὼν τὰ δίπαλτα δοράτια, ὡς Πίος φησίν.

410. Τοιάδ' ἄνδρα χρήσιμον: Τοιαῦτα φωνεῖν, ἃ πρότερον οὐκ ἂν ἔτλη γενναιότατος ὤν. Τὴν ἀπὸ τῶν ἐχθρῶν ἐπιβουλὴν προβάλλεται.

412. Πόροι: Ποταμοὶ εἰς θάλασσαν ῥέοντες· οὐ τοὺς ἐν Σαλαμῖνι δὲ φησὶν, ἀλλὰ τοὺς ἐν Τροίᾳ.

[p] πλάνη R. Br. qui in fine λέπειν.
[q] Euripid. Alc. 800.
[r] λέγει δὲ σκότος ἐμὸν φάος ὡς R. Br.
[s] ἑλέσθαι—ἔλαβεν om. R. Br.
[t] Gl. om. R. Br.
[u] ἐπίστανται καὶ ὅθεν R. ἐπίστωνται καὶ ὅθεν Br.
[w] τῆς Ἀθηνᾶς R. Br.
[x] διὰ τὴν κρίσιν R. Br.

412. Πόροι] Ποταμοί.

413. Πάραλα] Θαλάσσια.

*Ibid.* Νέμος ἐπάκτιον] Τὸ ἄλσος τοῦ ὄρους τῆς Ἴδης τὸ παράλιον.

417. Ἀμπνοὰς ἔχοντα] Ζῶντα.

*Ibid.* Τοῦτο] Ὅτι οὐκ ἔχω ἔτι ζῆν.

419. Ἰὼ Σκαμάνδριοι: Οὐκ ἔστιν ἡ διαστολὴ πρὸς τοὺς Τρῶας, ὡς τοῦ Σκαμάνδρου μᾶλλον τὰ τῶν Ἑλλήνων αἱρουμένου· ἀλλ' οἷον, ἐμοὶ ἐχθραὶ ῥοαὶ, εὔφρονες δὲ τοῖς Ἀργείοις τοῖς ἐμοῖς [ἐχθροῖς·] ταῦτα δὲ πάντα ἐστὶ τοῦ ἀνακρουομένου τὸν θάνατον.

420. Εὔφρονες Ἀργείοις] Διὰ [y] τὸν ποτόν. [Εἰς τὸ αὐτό.] [z] Ἔμφρων ὁ φρόνιμος· εὔφρων ὁ ἡδύς.

421. Οὐκέτ' ἄνδρα: Οὐ νεμεσητὸν [a] Αἴαντι μεγαλαυχεῖσθαι. ὅταν μὲν γάρ τις ἐν μετρίᾳ διαγωγῇ ᾖ, τότε εὔσχημον περιστέλλειν τὰ ἑαυτοῦ πλεονεκτήματα· ἀπηυδηκότα δὲ ἄνδρα οὐκ ἄν τις μέμψαιτο [b] εἰ μεγαλαυχεῖται, ὁποῖα καὶ ὁ Ἡρακλῆς ἐν τῷ τέλει ὧν περὶ τῆς ἀνδρείας αὐτοῦ διέξεισι· καὶ γίνεται ἐπίτασις τοῦ πάθους, ὁπόταν τὸ τοιοῦτο διαφθείρηται· ἔτι δὲ αὔξεται τὸ πάθος οὐχ ὑπὸ ἄλλου λεγόμενον, ἀλλ' ὑπὸ αὐτοῦ.

422. Ἔπος ἐξερέω μέγα] Κομπάσω.

427. Προκεῖμαι] Προκείμενός εἰμι, εἰς ὄψιν πάντων δηλονότι.

428. Ὁ Χορός ἐστιν ὁ λέγων· ἐνδίδωσι γὰρ τῷ [c] χορῷ κάμνοντι, ὅπερ ἐστὶν εἶδος παραμυθίας· ἡ δὲ Τέκμησσα τοῦτο οὐκ ἐποίει.

429. Ἔχω] [d] Δύναμαι.

430. Αἶ αἶ, τίς ἂν ποθ' ᾤεθ' ὧδ' ἐπώνυμον: Ἐντεῦθεν μακρὰν ῥῆσιν μηκύνει ὁ Αἴας· ἔστι δὲ καὶ τοῦτο ἀρχαιότροπον, τὸ πρὸς τὰς ὀνομασίας ἐκφέρειν τὰς συμφοράς· καλῶς μὲν οὖν πράττων οὐκ ἂν ἐμέμνητο τοῦ διανοήματος· ἐν συμφορᾷ δὲ ὤν. [Εἰς τὸ αὐτό.] Συνῳδὸν ἔσεσθαι καὶ ἐπώνυμον [e] τοῖς κακοῖς· ἔπλεξε δὲ τὸ ὄνομα παρὰ τὸ αἶ αἶ τὸ θρηνητικόν.

431. Ξυνοίσειν] Ξυνδραμεῖν, καὶ συνενεχθῆναι, καὶ εἰς ταυτὸν ἐλθεῖν.

433. Ἐντυγχάνω] Περιπίπτω.

[y] τὸ ποτόν R. Br.

[z] ἔμφρων μὲν γὰρ—εὔφρων δὲ ὁ ἡδὺς καὶ εὐφραντικός R. Br.

[a] τῷ Αἴαντι R. Br.

[b] ᾗ L.

[c] Αἴαντι Br. Mox δὲ om. R. Br.

[d] ἀντὶ τοῦ δ. R. Br.

[e] τοῖς ἐμοῖς κακοῖς R. Br. Mox πρὸς Br. pro παρά.

434. Περιπαθῶς τὰ τοῦ πατρὸς κατορθώματα παραλαμβάνει· οὐκ ἐλάσσονα γὰρ τοῦ πατρὸς ποιήσας, ἄτιμος ἐλαύνομαι.

*Ibid.* Ἰδαίας] Ἰδαία τὸ πάλαι ἡ Τροία ἐκαλεῖτο. [Εἰς τὸ αὐτό.] Ἀπὸ τῆς Ἴδης τοῦ ὄρους, [f] ἀντὶ τοῦ Τροίας.

435. Τὰ πρῶτα καλλιστεῖα] [g] Εἴληφε τὴν Ἡσιόνην παρὰ τοῦ Ἡρακλέους.

437. Πιθανῶς τὸ μὴ εἰπεῖν πλείονα τοῦ πατρὸς κακοπαθῆσαι, ἀλλὰ μὴ ἐλάττονα.

439. Ἀρκέσας] Δείξας, βοηθήσας, ποιήσας.

*Ibid.* Λείπει [h] ἡ διὰ, ἵν' ᾖ, δι' ἐμῆς χειρός.

440. Ἀργείοισιν] Ἀντὶ τοῦ, ὑπὸ [i] τῶν Ἀργείων· ἢ ἀρκέσας Ἀργείοις, ἄτιμος ὢν ἀπόλλυμαι.

441. Τοσοῦτον] Ἀντὶ τοῦ, τοῦτο.

442. Εἰ ζῶν Ἀχιλλεύς] Χάριεν τὸ διανόημα. [Εἰς τὸ αὐτό.] Ἐπεξιὼν [k] τὰς ἑαυτοῦ συμφορὰς, καταλέγει [l] πρῶτα τὰ κατὰ τὴν ἀδικίαν τῆς κρίσεως· τοῦτο γάρ ἐστι τὸ πρῶτον αὐτὸν λελυπηκός. [m] Εἰπὼν δὲ τὰ ἴδια κατορθώματα, διεξῆλθεν καὶ ὡς συγγενικὴ αὐτῷ ἡ παρὰ τὸ χωρίον ἀνδραγαθία.

443. Κρίνειν ἔμελλε] [n] Μετὰ κρίσεως διδόναι τινὶ κράτος ἀριστείας, ἤγουν ἔμελλε κρίνειν τίς [o] ὁ κρατῶν ἐν ταῖς ἀριστείαις.

445. Παντουργῷ: Πάντα πράττοντι καὶ μηδὲν ὑποστελλομένῳ, πανούργῳ καὶ ἀναιδεῖ.

446. Ἀνδρὸς τοῦδε] Δεικτικῶς, ἀντὶ τοῦ, ἐμοῦ.

*Ibid.* Κράτη] Νίκην.

447. Διάστροφοι] Παράφοροι.

448. Γνώμης ἀπῆξαν τῆς ἐμῆς: Οἷον, εἰ μὴ διὰ ἔκστασιν τοῦ δέοντος ἐξέπεσον αἱ διάνοιαί μου, οὐκ ἂν ποτε ἄλλου οὕτως ἀδίκως κατεψηφίσαντο· ὡς καὶ παρ' Ὁμήρῳ·

[p] Ἦ γὰρ ἄν, Ἀτρείδη, νῦν ὕστατα λωβήσαιο.

*Ibid.* Ἀπῆξαν] Ἀπήγαγον.

449. Ἐψήφισαν] Ἐψηφίσαντο.

[f] ἀντὶ τ. Τ. om. R. Br.
[g] ὅτι εἴληφε R. Br. Tum ἰσιόνην R. L.
[h] δὲ ἡ R. Br.
[i] τῶν om. R. Br.
[k] δὲ τὰς R. Br.
[l] πρῶτον R. Br.
[m] Seqq. in fine schol. ad v. 434. collocat Brunck.
[n] ἀντὶ τοῦ μετὰ R. Br.
[o] ὁ κρατῶν ἐστι διὰ τὰς αὐτοῦ ἀνδραγαθίας R. Br.
[p] Il. α'. 232.

450. Ἀδάμαστος] Παρθένος, [q] ἄζυγος.

452. Ἔσφηλεν] Σφαλῆναι ἐποίησεν.

453. [r] Παρὰ τὴν αἰχμὴν αἰχμάξαι.

455. Οὐχ ἑκόντος] γρ. οὐκ ἔχοντος, [s] τὸ ἔγκλημα τῆς φυγῆς αὐτῶν· πάνυ δὲ γενναίως ἐμμένει τῷ [t] λήματι· τὸ γὰρ ἐφ' ἑαυτῷ ἀνῃρηκέναι φησὶ τοὺς Ἕλληνας, καὶ ἡττῆσθαι οὐχ ὑπ' ἐκείνων, ἀλλὰ διὰ τὴν ἐπήρειαν [u] τοῦ θεοῦ.

458. Ἐχθαίρομαι] Διὰ τὸ πεπλανῆσθαι ὑπὸ τῆς θεοῦ.

460. Ναυλόχους λιπὼν ἕδρας] Τὸν ναύσταθμον. [Εἰς τὸ αὐτό.] [w] Ναύλοχοι, λιμένες, ἔνθα δηλονότι αἱ νῆες ἵστανται κατὰ λόχον, τουτέστι, κατὰ τάξιν. Καὶ ἀπὸ τούτου ναύλοχοι ἕδραι, ἤγουν ναυτικαί.

461. Περῶ] Ἀντὶ τοῦ περάσω.

462. Καὶ ποῖον ὄμμα πατρί: Αἰσχύνεται ἄνευ ἀριστείων φανῆναι τῷ πατρὶ, καὶ φυγὰς ἀκούειν. Δαιμονίως δὲ ἀνθυπάγει αὐτῷ τὰ τῆς ἀπαλλαγῆς, καὶ τοῦτο ἀναλύει, ἵνα μὴ λυθῇ ἡ ὑπόθεσις.

464. Γυμνὸν] Ἀντὶ τοῦ ἔρημον. [x] Μεγαλοφυῶς δὲ οἴεται ἑαυτὸν τὸ πᾶν εἶναι.

467. Πρὸς ἔρυμα] Πρὸς τὸ τεῖχος.

*Ibid.* Συμπεσεῖν, τὸ συνελθεῖν εἰς μάχην· προσπεσεῖν, τὸ ἐξαίφνης μὴ εἰδότα τινὰ ἀποκτεῖναι.

469. Ἀλλ' ὧδέ γ' Ἀτρείδας: Ἀλλ' ἐφησθήσονται οἱ Ἀτρεῖδαι, ἐάν τι γενναῖον δράσας πρὸς τοὺς Τρῶας ἀποθάνω, ἀγνοοῦντες ὅτι ἑκουσίως γέγονέ μοι ὁ θάνατος. Καλῶς δὲ οὐκ ἐπήνεγκε τὴν ἀληθῆ δόξαν, ἕως ἂν δράσῃ ἅπερ αὐτὸς ὑπονοεῖ.

472. Φύσιν γ' ἄσπλαγχνος] Φύσιν τουτέστιν ἀσθενῆ καὶ ἀλλοίαν παρὰ τὴν τοῦ πατρός. Ἄσπλαγχνος δὲ, ἄτολμος, ταπεινὸς, δειλὸς, ψυχρός.

473. Τοῦ μακροῦ χρῄζειν βίου] Τῆς ἐπὶ πολὺ ἐκτεινομένης ζωῆς.

474. Κακοῖσιν ὅστις] Ὅστις διαλλαγὴν οὐ δέχεται, ἀεὶ ἐν κακοῖς ἐξετάζεται.

475. Τί γὰρ ἡμέρα μία ἔχει, προσθεῖσα τὸ ζῆν, καὶ ἀναβαλλομένη τοῦ θανεῖν, τέρπειν τὸν ἄνθρωπον;

[q] ἄζυξ Br.
[r] Gl. om. R. Br.
[s] δηλονότι τὸ ἔ. R. Br.
[t] λήμματι L.
[u] τῆς θεοῦ R. Br.
[w] ναύλοχοι, λιμένες et mox δηλονότι om. R. Br. Iidem infra om. καὶ—ναυτικαί.
[x] Seqq. alia sede Br.

478. Θερμαίνεται] Χλιαίνεται, θάλπεται· τὸ γὰρ τοιοῦτον ἐξαπατᾶν [y] ἑαυτὸν, ἐν ψευδολογίᾳ διάγοντα.

479. Φιλοσόφως τὸ καλὸν ἐν ἀμφοτέροις.

481. Γνήσια τῆς διανοίας τὰ εἰρημένα, καὶ οὐχ ὑπόβλητα· οἰκεῖα οὖν σαυτῷ εἶπας· ὅμως γε [z] μὴν παῦσαι, τὸ πᾶν ἀναθεὶς ἡμῖν.

485. Ὦ δέσποτ' Αἴας: Τεκμήσσης ὁ λόγος· οὐ γὰρ δεῖ τὸν Χορὸν μηκύνειν τὸν λόγον· μικτὸς δὲ ὁ λόγος· τὸ μὲν γὰρ αὐτοῦ [a] γεννικὸν καὶ ἐλευθέριον διὰ τὴν παρρησίαν τῆς φύσεως· δούλη γὰρ ἐπάναγκες γέγονεν· τὸ δὲ συναρμόζον τοῖς καιροῖς, δι' ὅλου δὲ τὴν φιλοστοργίαν ἐμφαῖνον· καὶ ὅταν τὰ ἑαυτῆς καταβάλῃ, τεχνικῶς ἐπιχειρεῖ, μαλθακώτερόν πως καθιστῶσα τὸν Αἴαντα· δεῖ οὖν [b] τοὺς αὐτοὺς λόγους, ὅτι διὰ τὴν ἐλευθερίαν παρρησιάζεται.

*Ibid.* Τῆς ἀναγκαίας τύχης: [c] Διπλῶς φησὶ τὸ ἀναγκαῖον· ποτὲ μὲν ἐπὶ τῶν κατὰ φύσιν ἀκολουθίαν τινὰ ἐχόντων, ὡς ἂν εἴποιμεν ἀναγκαίως τὸ πῦρ θερμὸν, καὶ τὸ γάλα λευκόν· ποτὲ δὲ ὡς ἐπὶ τοῦ ἐξ ἀνάγκης γινομένου, ὡς καὶ νῦν ἀναγκαίας τύχης τοῦ βίου φησί. [Εἰς τὸ αὐτό.] [d] Τῆς δυστυχίας· τεχνικὸς ὁ λόγος ἐκ προοιμίου, καὶ εἰς ἔλεον ἱκανὸς ἐπισπάσασθαι.

488. Σθένοντος ἐν πλούτῳ, εἴπερ τινὸς τῶν Φρυγῶν: Ἀντὶ τοῦ, ὡς οὐκ ἄλλου [e] τινός.

490. Καὶ σῇ μάλιστα χειρί] Τῇ αἰχμαλωτισάσῃ με.

491. Εὖ φρονῶ τὰ σά] Εὔνους σοι καθίσταμαι. [Εἰς τὸ αὐτό.] Εὐνοῶ τοῖς σοῖς.

492. Καί σ' ἀντιάζω: [f] Κάλλιστα ἀμφοτέροις τοῖς ὅρκοις ἐχρήσατο· μέγιστον γὰρ δικαίωμα, τὸ τῆς αὐτῆς ἑστίας ἐπιτυχεῖν, ὁπότε καὶ τῶν πολεμίων [g] διὰ ταῦτα φειδόμεθα· καὶ τὸ σεμνὸν τῆς κοίτης χρήσιμον, ὅπου γε καὶ τὸ σεμνότατον τῶν προσώπων, περὶ δικαιωμάτων τῶν πρὸς ἄνδρα καὶ γυναῖκα διαλεγόμενον, αὐτὸ τοῦτο ὄμνυσι·

[h] Σή θ' ἱερὴ κεφαλὴ, καὶ νωΐτερον λέχος.

Ὅρα δὲ ὅτι ἑκατέρωθεν θηλείαις ὁ τοιοῦτος λόγος πρόσκειται· ἐπὶ δὲ τοῦ Ὀδυσσέως καὶ ἄλλο τι οἰκειότερον ὄνομα ἐξεῦρεν·

[y] ἐστιν ἑαυτὸν R. Br.

[z] μὲν L. R.

[a] γενικὸν L. γενναῖον R. Br.

[b] αὐτῆς εἶναι τοὺς λόγους R. Br.

[c] διπλῶς δὲ R. Br. διπλῶς φασι Suid. qui mox ξανθὸν pro θερμὸν, et τῆς βίας pro τοῦ βίου.

[d] Seqq. in principio scholii collocant R. Br. Mox ἱκανὸν L.

[e] τινὸς τῶν Φρυγῶν Br.

[f] κάλλιστα δὲ R. Br.

[g] φειδόμεθα διὰ ταῦτα R. Br.

[h] Il. ό. 39. αὐτῶν Br. in fine.

[i] Ἀσπάσιοι λέκτροιο παλαιοῦ θεσμὸν ἵκοντο.

Τὴν εὔνοιαν δηλῶν τῶν οὕτω συνιόντων [k] ἐπιμονῇ παιδοποιΐας.

492. Ἀντιάζω] [l] Παρακαλῶ.

*Ibid.* Ἐφεστίου] [m] Συνοίκου· οἱ συνοικοῦντες Ἐφέστιον Δία προτείνουσιν· οἱ δὲ φίλοι, Φίλιον.

493. Συνηλλάχθης] Συναλλαγὰς ἔχεις, γάμῳ συνεζεύχθης. [Εἰς τὸ αὐτό.] Συνηρμόσθης· ὅθεν καὶ συνάλλαγμα.

*Ibid.* Ἧς συνηλλάχθης] [n] Δι' ἧς συνηρμόσθης.

495. Τῶν σῶν ὑπ' ἐχθρῶν χειρίαν ἐφείς: [o] Εἰδυῖα ἀγριαίνοντα Αἴαντα πρὸς τὰς ἐπιτιμήσεις, διαρρήδην μὲν οὔ φησι, Μὴ διάφθειρε σαυτόν· στοχαζομένη δὲ τοῦ καιροῦ, ἔξωθεν περιέρχεται, τὰ ἐπακολουθοῦντα λέγουσα, ὅτι ὑποχειρίαν με τοῖς ἐχθροῖς σὺν τῷ παιδὶ καταλείψεις. [Εἰς τὸ αὐτό.] [p] Ἡ ὑπὸ πρὸς τὸ χειρίαν· ὑποχειρίαν δούς τινι τῶν ἐχθρῶν.

497. Ταύτῃ: Ἀντὶ τοῦ, οὕτως, κατὰ τοῦτον τὸν τρόπον.

499. Δούλιον ἕξειν τροφήν: Οὐ ψιλὸν τὸ τῆς δουλείας εἶπεν· ἀλλὰ καὶ ὅσα ἔνεστιν εἰπεῖν τινα ἰδόντα αὐτὴν ἐν δουλείᾳ· καὶ ἡ τοιαύτη δὲ διδασκαλία Ὁμήρου·

[q] Μὴ παῖδ' ὀρφανικὸν θείης, χήρην τε γυναῖκα.

Ἀποτρέψαι δὲ βούλεται αὐτὸν διὰ τῶν τοιούτων λόγων.

501. Ἰάπτων: γρ. ἀτίζων, ὑβρίζων· παρὰ τὸ Ὁμηρικόν·

[r] Ἕκτορος ἥδε γυνή.

503. Τρέφει] Αὔξει, ἔχει.

504. Δαίμων] Νῦν, ἡ δουλεία. [Εἰς τὸ αὐτό.] [s] Δυστυχία.

*Ibid.* Ἐλᾷ] [t] Ἐλάσει εἰς ταῦτα.

505. Σοὶ δ' αἰσχρὰ τἄπη: Καὶ διὰ τὴν εὐγένειαν καὶ διὰ τὴν ἀνδρείαν· διὰ μὲν τοῦ σοὶ, τὴν ἀνδρείαν· διὰ δὲ [τοῦ] Τῷ σῷ γένει, [u] τοὺς προγόνους· θαυμαστῶς δὲ ἡ προσθήκη τοῦ γένους· αἶσχος γὰρ προστρίψῃ καὶ τῷ υἱῷ, ἐπὶ τοιούτοις αὐτὸν καταλείπων.

[i] Od. ψ΄. 306.

[k] ἐπὶ μόνῃ παιδοποιΐᾳ Br.

[l] In princ. gl. praecedentis R. Br.

[m] ἀντὶ τοῦ σ. R. Br. Tum οἱ μὲν γὰρ—τὸν ἐφ.—τὸν Φίλ.

[n] Gl. om. R. Br.

[o] εἰδυῖα δὲ R. Br. et mox τὸν Αἴαντα R. Br.

[p] In princ. gl. praeced. R. Br. qui mox ἐχθρῶν σου.

[q] Il. ζ΄. 432. Mox ἀποτρέψεται L.

[r] Il. ζ΄. 400.

[s] ἢ ἡ δυστ. R.

[t] ἐλᾷ δὲ ἀντὶ τοῦ ἐλάσει, εἰς ταῦτα δηλονότι R. Br.

[u] τὴν εὐγένειαν, τοὺς προγόνους R. Br.

506. Ἀλλ' αἴδεσαι μέν: Καλῶς ἐπὶ τοῦ πατρὸς, ἐν γήρᾳ μακρῷ· ἐπὶ δὲ τῆς μητρὸς, πολλῶν ἐτῶν κληροῦχον. Ὁ γὰρ ἐπὶ ἀμφοτέρων ἑνὶ χρησάμενος ὀνόματι, ἐπιτεμνόμενος [w] τὸν λόγον· τὸ δὲ ἐγχρονίζειν ταῖς διηγήσεσιν, ἀνυστικώτερον· θαυμαστῶς δὲ ἐπὶ μὲν ἑαυτῆς οὐδαμοῦ τοῖς τοιούτοις ὀνόμασιν χρῆται, οὔτε αἰδέσθητι, οὔτε οἴκτειρε· ἐπὶ δὲ τῶν γονέων καὶ τοῦ παιδός.

508. Κληροῦχον] Μέτοχον, κεκληρωμένην, κλῆρον ἐσχηκυῖαν.

*Ibid.* Ἣ σε πολλάκις θεοῖς ἀρᾶται: Τοῦτο οἰκείως ἐκ τῆς φύσεως στοχαζομένη παρέλαβεν.

510. Εἰ νέας] Εἰ τῆς νέας τροφῆς σοῦ χωρὶς διάξει καὶ βιώσεται.

512. Ὑπ' ὀρφανιστῶν μὴ φίλων: Ὀρφανισταί εἰσιν οἱ τοὺς ὀρφανοὺς τρέφοντες. Ἕλληνας οὖν φησὶν οὐ φίλους ὀρφανιστὰς, καθὸ δυσμενεῖς· ἢ ὀρφανισταὶ, ἀρχὴ Ἀθήνησι τὰ τῶν ὀρφανῶν κρίνουσα· ἢ ὀρφανιστῶν, τῶν τῆς ὀρφανίας ἐπιτρόπων. Ὀρφανὸς δὲ, ὁ ὅρον ἔχων τὸ οὐ φαίνεσθαι, ὁ ἄσημος, καὶ μηκέτι ἐμφανής· ἀμέλει καὶ ὑπὸ τῶν ἀμφιθαλῶν, ὡς ἐμφανῶν, ἐλαύνεται.

514. Ἐμοὶ γὰρ οὐκέτ' ἐστίν: Καὶ τοῦτο Ὁμηρικόν·

[x] οὐδέ μοι ἐστὶ πατὴρ καὶ πότνια μήτηρ.

Εἶτα ἑξῆς·

ἀτὰρ σύ μοι ἐσσὶ πατὴρ καὶ πότνια [μήτηρ.]

516. Τὸν φύσαντά με] Ὡς τούτου ἰδίῳ θανάτῳ τετελευτηκότος.

517. Θανασίμους] Ἀντὶ τοῦ νεκροὺς, [y] οὐ ποιητικοὺς θανάτου.

520. Ἀλλ' ἴσχε κἀμοῦ: Καλῶς τὸ κἀμοῦ, οἷον, μετὰ τὸν πατέρα καὶ τὸν υἱὸν κἀμὲ ἔν τινι μοίρᾳ κατάθου· [z] αἰσθάνεται γὰρ τῆς τύχης, ἐν ᾗ νῦν ἐστίν· αἰδημόνως δὲ αὐτὸν ὑπομιμνήσκει τὰ τῆς εὐνῆς· διὰ τοῦτο γὰρ μάλιστα δοκεῖ αὐτὸν [a] πείθειν· ὁ δέ γε Εὐριπίδης μαστροπικώτατα εἰσάγει τὴν Ἑκάβην λέγουσαν·

[b] Ποῦ τὰς φίλας δῆτ' εὐφρόνας δείξεις, ἄναξ,
ἢ τῶν ἐν εὐνῇ φιλτάτων ἀσπασμάτων.

522. [c] Ἡ φύουσα γὰρ τὴν χάριν χάρις ἐστὶν προϋπάρξασα.

[w] ἐστι τὸν R. Br.
[x] Il. ζ'. 413. et 429.
[y] ἢ ποιητικοὺς R. Br.
[z] αἴσθεται R. Br.
[a] πείσειν R. Br.

[b] Hec. 828. Infra ἀναζητῶν L. pro ἄναξ ἢ τῶν. Post ἀσπασμάτων addit Br. χάριν τίν' ἕξει παῖς ἐμή.
[c] ἡ προϋπάρξασα γὰρ χάρις ἐστιν ἡ φύουσα τὴν χάριν Br.

523. Ὅτου δ' ἀπορρεῖ μνῆστις: Ἡ μνήμη τοῦ εὖ πεπονθέναι, οὗτοι οὐκ ἂν εἶεν εὐγενεῖς· σχεδὸν δὲ διὰ τούτων τῶν ἰάμβων ἤρτηται τὸ περὶ εὐχαριστίας καὶ ἀχαριστίας.

*Ibid.* Ὅτου] [d] Οὗ τινος.

*Ibid.* Μνῆστις] [d] Μνήμη.

525. Ἔχειν σ' ἂν οἶκτον: Δυσωπητικὰ τὰ τοιαῦτα· εἰ γὰρ ὁ ξένος ᾤκτειρε, πόσῳ μᾶλλον ὁ Αἴας;

*Ibid.* Οἶκτον] [e] Ἔλεον.

527. Καὶ κάρτ' ἐπαίνου τεύξεται: [f] Οὐχ οἷον καθ' ἃ εἶπεν, ἀλλ' ἐὰν πείθηται κατὰ πάντα ἐμοί· ὁ γὰρ Αἴας ἐγνωκὼς ἑαυτὸν ἀποσφάττειν, ἐβούλετο πρὸ τοῦ θανάτου τὸν παῖδα ἰδεῖν· εἰκότως οὖν τοῦτο πάλιν λέγει, ὅτι ἄριστόν ἐστι τὴν γυναῖκα πειθαρχεῖν εἰς ἅπαντα τῷ ἀνδρί· ἔοικεν γὰρ ὑφορᾶσθαι, ὅτι ὀκνηρῶς ἐκδώσει τὸ παιδίον.

531. Καὶ μὴν φόβοισί γ' αὐτόν: Τοῦ φόβου χάριν, ῥύσασθαι θέλουσα ἐξήγαγον· οὐκ ἄντικρυς μὲν ἀντιλέγει, ἀναβολὰς δὲ [g] πράττεται, ὡς ὑποκεκινηκότι μὴ πιστεύουσα.

534. Πρέπον γέ τ' ἂν ἦν δαίμονος: Ἦν καὶ τοῦτο τοῦ ἐμοῦ δαίμονος, τὸ ὑπ' ἐμοῦ τὸν παῖδα ἀναιρεθῆναι· ἀντὶ τοῦ, ἔπρεπε τῇ παρούσῃ μου τύχῃ τὸ καὶ αὐτόχειρά με τοῦ παιδὸς κατασκευάσαι.

535. Τοῦτό γ' ἀρκέσαι] Εἰς τοῦτο ἀρκέσαι, τῷ παιδὶ [h] ὑπηρετῆσαι. [Εἰς τὸ αὐτό.] Ἀποσοβῆσαι τὸ θανεῖν.

536. Ἐπῄνεσα] Ἐπαινῶ.

537. Τί σε, φησὶν, ἐκ τῶν παρόντων [i] ὠφέλησα, καὶ τί βούλει σοι γενέσθαι;

540. Παρουσίαν ἔχειν] Ἤτοι παρεῖναι.

542. Εὐθύνων] [k] Διδάσκων, παιδεύων.

*Ibid.* Εὐθύνων κυρεῖς] Κυβερνᾷς.

543. Ἐγγὺς ὄντι, ἢ ἀπολιμπανομένῳ τῆς κλήσεως.

*Ibid.* Λελειμμένῳ λόγων] [l] Οὐκ ἀκούοντι.

545. Αἶρε] [m] πρόσφερε.

Μή μοι οἶνον ἄειρε.

[d] Gl. om. R. Br.
[e] In princ. gl. praec. R. Br. qui δὲ post δυσωπητικά.
[f] οὐχὶ καθὰ εἶπεν R. Br.
[g] πλάττεται R. Br.
[h] ὑπηρετῆσαι καὶ ἀποσοβῆσαι R. Br.
[i] ὠφελήσω Br.
[k] διδάσκεις, παιδεύεις R. Br.
[l] ἤγουν οὐκ R. Br.
[m] ἀντὶ τοῦ πρ. ὡς τὸ R. Br. Homeri locus est Il. ζ'. 264.

545. Ταρβήσει γὰρ οὐ] Εἴπερ ἔστιν [n] ἐμὸς, οὐκ εὐλαβηθήσεται τὸν φόνον τῶν ποιμνίων.

548. Ἀλλ' αὐτίκ' ὠμοῖς αὐτόν: Νῦν τὸ ὠμοῖς ὡς κατὰ τῶν καρπῶν. [o] ὅτε εἰσὶν ὠμοὶ, σκληρότεροι εἰσὶ καὶ [p] ἰταμοί· μεγαλοφρονῶν δὲ νόμους τὴν φύσιν ὠνόμασεν καὶ τὸ ἔθος τοῦ γεγεννηκότος.

549. Πωλοδαμνεῖν] Ὡς πῶλον γυμνάζειν.

550. Ὦ παῖ γένοιο πατρός: Μέτριος ὁ λόγος· ἡ δὲ ὁμοία εὐχὴ [q] παρ' Ὁμήρῳ·

> Ζεῦ, ἄλλοι τε θεοὶ, δότε δὴ καὶ τόνδε γενέσθαι
> παῖδ' ἐμὸν, ὡς καὶ ἐγώ.

552. Καίτοι σε καὶ νῦν τοῦτό γε: Ἐπειδὴ κατεύχεται αὐτῷ εὐτυχίαν, φησὶν, ὅτι καὶ νῦν σε μακαρίζω, ὅτι μικρὸς ὢν οὐκ αἰσθάνῃ τῶν ἐμῶν κακῶν.

*Ibid.* Ζηλοῦν] Μακαρίζειν.

553. Ἐν τῷ φρονεῖν γάρ: Ἐν τῷ μὴ ἀντιλαμβάνεσθαι τῶν κακῶν· ἐπεὶ ἔσται γελοιότατον δόγμα, ὡς τιμῶντος τὴν ἀφροσύνην.

554. Τὸ μὴ φρονεῖν γάρ: Δεῖ λαβεῖν τοῦτο, ὡς ἐπὶ παιδίου· οὐ γὰρ καθόλου τὴν ἀφροσύνην προκρίνει· ὁ δὲ νοῦς· ἐν τῷ νηπίῳ κακὸν μὲν τὸ μὴ φρονεῖν, κακὸν δὲ ὅμως ἀνώδυνον· καὶ Εὐριπίδης·

> [r] Νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.

Τάχιστα δὲ διὰ τῶν ἑξῆς ἐσήμανε τὸ συνεκτικὸν, καὶ ὡσπερεὶ σύμβολον τῆς φρονήσεως· τὸ γὰρ διακριτικὸν τῶν [s] χαρτῶν καὶ τῶν λυπηρῶν, συνετοῦ ἐστι.

556. Δεῖ σ' ὅπως πατρός] Ἀντὶ τοῦ, δεῖ σε ἐκδικῆσαι τὸν πατέρα.

558. Κούφοις πνεύμασιν] Κούφῃ καὶ ἁπαλῇ ζωῇ· τῇ [t] δὲ μεταφορᾷ τῶν μικρῶν φυτῶν ἐχρήσατο, ἅτινα οὐδὲν σφοδρὸν δύναται ὑποφέρειν, οὐ καύσωνα, οὐκ ἄνεμον.

562. Διὰ τί, [u] φησὶν, ἐνταῦθα τρανῶς ἐκφέρει τὴν ἑαυτοῦ γνώμην ὁ Αἴας, ὅτι [w] δὴ ἑαυτὸν ἐξάγει τοῦ βίου; ῥητέον οὖν, ὅτι ἐν ἤθει, οἷον, εἰ γένοιτό τις περὶ ἐμὲ συμφορὰ, μὴ δείδιθι· ἕξεις γὰρ τὸν προνοοῦντα ἀντὶ ἐμοῦ· ἢ ὅτι ἐκφέρει ταῦτα ὑπὸ τοῦ πάθους προαγόμενος.

[n] ἐμοῦ R. Br.
[o] οἷ, ὅτε Br.
[p] ἰταμοῖς Br.
[q] καὶ παρ' R. Br. Locus est Il. ζ'. 476.
[r] Med. 47.
[s] χαριτων (sic) Elmsleii apographum.
[t] μεταφορᾷ δὲ R. Br.
[u] φασὶν Br.
[w] δεῖ R. Br. qui mox ἐξάγειν.

563. Ἔμπα] [x] Ὅμως.

*Ibid.* Κεἰ τὰ νῦν] Καὶ εἰ ἔκδημος νῦν ἐστιν.

*Ibid.* Τηλωπὸς] γρ. [y] τηλουργός.

*Ibid.* Τηλωπὸς οἰχνεῖ: Φυλακὴν ἔχων τῶν ἐχθρῶν· λέγοι δ' ἂν τῶν Θρᾳκῶν· περὶ γὰρ τὰ τελευταῖα τοῦ Τρωϊκοῦ πολέμου ἐσυμμάχουν τοῖς Τρωσὶν οἱ Θρᾷκες· γνόντες δὲ τοῦτο οἱ Ἕλληνες, φρουροὺς ἔταξαν προμηνύσοντας αὐτοῖς τὴν ἐκείνων ἔφοδον, ἵνα, οὕτως [z] ἐπελθόντες, κατὰ τὴν ὁδὸν συμβάλωσιν αὐτοῖς, πρὶν ἐλθεῖν εἰς Ἴλιον· καὶ πρέσβεις δὲ ἀποστείλαντες οὐκ ἔπεισαν.

564. [a] Θήραν] γρ. φρουράν.

565. Προθυμοτέρους αὐτοὺς καθίστησι· κοινὴν γὰρ καὶ ἴσην φησὶ χάριν ὁμολογεῖν ἐκείνῳ τε τῆς ὑπουργίας, καὶ τούτοις τῆς ἐπαγγελίας· περιπαθῶς δὲ εἰς ἔσχατον περιεστώσης τῆς ἐλπίδος, ἐμφρόνως τὰ σπουδαιότατα τοῖς ἑταίροις ἐπισκήπτει, οὐ τῇ γυναικί.

570. [aa] Ὡς σφιν γένηται γηροβοσκός: Πάνυ περιπαθῶς τὸ ἐπὶ γονεῦσι καὶ παισὶ διαθήκας ποιῆσαι· θαυμαστῶς δὲ πρὸς ἅπαντας τοὺς λόγους τῆς [b] Τεκμήσσας ἀντιθέσεις ἐποιήσατο, οὐκ ἄντικρυς τοῦτο ὑπισχνουμένου τοῦ ποιητοῦ, τοῦ μὲν μὴ ὑβρισθῆναι τὸν παῖδα ὑπὸ τῶν Ἑλλήνων, τὴν ἀπὸ τοῦ Τεύκρου φυλακὴν προβαλλόμενος· τοῦ δὲ μὴ γελασθήσεσθαι ὑπ' ἐκείνων, τὴν τοῦ παιδὸς ἀρετὴν, ὃν φησὶ καὶ ἐκδικήσειν αὐτὸν ἐν ἡλικίᾳ γενόμενον· πρὸς δὲ τὰ περὶ τῶν γονέων, ὅτι ἀντ' αὐτοῦ [c] γηροβοσκὸς αὐτοῖς καταλείπεται ὁ Εὐρυσάκης.

571. Μέχρις οὗ] [d] Ἕως τελευτήσωσι.

572. Πιθανῶς τὸν Αἴαντα ἐπὶ τὸν περὶ τῶν ὅπλων λόγον ἰέναι συνεχῶς· ἅπτεται γὰρ αὐτοῦ μάλιστα· ἀνθρώπινον δὲ, καὶ μάλα φυσικὸν, τὸ συνεχέστερον μεμνῆσθαι περὶ ὧν ἐν νῷ ἔχομεν.

*Ibid.* Ἀγωνάρχαι] [e] Ἀγωνοθέται.

573. Ὁ λυμεὼν ἐμός] [e] Ὀδυσσεύς.

574. Ἀλλ' αὐτό μοι σὺ παῖ: Πέπεισται ὡς οὐδὲν ἀπολειψομένου τοῦ παιδὸς τῆς αὐτοῦ ἀρετῆς· τὸ δὲ σάκος, διὰ τὸ ἐξαίρετον, τῷ παιδὶ φυλάσσειν κελεύει· τὰ δὲ ἄλλα τεύχη συνθάψαι φησίν· ἐπί-

[x] Gl. om. R. Br.
[y] καὶ τηλ. R. Br.
[z] ἐπελθόντων R. Br.
[a] τὸ δὲ θήραν γράφεται καὶ φρουράν. R. Br.
[aa] ὥσφιν L.
[b] Τεκμήσσης R. Br.
[c] γηροβ. αὐτ. om. R. Br.
[d] περιφραστικῶς· ἤγουν ἕως R. Br.
[e] Gl. om. R. Br.

σταται γὰρ καὶ αὐτὰ περιμάχητα ἐσόμενα· οἶδεν Ὅμηρος ὅπλα συγκαιόμενα·

[f] Ἀλλ' ἄρα μιν κατέκηε σὺν ἔντεσι δαιδαλέοισι.

579. Καὶ δῶμ' ἀπάκτου] Κατὰ τῶν σκηνῶν ἄπαγε.

581. Πύκαζε] Ἀσφαλίζου.

*Ibid.* Οὐ πρὸς ἰατροῦ σοφοῦ: Οὐκ ἔστιν ἰατροῦ [g] σοφοῦ ἐπῳδαῖς χρῆσθαι, τοῦ τραύματος ἤδη τομῆς δεομένου.

582. Θρηνεῖν] Ἐπιφωνεῖν καὶ ἐπᾴδειν.

*Ibid.* Τομῶντι] Τῷ τομῆς δεομένῳ.

*Ibid.* Πήματι] γρ. τραύματι.

586. Κρῖνε] [h] Ἀνάκρινε.

*Ibid.* Σωφρονεῖν] Νῦν τὸ μὴ περιεργεῖν· ἐν τούτῳ γὰρ μάλιστα ἡ σωφροσύνη ταῖς γυναιξὶ διασώζεται, εἰ μὴ περιεργάζοιντο, ὅ τι πράττει ὁ ἀνήρ.

589. Οὐ κάτοισθ' ἐγὼ θεοῖς ὡς οὐδὲν ἀρκεῖν: Οὐκέτι, φησὶν, ἐν τούτῳ εἰμὶ, ὥστε ὀφείλειν τοὺς θεοὺς ἐπαρκεῖν μοι, διὰ τὸ μὴ περιέχεσθαι τοῦ ζῆν· ὡς οὐκέτι τοῖς θεοῖς ὀφείλω λέγειν ἐγὼ ἐπαρκεῖν, ἀντὶ τοῦ, οὐδὲν ἐπὶ τιμῇ πράττειν τῶν θεῶν· πρὸς ὃ καὶ ἡ Τέκμησσα ἐπάγει,

Εὔφημα φώνει.

591. Ἀκούουσιν] Τοῖς πειθομένοις.

593. Ξυνέρξετε] [i] Ἀποκλείσατε. [Εἰς τὸ αὐτό.] Τοῖς θεράπουσι κελεύει αὐτὴν ἀποκλείειν.

*Ibid.* Ξυνέρξεσθε] [k] Συγκλεῖ.

594. Μαλάσσου] [l] Ἀντὶ τοῦ μεταβάλλου.

*Ibid.* Μῶρά μοι δοκεῖς] Εὐήθης εἶ, νῦν βουλομένη με μαλάσσειν, ἐξακμάσαντος τοῦ καιροῦ.

*Ibid.* Φρονεῖν] [m] γρ. λέγειν.

596. Ὦ κλεινὰ Σαλαμίς: [n] Συγκέκλιται ὁ Αἴας διαχρησόμενος ἑαυτόν. Ἐπειδὴ οἱ ἀπὸ τοῦ Χοροῦ λόγον περιπαθῆ [o] διεξίασι· πρὸς

[f] Il. ζ'. 418.

[g] σοφοῦ. θροεῖν ἐπωδάς. ἀντὶ τοῦ ἐπιφωνεῖν. ἐπᾳδεῖν. ἐπῳδαῖς χρῆσθαι. τομῶντι. τομῆς δεομένῳ. R. Br.

[h] ἤγουν ἀνάκρινε R. Br.

[i] οὐ συγκλείσετε (συγκλείσεται Br.) κελεύει δὲ τοῖς θεράπουσιν R. Br.

[k] Ita Elmsleii apographum.

[l] ἀντὶ τοῦ om. R. Br.

[m] Gl. om. R. Br.

[n] συγκέκλεισται R. ἐπειδὴ συγκέκλεισται Br. qui infra om. ἐπειδή.

[o] διεξιᾶσι R. Br.

μὲν γὰρ αὐτὸν λέγειν οὐκ ἦν εἰσελθόντα ἤδη· γέγονε δὲ αὐτοῖς ἀπολόφυρσις ἐπὶ τὰ οἰκεῖα· καὶ ἔχει ἀκολουθίαν τὰ χορικά· ἀπεστερημένοι γὰρ τοῦ ἄρχοντος, καὶ ἄλλην ἀποστροφὴν οὐκ ἔχοντες, περὶ τῆς πατρίδος τὸν λόγον ποιοῦνται, ἐκτιθέμενοι ἐν οἷς εἰσι χαλεποῖς, καὶ ἐν οἷς ἔσονται οἱ γονεῖς αὐτοῦ πυθόμενοι ταῦτα.

596. [p] Τὸ ἦθος ἐμιμήσατο τῶν ἀφεστώτων τῆς οἰκίας· ὁπόταν γὰρ δυσχερές τι ἀπαντᾷ, μακαρίζειν εἰώθασιν τὰς πατρίδας.

600. Παλαιὸς ἀφ᾽ οὗ χρόνος] Ἐκ πολλοῦ χρόνου.

601. Ἰδαίᾳ] Τῇ Τρωϊκῇ.

603. Ἀνήριθμος αἰὲν εὐνόμᾳ: Ἀνήριθμος, ἐν οὐδενὶ ἀριθμῷ ταττόμενος, ἀλλὰ [q] περιερριμμένος. Εὐνόμᾳ δὲ, ἤτοι τῷ εὐνομουμένῳ καὶ δικαίῳ· ἢ εὐνόμᾳ λειμῶνι, τῷ καλὰς νομὰς ἔχοντι. Τὸ δὲ ἑξῆς· παλαιὸς ἀφ᾽ οὗ χρόνος αἰὲν εὐνόμᾳ χρόνῳ τρυχόμενος Ἰδαίᾳ μίμνω λειμωνίᾳ [r] ποίᾳ μήλων ἀνήριθμος, κακὴν ἐλπίδα ἔχων. Ἰδαίᾳ δὲ, οἷον ἐν τῷ τῆς Ἴδης χωρίῳ τοῖς χλοεροῖς καὶ λειμῶνας ἔχουσι καὶ ποίμνας διάγων.

604. Εὐνόμᾳ] [s] Εὐκινήτῳ.

606. Κακὴν ἔλπιδα ἔχων πῶς με δεῖ τὸν Ἅιδην ἀνύσειν· ἀντὶ τοῦ, οὐδὲν ἀγαθὸν προσδοκῶν, ἀλλὰ κακῶς τελευτήσειν ἐν τῷ πολέμῳ ἐλπίζων.

*Ibid.* Κακὴν ἔλπιδ᾽ ἔχων] Τὴν τοῦ θανάτου.

607. Ἀνύσειν] [t] Ἐκπρᾶξαι. [Εἰς τὸ αὐτό.] Λείπει τὸ δεῖ.

609. Καί μοι δυσθεράπευτος Αἴας: Οἷον, πρὸς τοῖς πρώτοις κακοῖς ὥσπερ δεύτερόν ἐστί μοι κακὸν τὸ τοῦ Αἴαντος ξυνεστηκός· τοῦτο γὰρ δηλοῖ τὸ ἔφεδρος. Ἔφεδρος δέ ἐστιν ἐν τοῖς ἀγῶσιν ὁ μὴ πλανώμενος εἰς τὸ ἀγωνίζεσθαι τοῖς νικῶσιν· ἐνταῦθα οὖν φησὶν, ὅτι ἔσχατος καὶ ὡς ἔφεδρος ἐλείφθη μοι ὁ Αἴας εἰς κακόν.

611. [u] Ξύναυλος: Παρὰ τὰ ἐναυλίσματα. [Εἰς τὸ αὐτό.] Σύνοικος.

612. Ἐξεπέμψω: Ἀντὶ τοῦ, ἔπεμψας ὧδε.

615. Νῦν δ᾽ αὖ φρενὸς οἰοβώτας: Αὐθαίρετος· ὡς ἂν εἴποι τις, αὐτὸς ἑαυτοῦ διάνοιαν βόσκων, καὶ μηδενὶ πειθόμενος· ἢ μονωθεὶς ἐκ

[p] Gl. om. R.

[q] ἀπερριμμένος Br. Mox δὲ om. R. Br.

[r] πόᾳ R. Br.

[s] Gl. alia sede R. Br.

[t] ἀντὶ τοῦ ἐ. λείπει δὲ R. Br.

[u] ξύναυλος. κοινωνός. R. Br.

τῆς φρενὸς, ἢ μονότροπος, μεμονωμένος τῷ λογισμῷ· ἢ ποιμαίνων τὴν ἑαυτοῦ διάνοιαν, καὶ μόναρχος ὢν τῷ λογισμῷ· ἢ οἷον διεσθίων αὐτοῦ τὴν φρένα, παρὰ τὴν βόσιν· ἢ ὁ βαίνων ἐν ἐρημίᾳ, διὰ τὸ [u] συγκεκλεικέναι ἑαυτόν· καὶ ὅμοιόν ἐστι [w] τῷ,

Ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων.

Ἢ φρενὸς οἰοβώτας, οὐ σὺν φρεσὶν, ἀλλ' ἐκτὸς φρενῶν [x] διάγων. [Εἰς τὸ αὐτό.] Ἀποπλανηθεὶς, ἀπὸ μεταφορᾶς τῶν πλανηθέντων προβάτων καὶ μόνων βοσκομένων.

617. Εὕρηται: γρ. γεγένηται.

618. Τὰ δὲ πρότερα μέγιστα τῆς ἀρετῆς τῶν χειρῶν αὐτοῦ ἔργα ἐν ὀλιγωρίᾳ εἰσὶ παρὰ τοῖς Ἀτρείδαις. Ἢ οὕτω· τὰ δὲ πρότερα αὐτοῦ ἀνδραγαθήματα, φροῦδα παρὰ τοῖς Ἀτρείδαις.

620. Ἄφιλα παρ' ἀφίλοις: Παρὰ τοῖς πρώην αὐτοῦ φίλοις, νῦν [y] διὰ πάντων ἐπιλελησμένοις· ἢ ἄφιλα παρ' ἀφίλοις, ἐχθρὰ παρ' ἐχθροῖς.

*Ibid.* Ἄφιλα] [z] Λείπει γινόμενα. [Εἰς τὸ αὐτό.] [a] Ἀντὶ τοῦ εὐχάριστα.

628. Ἦπου παλαιᾷ] Ἡ ἐντεθραμμένη παλαιῷ χρόνῳ, οἷον, τῇ ἡλικίᾳ, ἀντὶ τοῦ πολυετής. Ὁ δὲ νοῦς· ὄντως που ἡ τῇ παλαιᾷ ἡμέρᾳ, τουτέστι, τῷ παλαιῷ χρόνῳ, ἔντροφος· τὸ δὲ λευκῷ γήρᾳ, κατὰ κοινοῦ τὸ ἔντροφος· ἡ μήτηρ αὐτοῦ.

624. Λευκῷ] [b] Τῷ λευκοποιῷ τῶν τριχῶν.

626. Φρενομόρως: Ἀντὶ τοῦ, εἰς τὴν μοῖραν τῶν φρενῶν νοσοῦντα, ὅ ἐστι, φρενοβλαβῶς, μανικῶς.

627. Αἴλινον] Εἶδος θρήνου.

628. Οὐδ' οἰκτρᾶς γόον ὄρνιθος: Οἷον, οὐ μέτριον· ἀναστρεπτέον δέ· ἄρχει γὰρ τοῦ λόγου τὸ οὐ, ἵν' ᾖ, οὐκ αἴλινον, οὐδ' οἰκτρᾶς γόον ἀηδοῦς ἥσει, ἀλλ' ὀξυτόνους μὲν ᾠδὰς, καὶ τὰ ἑξῆς. [Εἰς τὸ αὐτό.] [c] Ἥσει γόον οὐ μέτριον κατὰ τὴν ἀηδόνα, ἀλλ' ὀξύν. Ἡ ἀηδὼ [d] δὲ, κατὰ Μιτυληναίους.

633. Περιπαθῶς ἡ πρόσθεσις τῆς πολιᾶς.

[u] συγκεκλικέναι L. R.
[w] τὸ L. Locus est Il. ζ'. 202.
[x] διάγων. ἢ ἀποπλανηθεὶς R. Br.
[y] δὲ πάντων R. Br.
[z] Alia sede R. Br.
[a] Om. R. Br. qui in schol. principio ad v. 620. inserunt ἀχάριστα παρὰ κ. τ. λ.
[b] Gl. om. R. Br.
[c] ὁ νοῦς· ἥσει Br. Alia sede seqq. habet R.
[d] δὲ ἀηδοῦς, ὡς Σαπφὼ, κατὰ Br.

634. Κρείσσων γὰρ Αἴδᾳ κεύθων: Κρείσσων γάρ ἐστιν ὁ τεθνηκὼς, ἢ ὁ ζῶν καὶ νοσῶν μάτην, ὅ ἐστι, μεμηνώς· μάτην γὰρ νοσεῖν, τὸ ἀθεραπεύτως μαίνεσθαι· οὐ λέγει δὲ ὅτι ὅταν αὐτὸν πύθηται τετελευτηκότα· ὁ γὰρ μεμηνὼς, καὶ τὰς φρένας διεφθαρμένος, κρείσσων Αἴδᾳ κεύθων· οἷον, ἄμεινον τῷ μεμηνότι ἐξεῖναι τοῦ βίου· οἷον, ἡγήσεται κρείσσονα τὸν θάνατον τῆς τοῦ Αἴαντος μανίας.

636. Ὃς ἄνωθεν κατὰ πατρῴας γενεᾶς ἄριστα ἥκων· λείπει γὰρ τὸ ἄριστος· ὥστε προέχειν ἁπάντων τῶν Ἑλλήνων κατὰ γένος, νῦν οὐκέτι ἤθεσιν ἐμμένει. [Εἰς τὸ αὐτό.] [e] Λείπει τὸ ἄριστος.

640. Ὀργαῖς] [f] Τρόποις, ὁρμαῖς.

*Ibid.* Ἐκτός] Τοῦ [g] προσήκοντος.

641. Ὦ τλάμων πάτερ] [h] Ἀπέστρεψε τὸν λόγον πρὸς τὸν Τελαμῶνα, [i] οἵαν σε μένει πυθέσθαι. Τοιαύτην ἄτην, οἵαν οὐδεὶς πέπονθεν τῶν Αἰακιδῶν· παραμυθία γάρ ἐστι τὸ μετέχειν τινὰ τῶν τοῦ γένους τῶν αὐτῶν κακῶν.

644. Ἔθρεψεν] Ἔσχεν.

645. Τοῦδε] [k] Τοῦ Αἴαντος.

646. Ἅπανθ' ὁ μακρός: Ἐξέρχεται ὁ Αἴας, ὡς δὴ κατακηληθεὶς ὑπὸ [l] Τεκμήσσας μὴ σφάττειν ἑαυτὸν, καὶ προφάσει τοῦ δεῖν εἰς ἐρημίαν ἐλθεῖν καὶ κρύψαι τὸ ξίφος· ἐπὶ [m] τούτοις ἀναχωρεῖ καὶ διαχρῆται ἑαυτόν· παρίστησι δὲ ὁ λόγος, ὅτι καὶ οἱ ἔμφρονες καὶ παρακολουθοῦντες τῇ φύσει τῶν πραγμάτων, ὅμως ὑπὸ τῶν τοιούτων παθῶν ἐπὶ τὸ χεῖρον ἀπολισθάνουσιν, ὡς ἐν Τραχινίαις ἡ Δηϊάνειρα περὶ τοῦ ἔρωτος διαλεγομένη καὶ τοῦ ἀνδρὸς, ὅτι αὐτῷ οὐκ ἀντιστήσεται, οὐδὲ λυσιτελεῖ αὐτῇ ἀντιπράττειν τῇ ἐπιθυμίᾳ τοῦ ἀνδρὸς, πράττει μετὰ ταῦτα ἅπερ αὐτὴν ἀνέπεισεν ἡ ζηλοτυπία. Ἤτοι δὲ σχῆμά ἐστιν, ἅπαντα ὁ χρόνος φύει [n] φύλα, εἶτα ἐξαλλαγῇ καὶ ταῦτα φανέντα κρύπτεται· ἢ τὸ κρύπτεται ἐπὶ τοῦ [o] χρόνου, ἀντὶ τοῦ κρύπτει· τοῦτο δὲ φησὶν, ὡς μεταβεβλημένος [p] ὑπὸ τῶν προτέρων νοημάτων.

[e] Gl. om. R. Br.
[f] ὁρμαῖς, τρόποις R. Br.
[g] προσήκοντας δηλονότι R. Br.
[h] ἀπέτρεψε R. Br.
[i] οἵαν σε μ. π. om. Br. Qui ante τοιαύτην pro lemmate interserit ἂν οὔπω τις.
[k] χωρὶς τούτου τοῦ Αἴαντος. R. Br.
[l] Τεκμήσσης R. Br.
[m] τούτων R. Br. Mox ἀπολισθαίνουσιν Br.
[n] φησὶν R. Br.
[o] χ̊ L.
[p] ἀπὸ Br.

646. Ὁ μακρὸς] [q] Ὁ μέγας.

647. Κρύπτεται] [q] Ἀντὶ τοῦ κρύπτει.

648. Ἁλίσκεται] Ἐξελέγχεται, φωρᾶται.

469. Χ᾽ὠ δεινὸς ὅρκος: Ὅτι καὶ ὀμόσαντές τινες ἐν μεταβολῇ γίνονται τῷ χρόνῳ.

*Ibid.* Περισκελεῖς φρένες] Αἱ ἄγαν σκληραὶ ψυχαί.

650. Ἐκαρτέρουν τότε] γρ. ἐπηπείλησ᾽ ἔπη. Ἢ λείπει τὸ ἔπη, ἵν᾽ ᾖ, ὅστις τὰ δεινὰ ἔπη ἐκαρτέρουν λέγειν τότε, ὡσανεὶ πρὸ τοῦ.

651. Βαφῇ σίδηρος ὣς ἐθηλύνθην: Ἐν τῇ βαφῇ οὐκ ἀνίεται ὁ σίδηρος, ἀλλὰ μᾶλλον σκιραίνεται· οὕτως οὖν διασταλτέον· κἀγὼ γὰρ, φησὶν, ὃς ἠπείλουν καὶ ἔζεον καὶ ἐβόων, ὡς ἐν βαφῇ σίδηρος, (ὡς Ὅμηρος·

[r] Ἐν ὕδατι ψυχρῷ βάπτει μεγάλα ἰάχοντα)

νῦν ἐθηλύνθην ὑπὸ τῶν λόγων τῆς γυναικός. Ἢ ὅτι διςσῶς βάπτεται ὁ σίδηρος· εἰ μὲν γὰρ μαλθακὸν βούλονται αὐτὸν εἶναι, ἐλαίῳ βάπτουσιν· εἰ δὲ σκιρὸν, ὕδατι.

654. Πιθανὴ αὐτῷ ἡ ἔξοδος, ὡς ἐπὶ καθαρμόν· μονάσαι γὰρ βούλεται χάριν τῆς ἀναιρέσεως.

655. Λύματα] [s] Μολυσμούς.

656. Ἐξαλύξωμαι] Φυλάξωμαι, ἐκκλίνω.

657. Μολών τε] Εὑρήσω, φησὶ, τόπον, οὗ οὐδεὶς ἐπιβήσεται· τοῦτο δὲ πιθανὸν, ἵνα μή τις αὐτῷ ἀκολουθήσῃ· πιθανὸν δὲ καὶ τὸ λαβεῖν τὸ ξίφος, ἵνα εὐπορήσῃ ἑαυτὸν [t] διαχειρίσασθαι.

658. Τόδ᾽ ἔγχος] [u] Ἀντὶ τοῦ ξίφος.

665. Ἐχθρῶν ἄδωρα] Ὁ νοῦς, ὅτι μηδὲ τὰ μέγιστα τῶν ἐχθρῶν ἐφίεσο· τῶν δὲ φίλων, καὶ τὰ ἐλάχιστα.

*Ibid.* Ἄδωρα] [w] Κακόδωρα.

666. Ἐπιφθόνως ἔφρασεν, ἐν εἰρωνείᾳ ἀντιστρέψας τὴν τάξιν· ἔδει γὰρ εἰπεῖν, θεοὺς μὲν σέβειν, εἴκειν δὲ Ἀτρείδαις· ὡς τῶν Ἀτρειδῶν οὖν ἤδη καὶ θεομαχούντων. [Εἰς τὸ αὐτό.] Μιμεῖται [x] τὸν σώφρονα· κεκίνηται δὲ ὑπὸ τοῦ πάθους.

669. Τὰ δεινά] [y] Τὰ θεῖα καὶ δέος μὴ ποιοῦντα.

[q] Gl. om. R. Br.

[r] Od. ί. 392. Mox βάπτεται L. R. pro βάπτει.

[s] μολυσμόν R. Br.

[t] διαχειρήσασθαι L. διαχρήσασθαι R. Br.

[u] ἀντὶ τὸ ξ. L.

[w] δὲ κακ. R. Br.

[x] μὲν τὸν R. Br.

[y] ἤγουν τ. θ. R. Br. Mox δέος ἐμποιοῦντα Br.

670. Εἰ γὰρ τὰ θεῖα ὑπείκει τιμῇ, πόσῳ μᾶλλον προσήκει τοῖς ἀνθρώποις ταῦτα πράττειν; τὸ δὲ τιμαῖς ὑπείκει, ταῖς ἀλλήλων [z] διανεμέσεσιν· ἐκ γὰρ ἐναντιότητος τὸ πᾶν συνέστηκε· πρεσβύτης τις, ἐπεὶ καὶ νέος ἐγένετο· καθέζεται, ὅτι καὶ ἕστηκεν.

672. Αἰανής] Τουτέστιν, ὁ σκοτεινὸς κύκλος, ἢ ἀδιάλειπτος.

674. [a] Λείπει [ἡ ὑπὸ] Ὑπὸ δεινῶν πνευμάτων στένοντα πόντον, ἄημα πρᾶον ἐκοίμισεν αὐτόν.

678. Ἐγὼ δ' ἐπίσταμαι: Ἐπειδὴ τὸ πᾶν πρὸς τοὐναντίον γίνεται, εἰκὸς καὶ τοὺς Ἀτρείδας φίλους ἀντ' ἐχθρῶν γενέσθαι· δεῖ οὖν, φησὶ, προσέχειν τοῖς ἐχθροῖς, ὡς αὖθις φίλοις ἐσομένοις, καὶ τοῖς φίλοις, ὡς ἐχθροῖς· συμμέτρως οὖν φησὶ χρῆσθαι τοῖς πράγμασι.

*Ibid.* Ἀρτίως] [b] Ἀντὶ τοῦ νῦν.

681. Ὠφελεῖν] [b] Σπουδάζειν.

683. Ἑταιρείας λιμήν] [c] Φιλία. [Εἰς τὸ αὐτό.] [b] Λιμὴν ἡ φιλία, ἵν' ᾖ, ἡ τῆς ἑταιρείας φιλία.

684. Ἀλλ' ἀμφὶ μὲν τούτοισιν: Ὅρα πόσον ἐπικρατεῖται ὑπὸ τοῦ πάθους [d] λογισμός· ὁ τὰ σοφώτατα γοῦν εἰπὼν, ἑαυτὸν ἀναιρεῖ. [Εἰς τὸ αὐτό.] [e] Καὶ περὶ μὲν τούτων.

685. Διὰ τέλους] [e] Διὰ τάχους.

687. Ὑμεῖς θ' ἑταῖροι: Τὰ μὲν τῆς ἀναιρέσεως δῆλα τῷ θεατῇ· ἀγνοεῖ δὲ ὁ Χορός· πεπίστευκε γὰρ τοῖς ὑπ' αὐτοῦ λελεγμένοις.

688. Τιμᾶτε] Ἀντὶ τοῦ πείθεσθε.

689. Ὑμῖν ἅμα] γρ. ὑπέρμεγα.

690. Ἐγὼ γὰρ εἶμι] Αἰνιγματωδῶς ὁ λόγος ἐξενήνεκται.

691. Καὶ τάχ' ἄν μ' ἴσως] Ὁ μὲν Χορὸς [f] ἀπαλλάσσεσθαι νομίζει λέγειν τῆς νόσου· ὁ δὲ αἰνίττεται τῶν κακῶν τοῦ βίου.

693. Ἔφριξ' ἔρωτι: Χρείας ἕνεκα τὸ χορικὸν νῦν παρείληπται· ἐξελθόντος γὰρ τοῦ Αἴαντος, ἔδει βραχὺ διάλειμμα γενέσθαι, ἵνα μὴ καταληφθῇ ὑπὸ τοῦ ἀγγέλου· διὸ καὶ τὴν ὄρχησιν ποιοῦνται· ἔνθεν καὶ βραχύ ἐστι τὸ χορικὸν, ὡς πρὸς χρείαν εἰλημμένον. Ἄλλως. Τέρπεται ὁ Χορὸς ἐπὶ [g] τῷ παύεσθαι τῆς νόσου τὸν Αἴαντα, καὶ φη-

[z] Sic L. διανομήσεσιν R. Br. An διανεμήσεσιν?
[a] λείπει ὑπὸ, ἵν' ᾖ ὑπὸ δ. π. R. Br.
[b] Gl. om. R. Br.
[c] ἡ φιλία R. Br. Mox τῆς ἑταιρ. Br. ἦτε ἑταιρ. R.
[d] ὁ λογισμός R. Br.
[e] Gl. om. R. Br.
[f] ἀπαλλάττεσθαι R. Br.
[g] τὸ L.

σὶν, ὑφ' ἡδονῆς ἔφριξα καὶ βούλομαι χορεῦσαι· εὐεπίφορος δὲ ὁ ποιητὴς ἐπὶ τὰς τοιαύτας μελοποιΐας, ὥστε ἐντιθέναι τι καὶ τοῦ ἡδέος.

693. Ἔφριξ' ἔρωτι] [h] Ὠρθώθην τῇ ἡδονῇ.

*Ibid.* Ἀνεπτάμαν] Ἀνεπτερώθην.

694. Ἰὼ ἰὼ Πὰν Πάν: Ἐπικαλοῦνται τὸν Πᾶνα, ὡς χορῶν πρόξενον, καὶ αὐτοὶ γὰρ τοῦτο ποιεῖν βούλονται, ὡς ἐγνωκότος τοῦ Αἴαντος μηκέτι τελευτᾶν.

695. [h] Ἁλιπλάγκτε ἐπὶ τῆς Κυλληνίας. [Εἰς τὸ αὐτό.] Ἐπικαλοῦνται τὸν Πᾶνα, ἢ ὅτι ἐβοήθησε τοῖς [i] Ἀθηναίοις ἐν τῇ ναυμαχίᾳ· ἢ ὅτι τὸν Τυφῶνα δικτύοις ἤγρευσεν· ἢ ὅτι οἱ ἁλιεῖς τιμῶσι τὸν Πᾶνα, ὡς [k] νόμιον θεόν. Ἢ ἁλίπλαγκτε ἀντὶ τοῦ μεγαλόφωνε ἐν τῇ [l] χορείᾳ, ὡς ἁλίβρομε· [m] ὅτι τῆς Ἠχοῦς ἐρᾷ· πολύηχος δὲ ἡ θάλασσά ἐστιν.

*Ibid.* Ὄρος Ἀρκαδίας ἡ Κυλληνία.

696. Χιονοτύπου] Ὑπὸ χιόνος τυπτομένου.

698. Ὅπως μοι Νύσια Κνώσια: Ὅπως μοι συνάψῃς ὄρχησιν ποιουμένῳ παντοίαν, τὴν οὐκ ἐκ διδαχῆς σοι γενομένην, ἀλλ' ἐκ φύσεως· οὐδεὶς γὰρ ἐδίδαξεν τὸν Πᾶνα.

699. Νύσια Κνώσια] Ἐν Νυσίᾳ καὶ ἐν Κνωσσῷ ἐπιμελὴς ἡ ὄρχησις· ἢ Νύσια, τὰ ἐν τῇ Νύσῃ γινόμενα· ἔστι δὲ αὕτη Διονύσου ἱερὰ, καὶ συνᾴδει τῷ Κνώσια· καὶ ἡ Κνωσὸς γὰρ Διονύσου. Ἄλλως. Τῶν ὀρχήσεων αἱ μέν εἰσι Διονυσιακαὶ, αἱ δὲ Κορυβάντιαι καὶ [n] ἐνόπλιοι. Νύσιαι οὖν αἱ Διονυσιακαὶ, παρὰ τὴν Νύσαν· Κνώσιαι δὲ, αἱ Κορυβαντιακαί· Κνωσὸς γὰρ πόλις Κρήτης· ἐν τῇ Κρήτῃ δὲ ὑπὸ τῶν Κορυβάντων ἐτράφη ὁ Ζεύς.

*Ibid.* Νύσια Κνώσια] Τὰ ἐν τῇ Νύσῃ τῷ ὄρει, καὶ τὰ ἐν τῇ Κνώσῳ.

*Ibid.* Αὐτοδαῆ: Αὐτομαθῆ, ἃ ἐκ φύσεως ἔχεις, οὐ διδακτά· τῶν δὲ ὀρχήσεων ἡ μὲν Βερεκυντιακὴ λέγεται, ἡ δὲ Κρητικὴ, ἣ καὶ [o] πυρρική. Νύσια οὖν, αἱ Βερεκυντιακαί· τῆς γὰρ Νυσίας ἐστὶν ἡ Βερέκυντος· Κνωσία δὲ, Κρητική.

[h] Alia sede R. Br.
[i] νέοις L. Receptam tuetur Suidas.
[k] νόμιμον L. R.
[l] χορίᾳ L.
[m] ἢ ὅτι Br. Mox ἐστιν om. R. Br.
[n] ἔνοπλοι Br. Mox Νύσην R. Br. et Κορυβάντιαι. καὶ Κν.
[o] πυρρίχη Br. Tum Νύσιαι R. Br. qui infra om. ἐστιν.

699. Αὐτοδαῆ] Αὐτομαθῆ. Ἃ σὺ σαυτὸν ἐδίδαξας.

700. Ἰάψης] Ἐπιβαλεῖς ἢ συλλάβοις ἡμῖν.

701. Νῦν γὰρ ἐμοὶ μέλει χορεῦσαι: Ἀναγκαίως, καὶ τοῦτο ἡ αἰτία τῆς ὀρχήσεως, ἵνα μὴ δοκῇ ἀλόγως ἐπὶ τοῦτο ἀπαντᾶν.

702. Ἐν τῷ Ἰκαρίῳ πελάγει κεῖται ἡ Δῆλος.

703. Μολὼν ἄναξ Ἀπόλλων: Παραγένοιτο δὲ καὶ ὁ Ἀπόλλων διὰ τοῦ Ἰκαρίου πελάγους, τουτέστι, [p]τῆς Δήλου, καὶ συνείη μοι εὔφρων, εὔγνωστος, φανερὸς ὤν, καὶ δῆλος ὅτι φιλεῖ με.

705. Εὔφρων] [q] Φίλος.

706. Ἀπ' ὀμμάτων Ἄρης: Ὁ Αἴας ὁ Ἀρήϊος· ἢ Ἄρης, ὁ πόλεμος ὁ περὶ τὸν Αἴαντα, ἔλυσεν ἡμῶν τὸ σκότος καὶ τὴν κατήφειαν.

*Ibid.* Ἀπὸ τῶν ὀμμάτων τοῦ Αἴαντος.

*Ibid.* [r]Ἄρης: Ἡ λύσσα, ἡ μανία.

708. Νῦν ὦ Ζεῦ πάρα λευκόν: Νῦν πάρεστιν ἡμέρα λαμπρὰ ἡμῖν, ὥστε ἐγγίσαι τῶν νεῶν· πρότερον γὰρ ἐξετρεπόμεθα ἐπιμίγνυσθαι τοῖς Ἕλλησι διὰ τὴν αἰδῶ.

709. Πελάσαι] Ὥστε πελάσαι ἐπὶ τῶν νεῶν.

710. Θοᾶν] [s]Ἀντὶ τοῦ θοῶν.

*Ibid.* Ὅτ' Αἴας λαθίπονος: Ὅτε δὴ ὁ Αἴας πάρεστιν ἐκ μετανοίας ἐπὶ τὸ σέβειν τοὺς θεοὺς, καὶ κατατίθεσθαι τὴν ἔχθραν τὴν πρὸς τοὺς Ἀτρείδας.

712. Πάνθυτα] Πάνσεπτα.

*Ibid.* Ἐξήνυσεν] Ἐξεπλήρωσεν.

714. Τὰ ὑπὸ τοῦ Αἴαντος διὰ πολλῶν εἰρημένα, διὰ βραχέων [t] ἐξῆλθεν.

*Ibid.* Φλέγει] [s] Ζωπυρεῖ.

715. Ἀναύδητον] Ἀπόρρητον, ἀνέλπιστον, ἄλεκτον.

716. Εὖτέ γ' ἐξ ἀέλπτων: Ὁπότε ἐξ ἀνελπίστων καὶ μεγάλων νεικέων ὁ Αἴας μετεπείσθη καὶ μετεβλήθη τὴν ψυχὴν τοῖς Ἀτρείδαις ἀπὸ τῆς ἔχθρας.

717. Μετεγνώσθη] [s] Μετεβλήθη καὶ πέπαυται τοῦ θυμοῦ.

718. Ἀτρείδαις] [s]Ἐπὶ τοῖς Ἀτρείδαις.

[p] ἀπὸ τῆς Br.
[q] Gl. om. R. Br.
[r] ὁ Ἄρης δὲ R. Br.
[s] Gl. om. R. Br.
[t] διεξῆλθεν Br.

719. Ἄνδρες φίλοι: Ἄγγελος ἥκει ἀπὸ τοῦ στρατοῦ, ἀγγέλλων τὴν παρουσίαν τοῦ Τεύκρου· θαυμαστὴ δὲ ἡ εἴσοδος τούτου τοῦ ἀγγέλου· τοῦ Αἴαντος ἔξω ἑαυτὸν διαχειρουμένου, οὐκ εἶχον οἱ ἀπὸ τοῦ Χοροῦ, οὔτε ἡ Τέκμησσα γνῶναι τὸ πραχθέν· πιθανῶς οὖν ὁ ἄγγελος ἀπαγγείλας, παρασκευάζει αὐτοὺς ἐξιέναι κατὰ ζήτησιν· καὶ οὕτως ἐπιτεύξονται τῷ πτώματι· δεξιῶς δὲ καὶ τὸ τὸν Κάλχαντα μαθεῖν· οἰκεῖον γὰρ τῷ μάντει· καλῶς δὲ καὶ τὰ τῆς σκηνῆς ἐσκεύασται. Αἴαντος γὰρ καταλιπόντος, προῆλθεν ὁ ἄγγελος· εἶτα τοῦ Χοροῦ τὴν σκηνὴν ἐάσαντος διὰ τὴν ζήτησιν, ἔξεισιν ὁ Αἴας ἐπὶ τὴν πρᾶξιν· τῷ δὲ θεατῇ οὐδὲν ἀργὸν [u] περιλείπεται, πεποικιλμένης διαφόρως τῆς ἐν τῇ σκηνῇ προσωποποιΐας.

720. Μυσίων] [w] Ἀντὶ τοῦ Θρακικῶν· μέρη γὰρ τῆς Θρᾴκης πολλὰ περὶ τὴν Μυσίαν.

721. Κρημνῶν] Τῶν χωρίων.

*Ibid.* [x] Στρατήγιον] Τὸ στρατόπεδον, Ἀττικῶς.

722. Κυδάζεται: Λοιδορεῖται, ὑβρίζεται ὑπὸ πάντων· καὶ Ἐπίχαρμος ἐν Ἀμύκῳ·

Ἄμυκε, μὴ κύδαζέ [y] μοι
τὸν πρεσβύτερον ἀδελφεόν.

καὶ Αἰσχύλος ἐν Ἰφιγενείᾳ·

Οὔ τοι γυναιξὶ [z] δεῖ κυδάζεσθαι· τί γάρ;

ἀρσενικῶς δὲ ὁ κύδος ἐπὶ τῆς ὕβρεως. [Εἰς τὸ αὐτό.] [a] Λοιδορεῖται.

725. Ἤρασσον: [b] Ἔκρουον, ἔπληττον, ἐβλασφήμουν πάντες ὁμοφρονοῦντες. [Εἰς τὸ αὐτό.] Ἔπλησσον.

727. Ἀποκαλοῦντες: Ἀττικὸν ἔθος, τὸ ἐπιφέρειν ἑνικοῖς πληθυντικὰ, καὶ ἀνάπαλιν, ὡς καὶ νῦν, Οὔτις ἔσθ' ὃς οὐχὶ ἔλεξε, [c] ξυναίμονα αὐτὸν ἀποκαλοῦντες.

*Ibid.* Ὡς οὐκ ἀρκέσοι: Ἐπὶ τοῦ Τεύκρου· ὡς οὐκ [d] ἐπαρκέσοι ἑαυτῷ τὸ μὴ λιθόλευστος γενέσθαι· ὡς οὐ κωλύσει αὐτὸν καταλιθωθῆναι. [Εἰς τὸ αὐτό.] Κωλύσοι.

[u] παραλείπεται R. Br.
[w] Gl. om. R. Br.
[x] στρατήγιον δὲ R. Br.
[y] μου R. Br.
[z] δεῖ om. R. Br. κυδάζεται Br.
[a] Gl. om. R. Br.
[b] ἔκρουον om. R. Br. qui ὁμοφωνοῦντες pro ὁμοφρονοῦντες.
[c] ξύναιμον R. Br.
[d] ἐπαρκέσοι R. Br.

730. Διεπεραιώθη] Διειλκύσθη, διῆλθεν. [Εἰς τὸ αὐτό.] Ἐγυμνώθη· εἰ μὴ γὰρ εἰς πέρας ἑλκυσθῇ, οὐκ ἐξέρχεται.

731. Λήγει δ' ἔρις δραμοῦσα: Ἡ ἔρις εἰς πολὺ δραμοῦσα καὶ προκόψασα, ἔστη τῇ συναντήσει τοῦ [e] λόγου Νέστορος· ἐκ τῆς Ἀχιλλέως δὲ πρὸς Ἀγαμέμνονα [f] ἀρχῆς παραγέγραπται· καὶ ὥσπερ ὁ Νέστωρ ἐκεῖ διαλλάσσει, οὕτως καὶ νῦν οἱ γέροντες· ἡ ἔρις οὖν προκόψασα προσωτάτω, λήγει ἐκ συναλλαγῆς λόγου τῶν γερόντων, οἷον, ἐκ τῆς ὁμιλίας.

732. Ἐν ξυναλλαγῇ λόγου] Τῇ ἀμοιβῇ τοῦ λόγου καὶ συμβιβάσει.

735. Οὐκ ἔνδον] Ἐν συντόμῳ· οὐκ ἀναγκαῖον γὰρ διλογεῖν περὶ ὧν ἤκουσεν ὁ ἀκροατής.

736. Νέοισι] Καινοῖς.

*Ibid.* Ἐγκαταζεύξας] Συνθεὶς, [g] ἁρμόσας.

737. Ἰοὺ ἰού: Εἰδὼς ἀπὸ τοῦ μάντεως, ὅτι κακὸν αὐτῷ γίνεται, τοῦτο προαναφωνεῖ.

739. Ἦ 'φάνην] Ἤπερ· φησὶ δὲ, ὅτι οὐκ ἐβράδυνα παραγενόμενος, ἀλλὰ βραδέως ἐπέμφθην.

740. Τί δ' ἔστι χρείας: Οἷον, τί σοι λείπει ὅπερ σπάνιόν ἐστι πρὸς τὴν χρείαν τὴν νῦν· ἐσπάνιζε δὲ τὸ ἄμεινον εἶναι πρὸ ὀλίγου αὐτὸν παραγεγονέναι· καὶ ἐν Σιμωνίδῃ ἐπὶ τοῦ πρὸς Αἰγέα ἀγγέλου πεμφθέντος·

Βιότω καί σε μᾶλλον ὤνασα πρότερος ἐλθών.

*Ibid.* Ὑπεσπανισμένον] Δεόμενον τῆς τοῦ Αἴαντος παρουσίας.

*Ibid.* Τὸν ἄνδρ' ἀπηύδα: Ἀναγκαίως διηγεῖται, ὁπότε ἔγνωκεν ἀπόντα τὸν Αἴαντα· ἔδει γὰρ δηλωθῆναι τῷ θεάτρῳ.

742. Παρήκειν] Παριέναι.

744. Ὡς καταλλαχθῇ χόλου: Πιθανῶς, ὡς πολῖται, χόλον καὶ οὐ μανίαν λέγουσιν· οἴχεται οὖν τραπεὶς πρὸς τὸ κέρδιστον τῆς γνώμης, ὅπως τὴν ἔχθραν κατάθηται, καὶ διαλλαχθῇ τοῖς θεοῖς ἀπὸ τοῦ χόλου.

*Ibid.* Χόλου] [h] Τοῦ τῶν θεῶν χόλου.

745. Ταῦτ' ἐστὶ τἄπη] Ἐπίσταται γὰρ ἀκηκοέναι τὰ παρὰ τοῦ Κάλχαντος.

[e] λόγου τῶν γερόντων Br.
[f] ὀργῆς Br.
[g] ἁρμόσας om. R. Br.
[h] Gl. om. R. Br.

746. Εἴπερ τι Κάλχας] [i] Εἰς παροιμίαν ὁ στίχος παρῆκται, ἣν καὶ Ἀριστοφάνης ἀναγράφει.

748. Τοσοῦτον] Ἀντὶ τοῦ, μεχρὶ τούτου.

750. Ἀτρειδῶν δίχα: Πάνυ ἀξιοπίστως, ὅτι οὐκ ἄντικρυς τῶν βασιλέων ὁ μάντις διελέγετο, ἀλλ' ἐν ἀπορρήτῳ κατ' εὔνοιαν τοῦ Αἴαντος.

752. Ἐπέσκηψεν] Ἐνετείλατο.

756. Ἐλᾷ γὰρ αὐτὸν τῇδε θ' ἡμέρᾳ: Πιθανῶς, ὡς μάντις, τὴν αἰτίαν λέγει τῆς μανίας· κατ' ἀρχὰς γὰρ ἡ Ἀθηνᾶ οὐδὲν τούτων προεῖπεν.

758. Τὰ γὰρ περισσά: Τὰ παρέλκοντα, καὶ ἀχρήσιμα, καὶ πέρα τοῦ μέτρου, τὰ χωρὶς δικαίου.

760. Ὅστις ἀνθρώπου φύσιν] Περιίσταται ὁ νοῦς εἰς τὸ Γνῶθι [k] σαυτόν. [Εἰς τὸ αὐτό.] Ὅτι πρὸς τὸ σημαινόμενον εἶπεν ὅστις, τὸ ἀνθρώπου ἀποδοὺς, ἅτινα δέον εἰπεῖν, εἰ καὶ μὴ πληθυντικῶς εἶπεν. Ἁπλούστερον γὰρ εἰπεῖν οἵτινες ἔδει.

762. Ἀπ' οἴκων] Ἀπὸ τῶν οἴκων τῶν πατρικῶν.

766. Παρατήρει κἀνθάδε τὴν προσθήκην τοῦ ποιητοῦ, ὅτι προσῆψε τῷ Αἴαντι γλωσσαργίαν, μονονουχὶ θεραπεύων τὸν θεατὴν μὴ ἄχθεσθαι τῇ συμφορᾷ τοῦ Αἴαντος· προσῳκειωμένοι γὰρ ἤδη τῇ ἀρετῇ αὐτοῦ, σχεδὸν καὶ τῷ ποιητῇ ὀργίζονται.

767. Ὅμου] Τὸ ὁμοῦ ἀντὶ τῆς συν· τὸ δὲ ἑξῆς, θεοῖς ὁμοῦ.

769. Κείνων] Τῶν θεῶν.

*Ibid.* Κλέος] [l] Νίκην.

775. Ἴστω] Ἀντὶ τοῦ ἵστασο.

*Ibid.* Καθ' ἡμᾶς] Ἡ καθ' ἡμᾶς μάχη.

776. Ἀστεργῆ] Ἀμάλακτον, ἀδιάθετον.

778. Ἀλλ' εἴπερ ἐστὶ τῇδε θ' ἡμέρᾳ: Εἰ παρέλθοι ταύτην τὴν ἡμέραν, [m] σωθείη· μέχρι γὰρ τῆς σήμερον παρατείνειν τὴν ὀργὴν τῆς θεοῦ.

780. Ὁ δ' εὐθὺς ἐξ ἕδρας: Ἅμα μὲν διὰ τὸ ἀξιόπιστον τοῦ προσώπου, ἅμα δὲ ὡς μὴ δοκοίη δι' ἀπέχθειαν ταῦτα λέγειν· διὰ πάντων

[i] ἐκ παροιμίας R. Br.

[k] σαυτὸν. πρὸς τὸ σημ. δὲ R. σαυτόν. πρὸς τὸ σημαινόμενον δὲ τὸ ἀνθρώπους ἀποδοὺς εἶπεν ὅστις Br. Ἁπλούστερον— ἔδει om. R. Br.

[l] Gl. om. R. Br.

[m] σωθείη ἂν R. Br. qui in fine, τῆς θεοῦ ἔλεγεν.

δὲ διδάσκει, ὅτι κρατεῖ τῶν ἀνθρωπίνων ἡ εἱμαρμένη, καὶ γνῶναι μὲν τὰ ἐσόμενα διὰ μαντικῆς ἐστιν, οὐ μὴν καὶ φυλάξασθαι δυνατόν.

781. Ἐπιστολάς] Ἐντολάς.

784. Δάϊον, κοινῶς τὸ πολέμιον· Ἀττικῶς δὲ [n] δύστηνον.

*Ibid.* Ὦ δαΐα Τέκμησσα: Τίνος ἕνεκεν οὐκ ἐποίησεν ἐξιοῦσαν τὴν Τέκμησσαν, ἵνα μετὰ τοῦ Χοροῦ ἀκούσῃ τὰ περὶ τοῦ Αἴαντος, ὡς ἐν τοῖς ἄλλοις δράμασιν, ἔν τε Ἠλέκτρᾳ καὶ Οἰδίποδι, ἅμα τῷ Χορῷ τὰς τῶν γυναικῶν προόδους ποιεῖ, ἵνα μὴ [o] δισσολογῶσιν οἱ ἄγγελοι; Ῥητέον οὖν, ὅτι ὁ Αἴας ἐκέλευσεν αὐτὴν κατ' οἶκον εὔξασθαι τοῖς θεοῖς, εἰπών,

καὶ δῶμα πάκτου.

Οὐδὲ μὴν αἰχμαλώτου σχῆμα ἔχουσαν ἔδει συνεχῶς ἐξιέναι, μάλιστα ἐν τοιούτῳ καιρῷ ἠγρυπνηκυῖαν καὶ παρηκολουθηκυῖαν τῇ τοῦ Αἴαντος μανίᾳ· ἔδει οὖν μέγα τι φανῆναι τὸ ἐξάγον αὐτήν. Διὸ πρὸς τὸν Χορὸν [p] ἔδεισε πρῶτον εἰπεῖν, οἷον, ὡς ἐπὶ μεγάλῃ προφάσει ἐκκαλοῦντες αὐτήν· ἄλλως τε οἱ ἀπὸ τοῦ Χοροῦ οἰκειότεροί εἰσιν, ὡς πολῖται τοῦ Αἴαντος, ὥστε καὶ ὁ ἄγγελος καλῶς οὐκ ἐζήτησε μεῖζον πρόσωπον, ἀλλὰ τὸν Αἴαντα οὐ καταλαβὼν ἔνδον, πρὸς τὸν Χορὸν φησίν· εἰς ἀνάγκην δὲ γεγονὼς ὁ ποιητὴς τοῦ [q] διλογῆσαι, οὐδαμοῦ προσκορὴς ἐγένετο, ἀλλὰ τὰ δεύτερα διὰ βραχέων ἐξήνεγκεν. Ἄλλως. Ὦ δαΐα. Δήϊα πεπονθυῖα, ἢ κατακεκομμένη, καταπεπολεμημένη, κεκακωμένη· ὦ δύστηνε, ὦ πεπολεμημένη καὶ ἀθλία· ἀπρεπὲς γὰρ [r] αὐτὴν πολεμίαν ἀποκαλεῖν· καὶ Αἰσχύλος ἀντὶ τοῦ ἀθλία κέχρηται τῇ λέξει.

785. Θροεῖ] [s] Λέγει.

786. Ξυρεῖ γὰρ ἐν χρῷ: Ἅπτεται τῶν ἀναγκαίων τοῦ χρωτός· καὶ ἔστι παροιμία ἐπὶ τῶν ἐπικινδύνων πραγμάτων, Ξυρεῖ ἐν χρῷ· ἐνίοτε γὰρ καὶ τοῦ σώματος ἐφάπτεται ὁ σίδηρος. Ἄλλως. Μέχρι βάθους ἐφικνεῖται, ὥστε μὴ χαίρειν· τὸ δὲ τινὰ [t] παρέλκεται.

*Ibid.* Τοῦτο] Τοῦτο τὸ πρᾶγμα.

787. Τί μ' αὖ τάλαιναν: Πρὸς τὸ [u] Εὐριπίδου ἐν Δίκτυϊ·

Τί μ' ἄρτι πημάτων λελησμένην
ὀρθοῖς;

[n] τὸ δύστηνον. τίνος δὲ ἕνεκεν R. Br.
[o] δισσολογοῦσιν L. qui infra παρακολουθηκυῖαν.
[p] ἔδει Br. Mox οἱ—ἐκκαλοῦσιν R. Br.
[q] διλογίσαι R.
[r] πολεμίαν αὐτὴν R. Br.
[s] Gl. om. R. Br.
[t] παρέλκει Br.
[u] Εὐριπίδειον Br. Εὐριπίδιον R.

788. Ἀτρύτων] [w] Πολυτρύτων.

*Ibid.* Ἐξ ἕδρας ἀνίστατε: Οὐκοῦν διὰ τὸ κεκμηκέναι καὶ ἀναπαύσεως δέεσθαι ἔνδον διέτριβεν, καὶ τὴν πρόφασιν τοῦ μὴ προϊέναι διασαφεῖ.

790. Ἤλγησα] Ἀλγεινῶς ἤκουσα.

791. Τί φὴς ὤνθρωπε: Περιπαθῶς ἀναβοᾷ, πυθομένη ὅτι ἀγγέλλει τις νεώτερόν τι περὶ τοῦ Αἴαντος· ἴδιον δὲ τῶν φίλων τὸ τὰ χείρω ἀεὶ ὑπονοεῖν.

*Ibid.* Μῶν ὀλώλαμεν: Τοιαῦτα γὰρ ἔλεγεν, ὅτι συναπολοῦμαί σοι, ἐὰν σὺ ἀποθάνῃς.

792. Πρᾶξιν] [x] Τὴν τύχην, εἴτ' οὖν εὐπραγίαν, [y] εἴτ' οὖν δυσπραγίαν.

*Ibid.* Οὐκ οἶδα τὴν σὴν πρᾶξιν: Πρὸς τὸ Μῶν ὀλώλαμεν, ἐπήγαγεν ὁ ἄγγελος περὶ τοῦ Αἴαντος μόνου· οὐ γὰρ τοιοῦτός ἐστιν ὁ καιρὸς, ὥστε σοφίζεσθαι, καὶ τὰς φωνὰς ἐξετάζειν. Καλῶς δὲ τὸ θαρσῶ. Οὐδὲ γὰρ αὐτὸς οἶδεν, ἀλλ' ἀπὸ τῶν λόγων τοῦ Κάλχαντος ἀγωνιᾶν φησίν.

794. Ὥστε μ' ὠδίνειν: Ἐμφατικῶς τὸ ὠδίνειν· οἰκεῖον γὰρ γυναικί· χαλεπώτατον δὲ τῶν γυναικείων πόνων ἡ ὠδίς.

*Ibid.* Ὠδίνειν] Ὀδυνᾶσθαι, ἀλγεῖν.

796. Ὕπαυλον: Ἐνδόμυχον, ὑπὸ τὴν αὐλὴν τῆς σκηνῆς.

797. Κἀπί τῳ] [z] Ἐπὶ τίνι, διὰ τί.

798. Πάρεστιν] [z] Ἐπιδημεῖ.

799. Φέρειν] [z] Ἀντὶ τοῦ εἶναι.

801. Καθ' ἡμέραν τὴν νῦν: Ἀμφιβόλως ἤτοι μαθὼν τὴν νῦν ἡμέραν, ἢ ὅτι κατὰ τὴν νῦν ἡμέραν τεθνήξεται.

802. Ὅτ' αὐτῷ θάνατον ἢ βίον: Εἰ μὲν ἔνδον [a] μένει, σωθήσεται, εἰ δὲ μὴ, ἀπόλλυται· διὰ τούτου δὲ τὸ διττὸν τοῦ μοιριδίου δηλοῖ· ὡς καὶ Ὅμηρος·

[b] Διχθαδίας κῆρας φέρεμεν θανάτοιο τέλοσδε.

803. Πρόστητ' ἀναγκαίας τύχης: Ἐπίκουροι γίγνεσθε τῆς κατεπειγούσης δυστυχίας.

[w] Gl. om. R. Br.
[x] ἀντὶ τοῦ τὴν R. Br.
[y] ἢ δυσπ. πρὸς δὲ τὸ R. Br.
[z] Gl. om. R. Br.
[a] μείνει L.
[b] Il. ί. 411.

804. Οἱ μὲν Τεῦκρον ἐν τάχει: Πιθανῶς καὶ Τεῦκρον μεταπέμπεται, ἵνα μὴ δεήσῃ ἄγγελον πέμπειν, [c] ὅταν τύχωσι τῷ σώματι.

805. Ἑσπέρους: Δυτικούς. Ἀγκῶνας δὲ, τὰς ἄκρας τῶν ὀρῶν τὰς πρὸς δύσιν.

*Ibid.* Ἀντηλίους] [d] Ἀνατολικούς.

807. Ἔγνωκα γὰρ δὴ φωτός: Οἷον, δι' ὧν εὐνοϊκῶς ἔπραξα εἰς αὐτὸν, καταφρονήσας ἠπάτησέ με.

808. Τῆς παλαιᾶς χάριτος] [d] Τῆς τοῦ γάμου καὶ τῆς συνουσίας.

809. Οἴμοι τί δράσω: Περιπαθῶς ἐφάψασθαι τῆς ζητήσεως καὶ τῷ τέκνῳ κελεύει, καὶ ὥσπερ ἀπολογουμένη, ὅτι καταλιμπάνει αὐτόν· φησὶν οὖν ἐν ἀπόρῳ γενομένη, τί δράσω; οἷον, πῶς μόνον σε καταλίπω;

810. Ὅποι περ ἂν σθένω: Οἷον, τῆς προθυμίας οὐδὲν ἐλλείψω, καὶ εἰ τῷ σώματι ἀδυνατῶ.

813. Χωρεῖν ἕτοιμος: Μετακινεῖται ἡ σκηνὴ, τοῦ Χοροῦ ἐξελθόντος· ἀναγκαία δὲ ἡ ἔξοδος, ἵνα εὕρῃ καιρὸν ὁ Αἴας [e] χειρώσασθαι ἑαυτόν.

815. Ὁ μὲν σφαγεὺς ἕστηκεν: Μετάκειται ἡ σκηνὴ ἐπὶ ἐρήμου τινὸς χωρίου, ἔνθα ὁ Αἴας εὐτρεπίσας τὸ ξίφος, ῥῆσίν τινα πρὸ τοῦ θανάτου προφέρεται, ἐπεὶ γελοῖον ἦν κωφὸν εἰσελθόντα περιπεσεῖν τῷ ξίφει. Ἔστι δὲ τὰ τοιαῦτα παρὰ τοῖς παλαιοῖς σπάνια· εἰώθασι γὰρ τὰ πεπραγμένα δι' ἀγγέλων ἀπαγγέλλειν. Τί οὖν τὸ αἴτιον; Φθάνει Αἰσχύλος ἐν Θρῄσσαις τὴν ἀναίρεσιν Αἴαντος δι' ἀγγέλου ἀπαγγείλας· ἴσως οὖν καινοτομεῖν βουλόμενος, καὶ μὴ κατακολουθεῖν [f] τοῖς ἑτέρου τινὸς, ὑπ' ὄψιν ἔθηκε τὸ δρώμενον· ἢ μᾶλλον ἐκπλῆξαι βουλόμενος· εἰκῇ γὰρ κατηγορεῖν ἀνδρὸς παλαιοῦ, οὐχ ὅσιον. Πήξας δὲ τὸ ξίφος ταῦτα φησί. Σφαγέα δὲ λέγει, ἢ τὸν καιρὸν τοῦ ἀποθανεῖν, ἢ [g] τὸν διὰ τῆς σφαγῆς θάνατον.

*Ibid.* Ἧι τομώτατος: Ἀντὶ τοῦ ὅπου· πρέπον γὰρ ἂν εἴη τῷ ἀπηυδηκότι ἀλογίστως εἶναι ἐπὶ τὸ προκείμενον· ἕπεται δὲ τῷ λόγῳ, ὅτι τοῖς καρτερικοῖς καὶ ἅπαξ κρίνασι περί τινος, οὐ γίνεται ἀναβολὴ, οὐδὲ μετάνοια.

818. Μάλιστα μισηθέντος: Μεγαλόφρων ὁ Αἴας, καὶ μέχρις

[c] ὅτ' ἐντύχωσι R. Br. qui mox om. δέ.

[d] Gl. om. R. Br.

[e] χειρ᾽σασθαι L. χειρίσασθαι R. Br.

[f] τοῖς ἑτέροις absque τινος R. Br.

[g] τὸ εἰς σφαγὴν ξίφος R. Br.

ἐσχάτης ὥρας μισῶν τοὺς βαρβάρους· ὅτι δὲ δῶρον εἶπεν, [h] ξένων ἐπήνεγκεν· ξένιον γὰρ λέγομεν τὸ δῶρον τὸ παρὰ ξένων διδόμενον· εἶτα προσέθηκεν, ἐμοὶ μάλιστα μισηθέντος.

819. Πέπηγε δ' ἐν γῇ πολεμίᾳ: Πρόδηλον μὲν, ὅμως διὰ τὸ περιπαθὲς, ὅτι ἐν πολεμίᾳ γῇ ὑπὸ δυσμενοῦς ἀπόλλυμαι.

820. Θηγάνῃ] Ἀκόνῃ, ὅθεν καὶ [i] τὸ θήγειν ἀκονᾶν.

821. Περιστείλας] Εὐτρεπίσας, διαχειρισάμενος, περισφίγξας ἐν τῇ γῇ.

822. Τῷδ' ἀνδρὶ] Ἐμοί.

*Ibid.* Λείπει τὸ [k] ὥστε· ὥστε διὰ τάχους θανεῖν.

823. Εὐσκευοῦμεν] Καλῶς παρεσκευάσμεθα, καὶ ἔχομεν πάντα ὧν δεῖ πρὸς θάνατον.

*Ibid.* Ἐκ δὲ τῶνδε] Οἷον, τὸ δὲ μετὰ ταῦτα.

828. Νεορράντῳ] Προσφάτῳ.

829. Καὶ μὴ πρὸς ἐχθρῶν του: Καταγέλαστος, φασὶν, ὁ Αἴας, μὴ τῶν κυνῶν ἢ τῶν οἰωνῶν τὴν αἰκίαν ὑποστελλόμενος, ἀλλὰ τὴν θέαν τῶν Ἑλλήνων· ῥητέον οὖν, ὅτι ἰδίωμα τῶν ἀνθρώπων, τὸ μὴ βούλεσθαι τοὺς ἐχθροὺς ἐναβρύνεσθαι αὐτοῖς, καὶ τούτου μόνου ἀντιποιοῦνται.

831. Τοσαῦτά σ' ὦ Ζεῦ προστρέπω] [l] γρ. Τοσαῦτά σοι. Προστρέπω δὲ, κατευκτικῶς λέγω· προστρόπαιοι γὰρ, οἱ ἱκέται.

*Ibid.* Προστρέπω] [m] Ἱκετεύων ἐπιτέρπομαι.

832. Πομπαῖον] Τὸν ψυχοπομπόν.

*Ibid.* Εὖ με κοιμίσαι: Θαυμαστῶς καὶ γενναίως κοιμίσαι εἶπεν, ὡς ἐπὶ ὕπνου, τὸν θάνατον· καὶ Ὅμηρος·

[n] Κοιμήσατο χάλκεον ὕπνον.

833. Ξὺν ἀσφαδάστῳ: Ἀσκαρίστῳ, καὶ σπασμὸν μὴ ἔχοντι, ἀντὶ τοῦ συντόμῳ· ὅπως καιρίας τῆς πληγῆς γινομένης, μὴ προσγενέσθαι σπασμὸν, μηδὲ πολλὴν ἐν τῷ θανάτῳ διατριβήν· καὶ παρ' [o] Εὐριπίδῃ·

Ὁ δ' ἐσφάδαζεν, οὐκ ἔχων ἀπαλλαγάς.

Σφαδάζειν δὲ ἔλεγον τὸ σπᾶσθαι καὶ σφακελίζειν. Παραδεδομένου δὲ καθ' ἱστορίαν, ὅτι κατὰ τὸ ἄλλο σῶμα ἄτρωτος ἦν ὁ Αἴας, κατὰ δὲ

h ξένιον R.
i θήγειν τὸ R. Br.
k ὥστε semel R.
l τοιαῦτα absque σοι R. Br.
m Gl. om. R. Br.
n Il. λ'. 241.
o Fr. inc. 202. Mox δὲ om. R. Br.

τὴν μασχάλην τρωτὸς, διὰ τὸ τὸν Ἡρακλέα τῇ λεοντῇ αὐτὸν σκεπάσαντα, κατὰ τοῦτο τὸ μέρος ἀσκέπαστον ἐᾶσαι, διὰ τὸν γωρυτὸν, ὃν περιέκειτο· φησὶν δὲ περὶ αὐτοῦ Αἰσχύλος, ὅτι καὶ τὸ ξίφος ἐκάμπτετο, οὐδαμῇ ἐνδιδόντος τοῦ χρωτὸς τῇ σφαγῇ·

Τόξον ὥς τις ἐντείνων,

πρὶν δή τις, φησὶ, παροῦσα δαίμων ἔδειξεν αὐτῷ κατὰ ποῖον μέρος δεῖ χρήσασθαι τῇ σφαγῇ· ὁ δὲ Σοφοκλῆς, ἐριθεῦσαι μέν τι ὡς πρεσβυτέρῳ μὴ βουληθεὶς, οὐ μὴν παραλιπεῖν αὐτὸ δοκιμάζων, ψιλῶς φησὶ,

πλευρὰν ἀναρρήξαντα τῷδε φασγάνῳ,

κατὰ τί τὴν πλευρὰν μὴ εἰπών.

835. Τὰς ἀεί τε παρθένους: Μυθικόν ἐστι τὸ λέγειν τὰς Ἐρινύας [p] ἀεὶ παρθένους· νῦν δὲ τὰς ἀδωροδοκήτους, καὶ οὐχὶ χρανθῆναι δώροις δυναμένας ὑπὸ τῶν ἀδικούντων.

837. Τανύποδας: [q] Τὸ τανύποδας τῷ μαθεῖν συναπτέον. Οἷον, ταχέως μαθεῖν τὸ κατ' ἐμὲ, καὶ μὴ ἀμελῆσαι ἐπεξελθεῖν τὸν ἐμὸν φόνον· τὸ γὰρ τεῖναι τοὺς πόδας ἐστὶ τὸ βαδίσαι· ἢ καθ' ἑαυτὸ τὸ τανύποδας λεκτέον, τὰς πανταχοῦ τεινούσας τοὺς πόδας. [Εἰς τὸ αὐτό.] Τὰς ἀκοπιάστως ἐπιούσας.

841. Τὼς αὐτοσφαγεῖς: Ταῦτα νοθεύεσθαι φασὶν, ὑποβληθέντα πρὸς σαφήνειαν τῶν λεγομένων. [Εἰς τὸ αὐτό.] [r] Τοῦτο ἀπέβη τῷ Ἀγαμέμνονι· ὑπὸ γὰρ τῶν φιλτάτων ἀπώλετο.

844. Τὸ ἑξῆς: Γεύεσθε πανδήμου στρατοῦ, μὴ φείδεσθε.

845. Σύ τ' ὦ τὸν αἰπὺν οὐρανόν: Ὑπερβολικῶς· εἰώθασι γὰρ περὶ τῶν δεινῶν λέγειν, ὅτι ἐπικαλυψάμενος ὁ Ἥλιος τὰ τοιαῦτα παρέρχεται· ὁ δὲ πρὸς τὸν Ἥλιον φησί· καὶ ἀπάγγειλον ἐποπτεύσας τοῖς γονεῦσι τὰ πεπραγμένα.

849. Τῇ τε δυστήνῳ τροφῷ: Καὶ ταῦτα περιπαθῆ καὶ ἀνθρώπινα· ὅρα γὰρ ὅτι καὶ [s] ὁ Ἡρακλῆς ἐπὶ τοῦ θανάτου τὴν μητέρα μεταπέμπεται, ὅπου καὶ πάνυ οἰκτρῶς αὐτὴν ἀνακαλεῖ·

Κάλει δὲ τὴν τάλαιναν·

ὡς ἀντιλαμβανόμενος δὲ ἑαυτοῦ ἐπάγει·

Ἀλλ' οὐδὲν ἔργον ταῦτα θρηνεῖσθαι μάτην.

[Εἰς τὸ αὐτό.] Οἱ μὲν, τῇ θρεψαμένῃ· οἱ δὲ καὶ ἐπὶ τὸ σαφέστερον.

[p] ἀειπαρθένους R.

[q] τὰς ἀκοπιάστως ἐπιούσας· συναπτέον δὲ τῷ μαθεῖν τὸ τανύποδας R. Br.

[r] Alia sede R. Br.

[s] Trach. 1148.

853. Ἀρκτέον: Ἤτοι ἄξιον ἀρχὴν λαβεῖν τὸ πρᾶγμα· ἔστι γὰρ ὄνομα ἐπίθετον, ἀλλ' οὐκ ἐπίρρημα· τὰ μὲν γὰρ οὕτω προφερόμενα ἐπιρρήματα ἐνεργητικὴν ἔχουσι τὴν σημασίαν· τὰ δὲ ὀνόματα, παθητικήν.

854. Ἐπισκέψαι] [t] Σκόπησον.

860. Ἑστίας βάθρον: Δύναται καὶ τὸ κρατὸς νοεῖσθαι, καὶ ὁ τόπος, καὶ ἡ βάσις τῆς ἑστίας.

861. Κλειναί τ' Ἀθῆναι: Τῶν Ἀθηναίων μέμνηται διὰ τὴν συγγένειαν· καὶ ὅτι ἐν Ἀθήναις ὁ ποιητὴς ἠγωνίζετο, ταῦτά φησιν, ἐπισπώμενος αὐτοὺς εἰς εὔνοιαν.

861. Σύντροφον γένος] Οἱ ὁμήλικες.

862. Κρῆναί τε ποταμοί θ' οἵδε καὶ τὰ Τρωϊκά: Καὶ ἐν ἀρχῇ ἔφη,

πολεμίᾳ τῇ Τρῳάδι.

Ἐπὶ δὲ τῷ τέλει καὶ τὰς κρήνας καὶ τοὺς ποταμοὺς καλεῖ, παρ' οἷς μέλλει τελευτᾶν· καὶ ἔστιν εὐσεβοῦς ἀνδρὸς ἐξευμενίζειν πρὸ τοῦ θανάτου θεοὺς, τόπους, χώραν, πατρίδα, [u] ἀδελφὸν, ὥστε μετ' εὐμενείας ἀποθανεῖν· ἴσως δὲ καὶ ἐπιμαρτυρόμενος λέγει.

864. Τοῦθ' ὑμῖν Αἴας: Περιπαθῶς καὶ τὸ ὄνομα ἀνακαλεῖται. Δεῖ δὲ ὑπονοῆσαι, ὅτι περιπίπτει τῷ ξίφει, καὶ δεῖ καρτερόν τινα εἶναι τὸν ὑποκριτὴν, ὡς ἄξαι τοὺς θεατὰς εἰς τὴν τοῦ Αἴαντος φαντασίαν, ὁποῖα περὶ τοῦ Ζακυνθίου Τιμοθέου φασὶν, ὅτι ἦγε τοὺς θεατὰς, καὶ ἐψυχαγώγει τῇ ὑποκρίσει, ὡς Σφαγέα αὐτὸν κληθῆναι.

864. Θροεῖ] Λέγει.

866. Λείπει ἡ πρὸς, ἵν' ᾖ, ὁ πόνος πρὸς τῷ πόνῳ πόνον φέρει· καὶ ἔστι τὸ μὲν πόνος πόνῳ ἀρχαϊκὸν, ὡς ἔργον ἐπ' ἔργῳ· τὸ δὲ δεύτερον πόνον [w] κοινῶς, οἷον, κάματον. Ἄλλως. Οἱ ἀπὸ τοῦ Χοροῦ προΐασιν, ὥσπερ ἐκ διαφόρων τόπων κατ' ἄλλην καὶ ἄλλην εἴσοδον, ζητοῦντες τὸν Αἴαντα, καὶ ἡ Τέκμησσα ἐξ ἄλλων, ἥτις καὶ πρώτη ἐπιτυγχάνει τῷ πτώματι. Ὁ δὲ νοῦς· ὁ πόνος ἐπὶ πόνῳ πόνον φέρει· ὡς Ὅμηρος·

[x] Πάντῃ δὲ κακὸν κακῷ ἐστήρικται·

καὶ ἐν Τραχινίαις· [y]

νὺξ γὰρ εἰσάγει
Καὶ νὺξ ἀπωθεῖ διαδεδεγμένη πόνον.

[t] Gl. om. R. Br.
[u] ἀδελφὸν L. ἀδελφοὺς R. Br.
[w] οἷον κοινῶς οἷον L.
[x] Il. π'. 111.
[y] v. 29.

869. Κοὐδεὶς ἐπίσταται: Οὐδείς οἶδέ με τόπος συμμαθεῖν· οἷον, μεμαθηκότα τὸ γεγονὸς οὐδείς με οἶδεν τόπος· ἀλλὰ μάτην περιῆλθον. [z] Ἢ συμμαθεῖν ἀντὶ τοῦ διδάξαι, εἰς μάθησιν ἀγαγεῖν τοῦ ζητουμένου.

870. Ἰδοὺ, ἰδού: Πιθανὰ ταῦτα, καὶ σχεδὸν τῆς ἀληθείας ἐγγύς· τὸ δὲ δοῦπον, ἐλπίζοντες τῷ σώματι περιπεσεῖν.

872. Κοινόπλουν ὁμιλίαν: Ἢ συνναῦται, ἐπὶ τῆς αὐτῆς νηὸς πλεύσαντες· ἢ τροπικῶς, τὸν αὐτὸν ἡμῖν πλοῦν ἐσταλμένοι πρὸς τὴν ζήτησιν.

879. Τίς ἂν δῆτά μοι] Ὅλος ὁ Χορὸς εἰς ἓν συνελθὼν ταῦτα φησίν.

*Ibid.* Τίς ἂν φιλοπόνων ἁλιαδᾶν: Τίς τῶν ἁλιέων ἀεὶ ἀγρυπνεῖν εἰθισμένων διὰ τὴν ἄγραν, ἢ τίς θεὰ Ὀλυμπιὰς, ἢ ποταμῶν ἴδρις, τουτέστι Ναῒς, [a] ἀπαγγεῖλαι, εἴ που λεύσσει τὸν ὠμόθυμον.

880. Φιλοπόνων] [b] Τῶν εἰθισμένων πονεῖν.

881. Ἄγρας] γρ. ἕδρας.

883. Ῥυτῶν] Τῶν ῥεόντων· παρὰ τὴν ῥύσιν.

884. Βοσπορίων: Τῶν εἰς τὸν Βόσπορον ῥεόντων Τρωϊκῶν ποταμῶν· δύο δέ εἰσι Βόσποροι· ὁ μὲν κατὰ τὴν Προποντίδα· ὁ δὲ Θρᾳκικὸς, ὥς φησὶ Φιλέας. [Εἰς τὸ αὐτό.] [c] Ἴσως τῶν Ἑλλησποντίων.

887. Ἀπύοι] εἴποι.

888. Σχέτλια γὰρ ἐμέ: Δεινὰ γὰρ πράγματα, ἐμὲ τὸν ἐπιπόνως πλανηθέντα, μὴ εὐθυδρομῆσαι εἰς τὸ τῆς ζητήσεως μέρος, καθὸ ὁ Αἴας ἐποιήσατο τὴν ἔφοδον· τοῦτο γὰρ ἂν εἴη οὔριον.

890. Ἀλλ' ἀμένηνον: Ἐφ' ἑαυτοῦ, οὐκ ἐπὶ τοῦ Αἴαντος· σχέτλια ἂν εἴη μὴ ἐπιτετυχηκέναι αὐτῷ, ἀλλ' ἠσθενηκέναι με τῇ ζητήσει.

892. Πάραυλος: Ἐγγύς· παρὰ τὴν αὐλήν· ἢ θρηνητική· παρὰ τοὺς αὐλούς. [Εἰς τὸ αὐτό.] [e] Παρατεταμένη.

893. Ἰὼ τλήμων: [e] Τέκμησσα βοᾷ ἐπιτυχοῦσα τῷ σώματι· φαίνεται δὲ οὐδέπω ἔνοπτος οὖσα τῷ Χορῷ. [Εἰς τὸ αὐτό.] Τοῦτο ἐν τῷ ἐμφανεῖ [f] γενομένη, ὅπερ δηλοῖ ὁ Χορός.

899. Κρυφαίῳ: Ἀποκεκρυμμένῳ, εἰσδεδυκότι εἰς τὸ σῶμα· τὸ δὲ

[z] ἢ om. R. Br. Supra περιῆλθεν R.
[a] ἀπαγγεῖλαι ἂν Br.
[b] Gl. om. R. Br.
[c] Alia sede R. Br.
[e] Alia sede R. Br.
[f] Sic L. qui γενομένῳ corr. γενόμενον R. Br.

περιπτυχὴς κυριώτατα μὲν ὠνόμασται, ἡμῖν δὲ δυσμετάβλητον. Τινὲς δὲ, περικεκυλισμένος.

899. Κρυφαίῳ] Τῷ λαθραίως τῶν φίλων γεγονότι.

900. Ἰώ μοι ἐμῶν νόστων] Ἐν πρώτοις περὶ ἑαυτῶν ὀλοφύρονται.

902. Τόνδε συνναύταν] Ἀντὶ τοῦ, ἐμὲ τὸν Χορὸν, συνηθῶς.

906. Ἐν γάρ οἱ χθονί: Αὐτὸ τὸ σχῆμα, φησὶ, δηλοῖ ὅτι ὑφ' ἑαυτοῦ ἀνῃρέθη· πᾶν δὲ ἀμυντήριον, καὶ δόρυ καὶ ἔγχος καλοῦσιν οἱ νεώτεροι. Περιπετὲς δὲ, ᾧ περιέπεσεν. Τοῦ δὲ θεατοῦ εἰδότος τὸν τρόπον τῆς ἀναιρέσεως, [g] ἔδει καὶ τὸν Χορὸν, καὶ τὴν Τέκμησσαν πολυπραγμονῆσαι.

907. Πηκτόν] Περιπεπηγὸς αὐτῷ.

*Ibid.* Κατηγορεῖ] Σημαίνει, λέγει.

909. Οἷος ἄρ' αἱμάχθης] Μόνος ᾑματώθης.

910. Ἄφρακτος φίλων: Ἀφύλακτος, οὐ πεφραγμένος καὶ τετειχισμένος τοῖς φίλοις, διὰ τὸ ἀπατηθέντας καταλιπεῖν σε.

911. Ὁ πάντα κωφός] Τὰ πάντα εἰς τὴν ἀπάτην· ἐγὼ δὲ, φησὶν, ὁ ἀναίσθητος κατημέλησα.

912. Πᾶ, πᾶ: Τοῦτο κατ' ἄλλης ἀρχῆς· βουλόμενοι τὸ σῶμα θεάσασθαι, τοῦτο λέγουσιν, ὃ διακωλύει ἡ Τέκμησσα.

913. Ὁ δυστράπελος: Δυσκίνητος, ἀμετάτρεπτος, ὃς οὐχ εὗρεν ἐκφυγὴν τῷ πάθει· οὕτω λέγουσι καὶ δυστράπελον τὸ ὄρυγμα, τὸ οὐκ [h] εὐδιάλυτον. Ἄλλως. Δυστράπελον φασὶν [i] Ἀττικοὶ τὸν ἀμετακίνητον ἐν ὀργῇ, ἢ διαθέσει, ἢ φιλαργυρίᾳ· τὸν αὐτὸν δὲ καὶ ἀτράπελον. [Εἰς τὸ αὐτό.] Ὁ δύσκολος.

914. Δυσώνυμος] Ὡς καὶ αὐτὸς λέγει ὁ Αἴας.

916. Φάρει καλύψω: Ἦθος γυναικὸς, τὸ μὴ [k] ἀσχήμως δεικνύναι τὸ σῶμα.

*Ibid.* Παμπήδην] Παντελῶς, ὅλον τὸ σῶμα.

917. Οὐδεὶς ἂν ὅστις καὶ φίλος: Ὑπερβολικῶς, ἐπεὶ οὐκ εἰκὸς ἐν τοῖς δεινοῖς τοὺς φίλους μαλακίζεσθαι.

921. Ὡς ἀκμαῖος: Καίριος, κατὰ καιρὸν, παρὰ τὴν ἀκμὴν τοῦ καιροῦ· καλῶς δὲ ζητεῖ Τεῦκρον, ἵνα ἡ κηδεία γένηται ἀπὸ τοῦ συγγενοῦς.

922. Συγκαθαρμόσαι] Περιστεῖλαι.

924. Αὔξησις περὶ τὸ πάθος, ὡς καὶ τοὺς δυσμενεῖς ἐλεεῖν.

[g] οὐκ ἔδει—οὔτε τὴν Br.
[h] εὐδιάλακτον R. εὐδιάλλακτον Br.
[i] Ἀττικῶς R. Br.
[k] ἀσχημόνως Br.

925. Ἔμελλες] Ἰακῶς· ἐῴκεις ἄρα καὶ δῆλος ἦς.

926. Στερεόφρων: Οἷον, ἐφ' οἷς ἐνόησας καὶ ἤλγεις περιυβρισμένος ὑπὸ τῶν Ἀτρειδῶν, ἔμελλες πληρώσειν κατὰ τὰς φρένας τὴν μοῖραν.

927. Ἐξανύσειν] [l] Τοῦ καινίσειν.

*Ibid.* Πάννυχα καὶ φαέθοντα] Κατὰ νύκτα καὶ ἡμέραν.

*Ibid.* Ἄρχων] Ἀρχηγὸς, [m] προηγός.

935. Ἀριστόχειρ] Ὁ γενναῖος περὶ τὰ ἀριστεῖα.

938. Γενναία] Ἡ ἰσχυρά.

940. Οὐδέν σ' ἀπιστῶ: Εἰώθασιν ἐν τοῖς πάθεσιν καὶ συγχωρεῖν τοῖς ἀλγοῦσιν· φέρει γὰρ τοῦτο καὶ κόρον τοῦ θρήνου καὶ παραμυθίαν.

941. Ἀρτίως] [n] Γνησίου. Οὐ γάρ ἐστι χρονικόν.

942. Σοὶ μὲν δοκεῖν ταῦτ' ἐστί: Σοὶ μὲν ταῦτα ἐν δόξῃ καταλαμβάνεται· ἐγὼ δὲ σαφῶς ἐπίσταμαι· ἔστι μὲν γὰρ καὶ τῷ Χορῷ οἰκειότης πρὸς Αἴαντα, ἀλλ' οὐχ ὅσον πρὸς τὴν Τέκμησσαν.

*Ibid.* Δοκεῖν] Δοξάζειν.

*Ibid.* Ἄγαν φρονεῖν] Τὸ αἰσθάνεσθαι τῆς λύπης.

945. Σκοποί] Οἱ Ἀτρεῖδαι.

946. Ὤμοι ἀναλγήτων: Ἀσυμπαθῶν, εἰ τοῦτο πράξειαν· ἢ τῶν μηδ' ὅλως ἀλγούντων ἐπὶ ταῖς συμφοραῖς τῶν Ἑλλήνων· ἢ πολυαλγήτων, τῶν εἰς πολλὰ ἄχη ἡμᾶς ἐκβεβληκότων. [Εἰς τὸ αὐτό.] [o] γρ· ἰώ μοι. Περιπαθῶς δὲ ὁ Χορὸς ἀναβοᾷ ἐπὶ τῷ λόγῳ Τεκμήσσης.

948. Τῷδ' ἄχει] Τῇ παρούσῃ συμφορᾷ.

950. Οὐκ ἂν τάδ' ἔστη: Οὐκ ἂν ταῦτα ἐπράχθη οὕτω, μὴ θεῶν βουλομένων, ὥστε καὶ ταῦτά ἐστι προσδοκᾶν περὶ τῶν Ἀτρειδῶν. Ἄλλως. Πρὸς τὸ εἰρημένον ὑπὸ τοῦ [p] Χοροῦ, ἀλλ' ἀπείργοι θεὸς, φησὶν, οὐκ εἰκὸς συλλήψεσθαι ἡμῖν τοὺς θεοὺς, ἐπεὶ οὐδ' ἂν ἐπράχθη ταῦτα.

951. Ἄγαν ὑπερβριθές: Μέγα καὶ βαρὺ ἤνυσαν οἱ πράξαντες τὰ περὶ τὸν Αἴαντα, ὅ ἐστιν, οἱ αἴτιοι τούτων.

953. Φυτεύει] [q] Ἐφύτευσεν.

954. Κελαινώπαν: Οἷον, οὐκ ἐν τῷ φανερῷ, ἀλλ' ἐν σκότῳ ἤδη βλεπόμενον, καὶ μέλανα, καὶ οἷον κεκρυμμένον καὶ δόλιον, καὶ οὐχ

[l] Gl. om. R. Br.
[m] προηγὸς om. R. Br.
[n] Gl. om. R. Br.
[o] Alia sede R. Br. Supra ἐμβεβληκότων R. Br.
[p] θεοῦ R.
[q] ἀντὶ τοῦ ἐφ. R. Br.

ἁπλοῦν θυμὸν ἐφυβρίζει· ἔξωθεν δὲ ἡ κατα· τὸ δὲ ἡμᾶς λείπει, ἵν' ᾖ, κατὰ τὸν θυμὸν ἐφυβρίζει ἡμᾶς.

957. Τοῖς μαινομένοις] Τοῖς διὰ [r] τὴν μανίαν συμβεβηκόσιν.

960. Κλύοντες] [s] Τὰ ἄχη κλύοντες.

962. Ἴσως τοι κεἰ βλέποντα: Καὶ νῦν βλέποντα εἶπεν ἀντὶ [t] τοῦ ζῶντα· διὸ τὸ χ̄ πρόσκειται.

966. Ἐμοὶ πικρὸς τέθνηκεν: Μᾶλλον ἐμοὶ πικρὸς τέθνηκεν, ἤπερ ἐκείνοις γλυκύς· ἐπεὶ ὧν ἐπεθύμει ἔτυχεν, οὐκ ἂν οὖν ἐπεγγελῷεν αὐτῷ οἱ ἐχθροὶ, ὡς αὐτοὶ τῆς ἀπωλείας αἴτιοι γενόμενοι.

970. Θεοῖς τέθνηκεν: Θεῶν βουλομένων· οὐ γὰρ οἱ Ἕλληνες τὴν τοιαύτην αἰτίαν αὐτῷ παρέσχον.

974. Ἰώ μοί μοι: Δεῖ γενέσθαι βοὴν, ἣν ἀκούσας ὁ Χορὸς, ἐφίστησι [u] γνωρίζειν τὸ φθέγμα τοῦ Τεύκρου βοῶντος.

976. Ἐπίσκοπον μέλος: Σημαντικὸν, ἔφορον, οὐχ ἡμαρτηκὸς τῆς συμφορᾶς, ἀλλ' ἐστοχασμένον.

977. Ὦ φίλτατ' Αἴας: Ἔρχεται [w] μεταπεμφθεὶς ὑπὸ Τεκμήσσας.

978. Ἆρ' ἠμπόληκας: Ἐνεπόλησας, ἐκέρδανας· καὶ ἐπὶ φαύλου λέγεται· τροπικῶς δὲ, ἀντὶ τοῦ περιεποίησας.

982. Περισπερχὲς] Ἀντὶ τοῦ βαρύ.

983. Τί γὰρ τέκνον τὸ τοῦδε: Καὶ πρὶν ἀκοῦσαι τῶν ἐντολῶν ὁ Τεῦκρος, ἔδειξεν τὴν περὶ τὸν παῖδα κηδεμονίαν ἀφ' ἑαυτοῦ φρονίμως.

986. Κενῆς] Κεκενωμένης, ἐστερημένης [x] τῆς συζύγου.

*Ibid.* Ὡς κενῆς σκύμνον λεαίνης: Καλῶς τῷ παραδείγματι χρῆται· οἱ γὰρ κυνηγοὶ τηροῦσι τὸν καιρὸν ὁπότε ἔρημοι τῶν μητέρων γίνονται οἱ σκύμνοι.

994. Ὁδός θ' ὁδῶν ἁπασῶν: Οὐ λέγει τὴν ἐπὶ τὴν Μυσίαν· ἐπιφέρει γὰρ, ἣν δὴ νῦν ἔβην· ἀλλὰ ταύτην, ἣν ἦλθεν ἐπὶ τὸ ἰδεῖν τὸν νεκρόν.

998. Ὀξεῖα γάρ σου βάξις: Οὐ κοινῶς τὸ ὀξὺ ἐπὶ τῆς φήμης, ἀλλ' ὁρμὴν ἴσχει ἐπὶ τοῖς ἀξιώματι προβεβηκόσι. [y] Τὸ δὲ ὡς θεοῦ,

[r] τὴν om. R. Br.
[s] Gl. om. R. Br.
[t] τὸν L.
[u] γνωρίζειν L. γνωρίζων R. Br.
[w] Τεῦκρος μεταπεμφθεὶς Br.
[x] τοῦ συζ. Br. qui cum R. habet καὶ ante ἐστερημένης. Tum καλῶς δὲ τῷ R. Br.
[y] Τὸ δὲ om. R. Br.

ἤτοι ὡς ἀπὸ θεοῦ, ἢ ὥσπερ θεοῦ· τοῦτο δὲ πρὸς τὴν φήμην μόνον, ἐπεὶ γίνεται βλάσφημον διὰ τῶν ἑξῆς.

1001. Ὑπεστέναζον] Ἴσως ἡσύχως ἐστέναζεν, δεδοικὼς τοὺς ἐχθρούς.

1003. Ἴθ' ἐκκάλυψον: Πρὸς τὸν Χορὸν φησὶν ἢ τινὰ τῶν θεραπόντων· ἡ γὰρ Τέκμησσα ἐπὶ τὸν παῖδα ἀπῄει.

1004. Ὦ δυσθέατον ὄμμα] Ὡς [z] ἀνακαλύψας.

1005. Ἀνίας] [a] Λυπάς.

*Ibid.* Κατασπείρας: Δαιμονίως καὶ τὸ σπείρας, οἷον, ἀρχὴν κακῶν παρασχών· ἢ τὸ σπείρας ἐπὶ πλήθους κακῶν τακτέον.

1007. [a] Τοῖς σοῖς ἐν πόνοισιν ἀρήξαντα μηδαμοῦ.

1008. Ἦ που Τελάμων: Ἅμα μὲν πρὸς τῆς ἱστορίας, ὅτι ἐκβέβληται, ἅμα δὲ καὶ πρὸς τὸ πιθανὸν τῆς ὑπονοίας.

1010. Πῶς γὰρ οὐχ ὅτῳ πάρα: Πῶς γὰρ οὗτός με ἡδέως δέξεται, ᾧ καὶ εὐτυχοῦντι τὸ προσηνὲς ἄπεστι καὶ ἱλαρόν. [Ἄλλως.] Οὐχ ὅτῳ πάρα. Οὐχ ᾧ τινι οὐδ' εὐτυχοῦντι πάρεστιν τὸ γελᾶν. Εὐτυχοῦντι δὲ εἶπεν, οὐκ ἐπὶ τῷ υἱῷ ἐσφαγμένῳ, ἀλλ' ἐπὶ ταῖς ἀνδραγαθίαις τοῦ υἱοῦ, καὶ τῇ ἁλώσει τῆς Τροίας.

1012. Ποῖον οὐκ ἐρεῖ κακόν] Οἷον, τίνος [b] ἀπόσχοιτο λόγου.

1013. Τὸν ἐκ δορὸς γεγῶτα] Ὡσανεὶ ἐμέ.

1015. Ὡς τὰ σὰ] Ἀντὶ τοῦ, ὅπως τὰ σά.

1017. Τοιαῦτ' ἀνὴρ δύσοργος: Τὸ μὲν δύσοργος ἐκ φύσεως· λέγει γὰρ αὐτὸν ἀεὶ σκυθρωπόν· τὸ δὲ ἐν γήρᾳ, εἰς ἐπίτασιν.

1018. Πρὸς οὐδέν] Πρὸς οὐδὲν ἀληθές, ἢ αἴτιον [c] ἐμοί.

1020. Λόγοισιν] Ταῖς τοῦ πατρὸς λοιδορίαις.

1022. Πολλοὶ μὲν ἐχθροί: Πολλοὶ ἐχθροὶ Ἕλληνές τε καὶ Τρῶες· ὀλίγοι δὲ ὠφελήσιμοι Ἕλληνες.

1024. Πῶς ἀποσπάσω: Πῶς, φησὶ, τὸ σῶμα ἀπὸ τοῦ ξίφους ἑλκύσω; συμπληρῶσαι δὲ βούλεται, καὶ θάπτειν αὐτόν· καλῶς δὲ τῇ μὲν Τεκμήσσῃ περιῆψε τὸ σκεπάσαι αὐτὸν, ὡς γυναικί· τῷ δὲ Τεύκρῳ, ὡς ἀνδρὶ καὶ ἀδελφῷ, τὰ δέοντα ποιεῖν περὶ τὸ σῶμα.

1025. Τοῦδ' αἰόλου κνώδοντος: Τῆς ἀκμῆς τοῦ ξίφους, τῆς ὀξείας

[z] ἀνακαλύψας τοῦτό φησι R. Br.
[a] Gl. om. R. Br.
[b] ἂν ἀπόσχοιτο Br.
[c] μοι R. Br.

εἰς τὸ καίνειν, ὡς ὀδούς· ὀδοῦσι γὰρ [e] περιβάλλεται ὀξέσιν· ἀπὸ δὲ τοῦ ἄκρου τὸ ξίφος δηλοῖ.

1030. Πρισθεὶς] [f] Ἐξαφθεὶς, ἐκδεσμηθείς.

1035. [f] Κἀκεῖνον] Τὸν λῶρον.

1037. Καλῶς τὸ φάναι πάντα κατὰ γνώμην θεῶν γίνεσθαι· εἰσὶ γάρ τινες ἑτεροδοξοῦντες.

1038. Ὅτῳ δὲ μὴ τάδ'] Τὸ ἐκ θεῶν μηχανᾶσθαι ταῦτα.

1039. Ἐκεῖνα στεργέτω] Τὰ ἑαυτοῦ δόγματα· γέγονε δὲ τοῦτο καὶ παροιμιακόν.

1041. Χὤ τι μυθήσῃ τάχα: Καὶ ὅτι μυθήσῃ πρὸς τὴν ἔφοδον Μενελάου, τουτέστι, τὴν ἄφιξιν, ἤτοι πρὸς αὐτὸν Μενέλαον.

1043. Ἐξίκοιτ' ἀνήρ: Πιθανῶς [g] πάρεστιν ὅτι οὐ συμπαθήσων πάρεστιν· οὐκ ἀργῶς δὲ τοῦτο, ἀλλ' ὥσπερ προπαρασκευάζων τὸν Τεῦκρον.

1044. Τίς δ' ἐστιν] Εἰς ἐναντιολογίαν.

1045. Ὧι δὴ τόνδε] Ἀντὶ τοῦ, δι' ὅν τινα τὸν ἐπὶ Τροίαν ἐστειλάμεθα πλοῦν.

1047. Οὗτος σὲ φωνῶ: Ὑβριστικὸν τὸ ἦθος Μενελάου· ἴσως ἐκ τῆς συνωμοσίας Ὀδυσσέως.

1048. Ὅπως ἔχει] Ἀντὶ τοῦ ἄθαπτον.

1050. Δοκοῦντ' ἐμοί] Διὰ τὴν ἐξουσίαν, οὐ διὰ δικαιολογίαν.

1055. Πρῶτον κεφάλαιον, ὅτι ἐπίβουλος ἦν τῶν Ἑλλήνων· δεύτερον, ὅτι [h] ἀπειθής· ἐντεῦθεν δὲ τὴν πρόφασιν τῆς ἀντιλογίας λήψεται ὁ Τεῦκρος, ὅτι οὐκ εἰσὶν αὐτῷ βασιλεῖς οἱ Ἀτρεῖδαι.

1056. Ὡς ἕλοι δορί] γρ. ὡς ἐλοιδόρει.

*Ibid.* Ὡς ἐλοιδόρει: Ὡς λοιδορούμενος ἐπηγγείλατο· ταῦτα γὰρ εἶπεν ὁ Αἴας.

1064. Χλωράν] Διὰ τὰ ἐκεῖσε φυτά.

1066. Πρὸς ταῦτα] Στοχάζεται γὰρ ὅτι ὁ Τεῦκρος οὐ δίχα ὀργῆς δέξεται τοὺς λόγους.

1069. Παρευθύνοντες] Ἀντὶ τοῦ τιμωρούμενοι.

[e] παραβάλλεται Br. qui mox πικροῦ pro ἄκρου.

[f] Gl. om. R. Br.

[g] πάρεστιν om. Br.

[h] ἀπειθεὶς R.

1074. Ἔνθα μὴ [i] καθεστηκ. δέος] Καὶ [k] Ἐπίχαρμος·

Ἔνθα δέος, ἐνταῦθα καὶ αἰδώς.

1079. Δέος γὰρ ᾧ πρόσεστιν] Παρ' Ὁμήρῳ·

[l] Αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι, ἠὲ πέφανται.

1084. Πάνυ ἀσφαλῶς τὸ καίριον.

1085. Καὶ μὴ δοκῶμεν] Ἐὰν ποιοῦντές τι παρὰ φύσιν ἡδώμεθα, μὴ ὑπολαμβάνωμεν ὅτι οὐκ [ll] ἀντιτίσωμεν ἃν λυπώμεθα, ἀντὶ τοῦ, δι' ὧν λυπώμεθα· τοῦτο δὲ δηλοῖ, ὅτι ὃ οἱ πολλοὶ τιμῶσιν ἡδὺ, τοῦτο οὐκ ἔστι παραμένον· ἀλλὰ γίνεται μεταβολὴ τῆς ἡδονῆς εἰς λύπην.

1088. Αἴθων ὑβριστής: Οὐχ ἵσταται ἐπὶ τῶν αὐτῶν· ἦν τότε ὑβριστὴς οὗτος, ἀλλὰ νῦν ἐν μεταβολῇ γέγονεν· καὶ ἡμεῖς, οἱ πρότερον κρατούμενοι ὑπ' αὐτοῦ, [m] μέγα φρονοῦμεν.

1091. Μὴ γνώμας ὑποστήσας σοφάς: Ἐπειδὴ τὰ περὶ τῆς εὐπειθείας ἄριστα ἐγνωμολόγησεν. Διάκειται μὲν ὁ Χορὸς πρὸς τὸν Τεῦκρον, ὑπεσταλμένως δὲ διαλέγεται διὰ τὸ τοῦ βασιλέως ἀξίωμα.

1093. Οὐκ ἄν ποτ' ἄνδρες ἄνδρα: Πρὸ τῆς ἀντιλογίας βούλεται μαλάξαι τὸν Μενέλαον, ὅτι εὐγενὴς ὢν, οὐκ ἄξια τῷ γένει ἐξαμαρτάνει· ὁ δὲ λόγος παιδεύει τοὺς εὐγενεῖς μὴ ἁμαρτάνειν.

1097. Ἦ σὺ φῂς ἄγειν] Κατ' ἐρώτησιν.

1100. Ποῦ σὺ στρατηγεῖς: Πῶς τῷ Αἴαντι προστάσσεις, ὁ μὴ [n] τῶν ὑπὸ Αἴαντι ἔχων ἐξουσίαν;

1102. Σπάρτης ἀνάσσων ἦλθες: Ὁ λόγος ἅπας, ὅτι σύμμαχος [o] ἦλθες, οὐχ ὑπήκοος.

1103. Οὐδ' ἔσθ' ὅπου σοι τόνδε: Οὐδ' ἔστιν ὅπου σοι πλέον προὔκειτο τοῦτον κοσμεῖν, ἀλλ' οὐχὶ σὲ ὑπὸ τούτου κοσμεῖσθαι.

1104. Ἦ καὶ τῷδε σέ] γρ. εἰ καὶ τοῦδέ σοι.

1105. Ὕπαρχος ἄλλων] Ἀντὶ τοῦ, καὶ αὐτὸς ἑτέροις [p] ὑπετέταξο.

1107. Τὰ σέμν' ἔπη] Διὰ τῶν σεμνῶν ἐπῶν κόλαζε τοὺς ὑπὸ σέ.

1108. Κόλαζε] [q] Ἀντὶ τοῦ, νουθέτει.

1109. Εἶθ' ἅτερος στρατηγός: Τὸν περὶ τῆς ἐπιβουλῆς λόγον

[i] καθεστηκ . : Ita apographum Elmsleii.

[k] Stasinus Stobæi XXXI. 12. ἵνα γὰρ δέος ἔνθα καὶ αἰδώς. Plura Heynius ad. Il. ό. 657. In sch. seq. Καὶ Ὅμηρος R. Br.

[l] Il. ό. 563.

[ll] ἀντιτίσομεν Br.

[m] νῦν κρατοῦμεν καὶ μέγα R. Br.

[n] τὸν L.

[o] ἦλθεν R. Br

[p] ὑποτέταξο R.

[q] Gl. om. R. Br.

ἀποφεύγει, ὡς δυσανάτρεπτον· ἐνδιατρίβει δὲ τῷ ὅτι οὐ πάντων εἰσὶν ἄρχοντες.

1111. Οὐ γάρ τι τῆς σῆς: Ἀντετίθει γάρ τις, ὅτι διὰ τὴν Ἑλένην ἡ στρατεία ἐγένετο· ὅπερ οὖν ἔθλιβεν αὐτὸν, ἀνεσκεύασεν.

1112. Οἱ πόνου πολλοῦ πλέῳ: Οἱ φιλοκίνδυνοι, οἱ πλήρεις τῶν πόνων· λέγει δὲ τοὺς μισθοφόρους· οὐχ ὥσπερ μισθοφόρος τις ἐπὶ μισθῷ ἐστρατεύσατο.

1113. Ἀλλ' οὕνεχ' ὅρκων: Τῶν γὰρ ἀριστέων συνελθόντων ἐπὶ τὴν τῆς Ἑλένης μνηστείαν, ὁ Τυνδάρεως πάντας ὅρκους ἀπῄτησεν [r] συναγωνίζεσθαι τῷ γαμοῦντι αὐτὴν, καὶ στρατεύειν, εἴ τις ἁρπαγὴ γένοιτο περὶ τὴν Ἑλένην, τῷ γήμαντι.

1114. Σοῦ δ' οὐδέν: Ὅλως γάρ σε οὐκ εἶχεν ἐν ἀριθμῷ· πεποιθὼς δὲ Ἀγαμέμνονι, ὑβρίζει Μενέλαον· συνᾴδει γὰρ τῷ,

[s] Τεῦκρε, φίλη κεφαλή.

1118. Οὐδ' αὖ τοιαύτην γλῶσσαν: Ὑποτίθησι τῷ Τεύκρῳ παύσασθαι τῆς [t] κατηγορίας, καὶ μάλιστα ἐν τοιούτῳ καιρῷ, ἐν ᾧ [u] εὐεπιβούλευτός ἐστιν. Ἢ τὸ ἐν κακοῖς τοῦτο [v] δηλοῖ. Οὐκ ἐπιτρέψει ἡ συμφορὰ ἄλλο τι νῦν πράσσειν, ἢ περὶ τὸ ἐνεστὸς κακὸν γίνεσθαι.

1123. Κἂν ψιλὸς ἀρκέσαιμι: Τὰ τοιαῦτα σοφίσματα οὐκ οἰκεῖα τραγῳδίας· μετὰ γὰρ τὴν ἀναίρεσιν ἐπεκτεῖναι τὸ δρᾶμα θελήσας, ἐψυχρεύσατο, καὶ ἔλυσεν τὸ τραγικὸν πάθος.

1126. Κτείναντά με] [w] Ὅσον ἧκεν ἐφ' ἑαυτῷ κτείναντά με. Δεινόν. Ὁ μὲν εἶπεν, ὅσον ἐφ' ἑαυτῷ· ὁ δὲ τῆς φωνῆς ἀντιλαμβάνεται· τὸ δὲ τοιοῦτο κωμῳδίας μᾶλλον, [x] οὐ τραγῳδίας.

1131. [y] Ταῦτα καὶ ἐν Ἀντιγόνῃ.

1134. [y] Εἰκότως, φησὶν, ἐμίσει σε ἀδικούμενος.

1135. Μιᾷ ψήφῳ [z] φησὶ κατακριθῆναι τὸν Αἴαντα ὑπὸ Μενελάου.

1137. Καλῶς] Ἀντὶ τοῦ ἐμπείρως.

1139. Οὐ μᾶλλον ὡς ἔοικεν] Συνεκδοχικῶς· λείπει τὸ λυπηθησόμεθα, ἵν' ᾖ, οὐ μᾶλλον λυπηθησόμεθα, ἢ λυπήσομεν· τουτέστι, πλέον λυπήσομέν σε ἀντιβαίνοντα ἡμῖν, ἢ λυπηθησόμεθα ὑπὸ σοῦ· ἢ οὕτως·

[r] συναγωνίσεσθαι R. Br. Mox ὡς στρατεύειν L. στρατεύειν R. στρατεύσειν Br.

[s] Il. θ'. 281. τὸ L. pro τῷ.

[t] κακηγορίας Br.

[u] ἐπιβούλευτος Br.

[v] δῆλον L.

[w] ὅσον—δεινὸν om. R. Br.

[x] ἢ Br.

[y] Gl. om. R. Br.

[z] φασὶ R. Br.

οὐ μᾶλλον ἦλθέ σοι εἰς ἀνίαν τοῦτο τὸ ἔπος, ἢ λυπήσομεν· ἤτοι, πλέον λυπησόμεν ἔτι, ἢ ἐλυπήσαμεν.

1141. Ἀλλ᾽ ἀντακούσῃ] γρ. σὺ δ᾽ ἀντακούσῃ.

1150. Ἐγὼ δέ γ᾽ ἄνδρα] Καὶ οὗτος αἰνίττεται, ὡς ἐφ᾽ ἑτέρου τὸν λόγον ποιούμενος.

1153. Ὀργὴν] Τὸν τρόπον.

1161. Οὐδαμῇ ὑπείκει ὁ Τεῦκρος· κἀμοὶ δὲ, φησὶν, αἴσχιστόν ἐστιν ἀνέχεσθαί σου φλυαροῦντος.

1163. Σπεῦσον] Ὁ Χορὸς ταχύνει τὸ ταφῆναι τὸ σῶμα, πρὶν παραγενέσθαι τοὺς Ἀτρείδας.

1165. Κάπετον] Τάφον.

1166. Ἔνθα βροτοῖς] Τὸν ἐσόμενον τοῖς ἀνθρώποις τάφον ἀείμνηστον.

1167. Εὐρώεντα] Σεσημμένον, σκωληκώδη.

1169. Πάρεστιν ἡ Τέκμησσα μετὰ τοῦ παιδός· οὐχ ὅτι δὲ ἱκανὰ τὰ πρόσωπα φυλάξαι τὸ σῶμα, ἀλλ᾽ [a] ὅτι κινῆσαι δυνατά.

1172. Πατρὸς] [b] Τοῦ Αἴαντος.

1173. Προστρόπαιος] Προστετραμμένος αὐτῷ, ἢ ἱκετεύων.

1175. Ἱκτήριον θησαυρόν] Τὰς πολλὰς ἱκεσίας, ἢ τὸ πλῆθος τῶν ἱκετευόντων. Ἄλλως. Τὸ ἱκέσιον κτῆμα· λέγει δὲ τὰς τρίχας.

1178. Ἐξημημένος, ἵν᾽ ᾖ ἀφῃρημένος.

1182. Καλῶς ἐγείρει τοὺς στρατιώτας πρὸς βοήθειαν· τὸν δὲ παῖδα πρὸς οἶκτον προβάλλεται καθ᾽ ἡλικίαν.

1184. Κἂν μηδεὶς ἐᾷ: Ἀπονενοημένου, φασὶ, τὰ πάντα ἐπὶ αὐτῷ ἀνατιθέναι, ὅτι μόνος κρατήσει τῶν ἐχθρῶν βιαζομένων· ῥητέον οὖν ὅτι ὑπὸ φιλοστοργίας πάντα λέγει [c] ὑπομένειν.

1185. Τίς ἄρα νέατος: Ὁ Χορὸς πάλιν καθ᾽ ἑαυτὸν γενόμενος, ἐν ἀναλογισμῷ γίνεται, καὶ φησὶ, Τίς ἄρα ἡμῖν ὁ ἔσχατος τῶν ἐτῶν ἀριθμὸς τῶν πολυπλάγκτων; ἐς πότε λήξει ὁ ἀριθμὸς τῶν ἐτῶν, ἐμοὶ πόνους παρασκευάζων; τουτέστι, τῶν κατὰ πόλεμον μόχθων.

1186. Πολυπλάγκτων] Καθὸ πολλὰ πλανώμεθα ἐν ἀλλοδαπῇ· [d] πολεμικῶν.

1190. Εὐρώδη] Σκοτεινὴν καὶ ἀερώδη τοῖς Ἕλλησιν. [Εἰς τὸ αὐτό.] Σεσηπυῖαν, ἔνθα ἐχρονίσαμεν.

[a] Sic R. Br. οἷ L.
[b] Gl. om. R. Br.
[c] ὑπομενεῖν Br.
[d] πολεμικῶν om. R. B.

1191. Δύστανον ὄνειδος] [e]Ἤτοι ἐπὶ γῆς Τροίας.

1192. Ὤφελε πρότερον: Ὤφελε πρότερον ἀφανὴς γενέσθαι ἐκεῖνος ὁ ἀνὴρ, ὁ πρῶτος εἰσενεγκὼν εἰς Ἕλληνας πολεμιστήρια ὅπλα, ὡς ἅμα τῇ εὑρέσει ἡκόντων τῶν ἀνθρώπων ἐπὶ τὸ ἀδικεῖν.

1197. Πρόγονοι πόνων] Ἡ παλαιοὶ, ἢ ἀρχηγοὶ τῶν πόνων· οἷον, ὁπότε εἰσαγωγὴ τῶν ὅπλων ἐγένετο· οὐ δεῖ δὲ ἀπειροκάλως ζητεῖν, τίς πρῶτος ἐχρήσατο ὅπλοις.

1199. Ἐκεῖνος οὔτε στεφάνων: Ἐκεῖνος ὁ εὑρὼν τὰ ὅπλα, ὅσον ἐφ' ἑαυτῷ, οὐ στεφάνων, οὐ κύλικος, οὐκ αὐλῶν τέρψιν μοι ἔνειμεν· ἀλλὰ πᾶν, φησὶ, τερπνὸν ἐξέκοψεν. Ἥδιστος δὲ ὢν ὁ Σοφοκλῆς, πάλιν ἐπὶ τὸ ἴδιον ἦθος ἔκλινεν ἐν τοῖς μέλεσιν· ὅθεν καὶ μέλιττα ἐκλήθη.

1202. Ὄτοβον] Ὅμαδον, ἦχον.

1203. Ἐννυχίαν] Τὴν ἐν παννυχίσιν, ἢ τὴν ἐν κοίτῃ.

1205. Ἐρώτων] Τῶν ἐρωτικῶν· καὶ ἄκαιρον μὲν περὶ ἔρωτος μεμνῆσθαι ἐν τοῖς παροῦσιν· ὅμως [f]δὲ ἀκολουθίαν ἔχει πρὸς τὰ προκείμενα.

1207. Κεῖμαι δ' ἀμέριμνος: Ἤτοι πολυμέριμνος, [g]ἢ τῶν τέρψεων ἀμέριμνος. Οἷον, μὴ σκοπῶν περὶ θυμηδίας μηδὲν, ἀλλ' ἐν δρόσοις τεγγόμενος· ἅπερ ἐστί μοι μνημόσυνα εἰς τὸν ἀεὶ χρόνον, ἡ ἐνταῦθα κακοπάθεια· ἢ ἐν οὐδεμιᾷ μερίμνῃ ὢν, ἢ μόνον περὶ τῶν πολέμων.

*Ibid.* Ἀμέριμνος] [h]Πολυμέριμνος.

1211. Καὶ πρὶν μὲν] [h]Οἷον, πρὶν ἐπέλθοιεν οἱ πολέμιοι.

*Ibid.* Ἐννυχίου: Τῆς νυκτερινῆς ἐφόδου τῶν πολεμίων, καὶ τῶν βελῶν ἀλεξητήριον ἦν ὁ Αἴας.

1217. Γενοίμαν ἵν' ὑλᾶεν: Εὔχονται ἀπαλλαγῆναι ἐπὶ τὰ οἰκεῖα· γενοίμην οὖν, φησὶν, ἐπὶ τὴν ἄκραν πλάκα τοῦ Σουνίου· διὰ γὰρ Σουνίου ὁ πλοῦς τοῖς ἀπὸ Τροίας ἐπὶ Σαλαμῖνα. [Εἰς τὸ αὐτό.] [i]Ἔνθα ὑλώδης ἐξοχὴ τῆς θαλάττης ἐστι.

1220. Σουνίου] [k]Ὄνομα τόπου.

1221. Τὰς ἱερὰς ὅπως] Φιλοτέχνως εὐφραίνει τοὺς ἀκροωμένους, διὰ τῶν ἐπαίνων τῆς Ἀττικῆς.

[e] Gl. om. R. Br.
[f] καὶ L. omisso mox ἔχει. Supra ἐρώτων R. Br.
[g] ἢ—ἀμέριμνος om. R. Br.
[h] Gl. om. R. Br.
[i] Alia sede R. Br.
[k] Gl. om. R. Br.

1223. Ὁ Τεῦκρος ἀκηκοὼς ἥκειν τὸν Ἀγαμέμνονα, ἔρχεται μετὰ σπουδῆς.

1225. [k] Δίδυμος· Καὶ δῆλός ἐστιν ὥς τι σημανῶν νέον.

1228. Αἰχμαλωτίδος] Τῆς Ἡσιόνης.

1230. Κἀπ' ἄκρων] Ἐπ' ἄκρων δακτύλων ἔβαινες γαυριῶν.

1231. Οὐδὲν ὤν] Οὐδὲν μὲν ὤν, διὰ τὴν δυσγένειαν. Τοῦ μηδὲν δὲ, τοῦ Αἴαντος τελευτήσαντος.

1233. Διωμόσω] γρ. διωρίσω.

1243. Εἰκεῖν] Οὐκ εἴξετε καὶ ἐμμενεῖτε τοῖς κεκριμένοις.

*Ibid.* Πολλοῖσι] Πιθανῶς [l] τοῖς πολλοῖς.

1244. Βαλεῖτε] Ἀντὶ τοῦ βλασφημεῖτε.

1245. Οἱ λελειμμένοι] Οἱ ἡττηθέντες ἐν τῇ κρίσει· τοῦτο δὲ πρὸς τὴν ἐπιχείρησιν τοῦ Αἴαντος.

1247. Γενναῖος ὁ λόγος. Εἰ ὁ ἡττώμενος ἰδίῳ δικαίῳ παριστανόμενος πάλιν μάχοιτο, καὶ οὐκ εἴξει τοῖς κεκριμένοις, οὐδέποτε κατάστασις ἔσται.

1249. Τοὺς ὄπισθεν] Τοὺς ἡττωμένους.

1250. Δεῖ, φησὶν, ἐμμένειν τοῖς ἅπαξ κεκριμένοις· ἐπειδὴ δὲ αὐτοῦ τὴν κατὰ σῶμα ἀρετὴν καὶ ἰσχὺν διαβάλλειν οὐ δύναται, εἰς ἀφροσύνην αὐτὸν λοιδορεῖ.

1255. Τὸ φάρμακον] Τὸ τῆς μάστιγος.

1257. Ὃς ἀνδρὸς οὐκέτ' ὄντος] [m] Λείπει ἡ ὑπέρ.

1259. Οὐ σωφρονήσεις] Σκώπτει αὐτὸν εἰς τὴν μητέρα.

1264. Ἐπεὶ οὐ συμβουλεύει διὰ τὸ [n] ἀξίωμα Ἀγαμέμνονος ὁ Χορὸς, ἐν τῇ εὐχῇ τὴν γνώμην κατέθηκεν.

1266. Περιπαθὴς ὁ λόγος εἰς ἀχαριστίαν ἐννεύων, ὅτι ταχεῖα διαρρεῖ ἡ χάρις τοῦ ἀποθανόντος.

1269. Οὐκ ἀξιοῦται τῆς παρὰ σοῦ μνήμης, οὗ πολλάκις, ὦ Αἶαν, προεκινδύνευσας ἐν πολέμοις. Παρὰ τὸ Ὁμηρικόν·

[o] Αἰεὶ ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν.

1273. Οὐ μνημονεύεις] Καλῶς πρὸς τὸ,

[p] Ποῦ βάντος, ἢ ποῦ στάντος, οὗπερ οὐκ ἐγώ;

1274. Ἑρκέων] Λείπει ἐντός.

[k] Gl. om. R. Br.

[l] τοῖς πολλοῖς om. R. Br. qui in gl. seq. βλασφημήσετε.

[m] Gl. om. R. Br.

[n] Ἀγαμέμνονος ἀξίωμα R. Br.

[o] Il. ι΄. 322. πολεμίζων R. Br.

[p] V. 1237.

1277. Ἑδωλίοις] [q] Τοῖς σανιδώμασιν.

1281. Οὐδὲ συμβῆναι ποδὶ] Πρὸς τὸ,

Ποῦ βάντος, ἢ ποῦ στάντος.

1284. Κἀκέλευστος ἦλθ᾽ ἐναντίος: Αὐτοκέλευστον φησὶν αὐτὸν ἀναστῆναι εἰς τὸ μονομάχιον, ἐπαινῶν αὐτὸν οὐχ Ὁμηρικῶς.

1285. Οὐ δραπέτην τὸν κλῆρον: Οὐδὲν πανουργήσας περὶ τὸν κλῆρον, ἀλλ᾽ εὐξάμενος λαχεῖν αὐτόν. Τοῦτο δὲ ἱστορεῖται περὶ Κρεσφόντου καὶ τῶν Ἀριστοδήμου παίδων, ὅτι πανούργως ὁ Κρεσφόντης βῶλον ὑγρὰν εἰς τὴν ὑδρίαν τοῦ ὕδατος ἔβαλε κληρουμένων περὶ Μεσσήνης. Οὐκ ἄτοπον δὲ τὸν Τεῦκρον λοιδορεῖν Ἀγαμέμνονι, ὑπὸ τοῦ πάθους [r] προσαγόμενον· καὶ γὰρ Ἀχιλλεὺς οὐκ ἀπέσχετο λοιδορίας, καὶ οὐκ ὢν ἐν τοιούτῳ πάθει. [Εἰς τὸ αὐτό.] [s] Ἀνῆκται τοῖς χ̊ ἡ ἱστορία ἡ περὶ Κρεσφόντου.

1286. Ἀλλ᾽ ὃς εὐλόφου: Ὅστις κλῆρος ἐκ τῆς εὐλόφου κυνῆς ἔμελλε πρῶτος κουφιεῖν τὸ ἅλμα τοῦ Αἴαντος.

1291. Εἰκότως καὶ αὐτὸς τὰ ὅμοια ἐξεῦρεν· ἓν δὲ εἰπὼν Ἀγαμέμνων, μυρία ἤκουσεν.

*Ibid.* Αὐτὸς δὲ μητρὸς ἐξέφυς: Οὐχ, ὡς βαρβάρων τῶν Κρητῶν ὄντων, ὀνειδίζει αὐτῷ τὰ περὶ τῆς μητρὸς, ἀλλ᾽ οἷον ἐξ ἀλλοφύλων γέγονέ σοι τὸ γένος.

1295. Αὐτὸς] [s] γρ. αὖθις.

1296. Ἐπακτὸν ἄνδρα] [s] Τὸν μοιχόν.

1297. Ἐφῆκεν ἐλλοῖς ἰχθύσιν: Ἡ ἱστορία ἐν ταῖς Κρήσσαις Εὐριπίδου, ὅτι διαφθαρεῖσαν αὐτὴν λάθρα ὑπὸ θεράποντος, ὁ πατὴρ Ναυπλίῳ παρέδωκεν, ἐντειλάμενος ἀποποντῶσαι· ὁ δὲ οὐκ ἐποίησεν, ἀλλ᾽ ἐνεγγύησε Πλεισθένει.

*Ibid.* Ἐλλοῖς] [t] Τοῖς ἀφώνοις.

1299. Ἀνασκευάζει τὰ εἰρημένα περὶ δυσγενείας αὐτοῦ.

1305. Τοὺς πρὸς αἵματος] Τοὺς συγγενεῖς. [Εἰς τὸ αὐτό.] [u] Δεικτικῶς εἰς τὸν Αἴαντα, ἵν᾽ ᾖ περιπαθὴς ἡ λέξις.

1306. Πιθανῶς πάλιν εἰσέβαλεν εἰς τὸν λόγον τοῦ δράματος.

1309. Τρεῖς ὁμοῦ συγκειμένους: Ἐμὲ καὶ σαυτὸν καὶ Μενέλαον· οὐ γὰρ λέγει περὶ τῆς Τεκμήσσης καὶ τοῦ παιδός· ἐλεεινὸς γὰρ ὁ λόγος, οὐκ ἀπειλητικός.

[q] Gl. om. R. Br.
[r] προαγόμενον Br.
[s] Gl. om. R. Br.
[t] Alia sede R. Br.
[u] ἴσως δεικτικῶς R. Br.

1309. Συγκειμένους] [w] γρ. συνεμπόρους.

1311. Θανεῖν προδήλως: Ταῦτα ἃ βούλεσθε περὶ τὸν Αἴαντα δρᾶσαι, πρότερον οὐ δράσετε, πρὶν ἢ κἀμὲ ἀποκτεῖναι· ἀποθνήσκων μέντοι σὺν ὑμῖν ἀπολοῦμαι.

*Ibid.* Προδήλως] [x] Λάμπρως, ἀνδρείως.

1314. Βουλήσῃ ποτέ: Μεταμεληθήσῃ, ὡς προπετὴς εἰς ἐμὲ εὑρεθεὶς, καὶ μὴ ἀποδειλιάσας παρὰ τὸ ἄρχειν· ἀμυνοῦμαι γάρ σε· ἢ βουλήσῃ ποτὲ καὶ δειλὸς εἶναι, καὶ μὴ ὑπ' ἐμοῦ ἀναιρεθῆναι.

1316. Ἄναξ Ὀδυσσεῦ: Ἵνα μὴ εἴη αὐτῶν εἰς μακρὰν ἡ φιλονεικία, διαλλακτὴν εἰσήνεγκε τὸν Ὀδυσσέα· τοιοῦτον γὰρ ὁ καιρὸς ἐζήτει· εἰσῆκται δὲ Ὀδυσσεὺς ὡς σοφὸς καὶ ἀμνησίκακος.

1319. Βοὴν Ἀτρειδῶν: Οὐκ ἐξ ἑτοίμου φησὶν, ὅτι ἥκοι [y] ἀναστέλλων τὸν Ἀγαμέμνονα, ἀλλ' ἐπιμελόμενος τί πράττουσιν οἱ βασιλεῖς· τὴν δὲ ἑαυτοῦ γνώμην ἐδήλωσεν διὰ τοῦ ἀλκίμῳ νεκρῷ, ὅτι γενναίαν αὐτοῦ ἐδήλωσε τὴν τελευτήν· διδάσκει δὲ ὁ λόγος, ὅτι οὐ δεῖ κατὰ τεθνεώτων λέγειν, κἂν ἐχθροὶ ὦσιν.

1321. [z] Συλλήπτορα θέλων ἔχειν τὸν Ὀδυσσέα, ἄνακτα αὐτὸν καλεῖ.

1322. Ἐγὼ γὰρ ἀνδρὶ συγγνώμην: Συνετὸς [a] Ὀδυσσεὺς, οὐκ εὐθὺς προστιθέμενος τῇ ὀργῇ· ἔστι γὰρ συγγνώμη καὶ τῷ κακῶς εἰπόντι, [b] εἰ κακῶς πάσχων ἀμύνηται διὰ [c] λόγων.

*Ibid.* Οὔτε θεραπεύει Ὀδυσσέα ὁ Τεῦκρος διὰ τὸν ἀδελφὸν, οὔτε ἀντιλέγει διὰ τὸν καιρόν.

1328. Ἔξεστιν οὖν] [d] Ἔξεστιν ἐμοὶ τῷ φίλῳ σου. [Εἰς τὸ αὐτό.] Δαιμόνιος ἡ ἐπιτήρησις· ἠπίστατο γὰρ ὅτι πάντες ἄνθρωποι πρὸς τὸ ἀληθὲς ἀγανακτοῦσι, καὶ [e] ἀντιλέγουσιν.

*Ibid.* Ξυνηρετμεῖν: Ξυντρέχειν ὡς πρότερον, ἐκ μεταφορᾶς τῶν κοινῶς ἐρεττόντων. [Εἰς τὸ αὐτό.] Συμφωνεῖν.

1334. Μηδ' ἡ βία σε μηδαμῶς: Μὴ ἡ ἐξουσία βιασάσθω σε, ὥστε πρᾶξαί τι παρὰ τὸ δίκαιον· τουτέστι, μὴ ὑπὲρ τοῦ ἐνδείξασθαι τούτῳ τὴν ἐξουσίαν παραβῇς τὸ δίκαιον.

[w] Gl. om. R. Br.
[x] Alia sede R. Br.
[y] ἀναστελῶν R. Br.
[z] Gl. om. R. Br.
[a] ὁ Ὀδυσσεὺς R. Br.
[b] ἐὰν κακῶς Br.
[c] λόγων· ὁ δὲ Τεῦκρος οὔτε θεραπεύει Ὀδυσσέα Br.
[d] Ἔξεστιν—σου om. R. Br.
[e] ἀντιλέγουσι. τὸ δὲ ἑξῆς· ἔξεστιν ἐμοὶ τῷ φίλῳ σου εἰπόντι τἀληθῆ καὶ τὰ ἑξῆς. R. Br. qui in gl. seq. ἐρεσσόντων.

1336. Κἀμοὶ γὰρ ἦν πόθ' οὗτος ἔχθιστος: Ἱκανὸς ὁ λόγος εἰς πειθὼ, ὅτι κἀγώ ποτε ἐχθρὸς ὢν, ἐνδέδωκα νῦν διὰ τὸ δίκαιον.

1338. Ἔμπας] [f]Ὅμως.

1339. Ὥστε μὴ λέγειν] [f]Τουτέστιν, ὡς καὶ παρ' ἐχθρῶν ἄξιος θρηνῶν τυχεῖν.

1345. Βλάπτειν τὸν ἐσθλόν: Δύναται καὶ ἐπὶ τοῦ μισοῦντος εἶναι, τὸν ἐσθλὸν οὐ δεῖ μνησικακεῖν· δύναται καὶ ἐπὶ τοῦ μισουμένου καὶ τετελευτηκότος· τὸν ἐσθλὸν οὐ δεῖ βλάπτεσθαι, οὐδ' ἐὰν μισούμενος ᾖ· εὐκαταλλάκτως γὰρ δεῖ πρὸς τοὺς ἀγαθοὺς ἔχειν.

1350. Τόν τοι τύραννον εὐσεβεῖν οὐ ῥᾴδιον: Ὁ λόγος, ὅτι οὐ πάντῃ τῷ δικαίῳ ἀκολουθητέον, ἀλλά τι πρὸς τὸ συμφέρον ῥέπειν χρὴ τὸν τύραννον· ἀπρεπὲς γὰρ ὑπὸ Ἀγαμέμνονος ὁμολογεῖσθαι, πᾶς τύραννος ἀδικεῖ ὑπὸ τῆς ἐξουσίας, περὶ τὰ τοιαῦτα τῶν ἔργων [g] προβαλλόμενος.

1351. Ἀλλ' εὖ λέγουσι: Κατὰ κοινοῦ τὸ ῥᾴδιον. Ἔστιν οὖν ὁ νοῦς τοιοῦτος· ἀλλὰ ῥᾴδιόν ἐστι τοῖς καλῶς συμβουλεύουσι φίλοις τιμὰς νέμειν· ἀντὶ τοῦ, ἐμοὶ καλῶς σοι συμβουλεύοντι τιμὴν ἀπόδος, τουτέστιν ἄκουσόν μου.

1352. Κλύειν τὸν ἐσθλόν: Ἄκρως αἱ ἀντιθέσεις· ὁ μὲν Ὀδυσσεὺς ἐπὶ τιμῇ τῶν φίλων ὑφεῖναι τὸν βασιλέα τῆς ἐξουσίας παρακαλεῖ· ὁ δὲ ἀντιστρέψας φησὶν, ὅτι τὸν ἀγαθὸν ἄνδρα χρὴ πείθεσθαι τοῖς βασιλεῦσιν.

1353. Τῶν φίλων νικώμενος] [h] Λείπει ἡ ὑπό.

1356. Τί ποτε ποιήσεις: Ἐν ἐρωτήσει ὁ λόγος· ποδαπός τις ἔσῃ πρὸς ἐχθροὺς, καὶ τί αὐτοὺς διαθήσεις δεινὸν, ὁπότε οὕτως ὑπὸ νεκροῦ ἥττησαι;

1358. Ἔμπληκτοι βροτῶν: Οἱ μὴ ἐμμένοντες τῇ ἀρχαίᾳ ἀρετῇ καὶ φιλίᾳ, ἄφρονες παρὰ τοῖς ἀνθρώποις. Ἄλλως. Ἔμπληκτοι, κοῦφοι, [i] εὐμετάβλητοι· ὀνειδίζει δὲ Ὀδυσσεῖ, ὡς εὐμεταβλήτῳ· οἱ τοιοῦτοι οὖν ἔμπληκτοι παρὰ τοῖς βροτοῖς λέγονται, ὡς καὶ Ὅμηρος·

> [k] Ἐμπλήγδην ἕτερον μὲν τίει βροτόν.

1359. Ἦ κάρτα: Πρὸς ταῦτα Ὀδυσσεὺς ἀντιλέγει, ὅτι οὐκ ἐν τῇ ταυτότητι μένει τὸ τῶν ἀνθρώπων γένος· ἀλλὰ ποτὲ μὲν φίλοι

[f] Gl. om. R. Br.
[g] ταύτην προβαλλόμενος R. Br. ὅτι ante πᾶς inseruit Br.
[h] Gl. om. R. Br.
[i] εὐμετάβολοι R. Br.
[k] Od. υ'. 132. ἕτερόν γε τίει μερόπων ἀνθρώπων Br.

εἰσὶ, ποτὲ δὲ ἐχθροί· πολὺ, φησὶ, τοῦτο ἀνθρώπων, [l] ὡς τὸ κατὰ καιρὸν μεταβάλλεσθαι εἰς φιλίαν, ἢ εἰς ἔχθραν.

1362. Ὁ μὲν τὸ τῆς ἀνδρείας, ὁ δὲ τὸ τῆς δικαιοσύνης προβάλλεται.

1365. Καὶ γὰρ αὐτός] Καὶ γὰρ αὐτὸς ὑπόκειμαι τῇ ὁμοίᾳ τύχῃ τῇ ἀνθρωπίνῃ· [m] ἢ καὶ αὐτὸς ἵξομαι πρὸς τὸ θάψαι αὐτόν.

1366. Ἦ πάνθ' ὁμοῖα: [n] Ἔχει τινὰ δυσκολίαν· ἔστι δὲ οὕτως. Κοινὸν ἔγκλημα τοῦτο τοῖς ἀνθρώποις, τὸ εἶναι ἕκαστον φίλαυτον· τοῦτο οὖν ἐγκαλεῖ τῷ Ὀδυσσεῖ ὁ Ἀγαμέμνων, ὅτι εὐδοξίαν σοι ἐργάζεται τὸ ὑπείκειν ταφῆναι τὸν Αἴαντα, οὐδαμῇ τὸ κεχαρισμένον ἑτέρῳ [o] διαπράττει· καὶ ὁμολογεῖ Ὀδυσσεὺς τὸ φίλαυτον, ἵνα μὴ δόξῃ πᾶσιν ἀντιλέγειν. [Εἰς τὸ αὐτό.] [p] Ὄντως πάντα τὰ ἀνθρώπινα ὅμοια· πᾶς γὰρ ἄνθρωπος τὴν οἰκείαν πραγματεύεται σωτηρίαν.

1376. Καὶ νῦν γε Τεύκρῳ: Ἀπὸ ταύτης τῆς ἡμέρας ἀγγέλλομαι καὶ σημαίνω αὐτῷ φιλίαν.

1378. Καλῶς τὸ θέλω, εἰ [pp] ἐπιτρέποιτε.

1381. Εὐγνωμόνως πρὸς τὸ παρὸν ὁ Τεῦκρος θεραπεύει τὸν Ὀδυσσέα, κατατιθέμενος καὶ τὴν πρὸς αὐτὸν ἔχθραν.

1382. Καί μ' ἔψευσας: [q] Ψευσθῆναι τῆς ἐλπίδος, ἣν κακῶς εἶχον περὶ σέ.

1386. Οὐπιβρόντητος] Ὃν εἰώθαμεν λέγειν ἐμβρόντητον.

1394. Ἐὰν πιθανῶς καὶ [r] εὐσχημόνως.

1402. Πιθανὴ ἡ ἔξοδος διὰ τὴν σπουδὴν τῆς ταφῆς· πολὺς οὖν ἤδη χρόνος, ἀφ' οὗ τετελεύτηκεν ὁ Αἴας, καὶ ἤδη δεῖ αὐτὸν ταφῆναι.

1404. Ταχύν.τε] Μετὰ σπουδῆς ὀρύξατε.

1406. Ἐπίκαιρον] Εὔκαιρον· [s] καιρῷ γὰρ ἤδη καὶ τοῦτο, ὥστε ἀπολοῦσαι τὸ σῶμα καὶ καθᾶραι.

*Ibid.* Κλισίας] Τῆς σκηνῆς.

1407. Ἴλη] Σύστημα· κυρίως δὲ φατρία.

*Ibid.* Τὸν ὑπασπίδιον] Τὸν ἐνόπλιον.

1409. Παῖ σὺ δὲ] Τραγικὰ καὶ ταῦτα, καὶ πάθους ἐχόμενα.

[l] ἐστὶ τὸ R. Br.
[m] ἢ R.
[n] ἔχει τι L. ἔχει δὲ R. Br. et mox καὶ ἔστιν οὕτως.
[o] διαπράττεις Br.
[p] Alia sede R. Br.
[pp] ἐπιτρέποι γε Br.
[q] ψευσθῆναι ἐποίησας—ἣν κακὴν R. Br.
[r] εὐσχημόνως τοῦτο λέγει ὁ Τεῦκρος. R. Br.
[s] καιρὸς R. Br. et mox τούτου.

1412. Σύριγγες] Ἀναδόσεις αἵματος.

*Ibid.* Μέλαν μένος: Ἀντὶ τοῦ, τὴν δύναμιν τοῦ Αἴαντος.

1413. Ἀλλ' ἄγε πᾶς] Ὅστις τῶν παρόντων φίλος ἐστὶ, σπευδέτω εἰς τὴν ταφήν.

1415. Οἱ τοιοῦτοι ἔπαινοι περὶ τῶν ἰδίων λεγόμενοι περιπαθέστεροί εἰσιν.

1418. Οἰκείως ἔχει τοῖς ἀπαλλαχθήσεσθαι μέλλουσιν ἡ τελευταία γνώμη, ὅτι πλεῖστά ἐστι τοῖς ἀνθρώποις γνῶναι ἐπ' αὐτῶν τῶν πραγμάτων [t] γινομένοις· προμηθείᾳ δὲ ἀδύνατον χρήσασθαι, καὶ μαντεύσασθαι, ὅ τι ποτὲ ἀποβήσεσθαι μέλλει. Ταῦτα δὲ ἅμα λέγοντες προπέμπουσι τὸν νεκρὸν, καὶ γίνεται ἔξοδος πρέπουσα τῷ λειψάνῳ.

[t] γινομένων R. Br.

# ΕΙΣ ΤΟΝ ΦΙΛΟΚΤΗΤΗΝ.

1. ΑΚΤΗ *μὲν ἥδε*] Καὶ *παρὰ τούτῳ προλογίζει ὁ* Ὀδυσσεὺς, [a] *καθὰ καὶ παρ'* Εὐριπίδῃ· *ἐκεῖνο μέντοι διαφέρει, παρ' ὅσον ὁ μὲν* Εὐριπίδης *πάντα τῷ* Ὀδυσσεῖ *περιτίθησιν, οὗτος δὲ τὸν* Νεοπτόλεμον *παρεισάγων, διὰ τούτου οἰκονομεῖται.*

*Ibid.* [b] Περιρρύτου] *Διὰ τὸ εἶναι αὐτὴν νῆσον.*

2. *Λήμνου βροτοῖς ἄστιπτος*: Ἐν *ἐρήμῳ γὰρ μέρει τῆς Λήμνου ἐξετέθη ὑπὸ τῶν* Ἑλλήνων. [c] Ἄστιπτος *δὲ, ἀπάτητος, ἀδιόδευτος· ἐν ἐρήμῳ γὰρ τόπῳ τῆς νήσου ἦν ἐκτεθείς.*

3. Ἔνθ' *ὦ κρατίστου*: Τραφεὶς *ἐκ πατρὸς* Ἑλλήνων *κρατίστου.* [d] *Λείπει οὖν ἡ ἐξ· τὸ δὲ ἑξῆς· ἔνθα* [e] *ποτὲ ἐγὼ ἐξέθηκα τὸν* Μηλιᾶ Ποίαντος *υἱὸν, ὦ* Νεοπτόλεμε *παῖ* Ἀχιλλέως.

4. Τὸν Μηλιᾶ: Τὸν Θεσσαλόν· *ἀπὸ πόλεως.* Ἀττικὸν *δὲ τὸ* Μηλιᾶ.

7. *Διαβόρῳ*: Τῇ *τὸν πόδα ἐσθιούσῃ, σηπτικῇ, τῇ διαβιβρωσκούσῃ· τῇ καλουμένῃ φαγεδαίνῃ· πάθος δὲ τοῦτό ἐστιν οὕτω λεγόμενον παρὰ τοῖς ἰατροῖς.* Καταστάζοντα *δὲ, οἷον, καταρρέοντα, τηκόμενον, λυόμενον.*

12. Ἀκμὴ] Ἀντὶ *τοῦ, καιρός.*

13. Κἀκχέω *τὸ πᾶν*: Ταράξω· *ἀπὸ μεταφορᾶς τῶν ἀμελγόντων.*

17. Ἴν' *ἐν ψύχει μὲν ἡλίου*: [f] Ἐν *κρύει μὲν πάρεστι θερμαίνεσθαι, τῆς* [g] *ἀκτῖνος ἑκατέρωθεν βαλλούσης, οὐκ ἐν ταυτῷ· ἀλλ' ὅτε μὲν κατὰ τὸ ἀνατολικὸν μέρος ἐλαύνει ὁ ἥλιος, διὰ τοῦ ἀνατολικοῦ στόματος· ὅτε δὲ εἰς τὸ δυτικὸν, ὁμοίως· ἐν δὲ θέρει, τῆς πνοῆς ἀπολαύειν.*

*Ibid.* Ἐν *ψύχει*] [h] Ἐν *χειμῶνι.*

[a] *καθάπερ* R. Br. Mox *ἐκείνῳ* Br.
[b] *τὸ δὲ ἀκτὴ* R. Br.
[c] *ἢ ἄστιπτος* R. *ἄστειπτος*] *ἀπάτητος, ἀδιόδευτος· ἐν ἐρήμῳ*—Ἑλλήνων Br.
[d] In princ. gl. collocat Br.
[e] *ἐγὼ ποτὲ* Br.
[f] *ὅπου ἐν χειμῶνι μὲν ἐν κρύει* R. Br. In R. tamen om. *ὅπου*. Statim *μὲν* om. R. Br.
[g] *ἀκτῖνος τοῦ ἡλίου* R. Br. et mox *προσβαλλούσης*.
[h] Gl. om. R. Br.

17. Διπλῆ πάρεστιν ἐνθάκησις: Διπλῆ καθέδρα πρὸς ἡλίου θερμαινομένη.

19. Ἀμφιτρῆτος] Τοῦ ἀμφοτέρωθεν τετρημένου.

21. Σῶν] [i] Σῶον, ὑγιές.

22. Σῖγα] [k] Ἀντὶ τοῦ σιωπῇ.

25. Κοινὰ δ' ἐξ ἀμφοῖν εἴη: Πονοῖτο, [l] διανοοῖτο, προβαίνοι. Ἢ εἴη· οἱ [m] κωμικοὶ γὰρ τῇ ει διφθόγγῳ χρῶνται ἀντὶ βραχείας.

26. Τοὖργον οὐ μακρὰν λέγεις: [n] Οὐ μακροῦ πόνου δεόμενον· ἤδη γὰρ εἰσεῖδον ἄντρον, ὃ λέγεις.

28. Ἄνωθεν ἢ κάτωθεν] Ταπεινὸν, ἢ ὑψηλόν.

*Ibid.* Στίβου] [o] Περιπάτου.

32. Οἰκοποιός] [p] Ἐν οἴκῳ γενομένη τροφή.

33. Στειπτή γε φυλλάς] Χαμαιστρωσία ἐκ φύλλων. [Εἰς τὸ αὐτό.] Ἡπλωμένη καὶ πατουμένη, ὡς κοιμωμένου ἐπ' αὐτῇ τινός.

34. Ὑπόστεγον] Ὑπὸ τῇ στέγῃ.

35. Αὐτόξυλόν γ' ἔκπωμα] Ποτήριον μονόξυλον, τέχνημα ἀνδρὸς φαύλως ἐργαζομένου, ὅ ἐστιν ἰδιώτου καὶ οὐ τεχνίτου.

36. Πυρεῖα] Πυρόβολα.

37. Θησαύρισμα] [q] Ἀπόθετον κτῆμα.

38. Ἰού. Ἰού.] Ὁρᾷ τὰ ῥάκη τοῦ τραύματος τοῦ Φιλοκτήτου [r] ξηραινόμενα, καὶ ἐκπλήττεται, ὡς βαρέως αὐτοῦ νοσοῦντος.

39. Βαρείας του νοσηλείας: Νόσου βαρείας πεπληρωμένα, ἢ νοσοκομίας, ἢ τῆς ἐκ νόσου ἀκαθαρσίας.

42. Κῶλον] Πόδα.

*Ibid.* Κηρί] Νόσῳ.

43. Νόστον] Ὁδόν.

44. Φύλλον εἴ τι νώδυνον] Βοτάνην τινὰ πανσώδυνον.

45. Τὸν οὖν παρόντα] [s] Ὡς τινὸς παρισταμένου αὐτῷ.

46. Προσπεσών] Ἀπαντήσας, ἐπιπεσών.

48. Ἀπέρχεται, φησὶν, ὁ θεράπων εἰς κατασκοπήν.

[i] ἤγουν εἰ σώζεται Br. Gl. om. R.

[k] σιωπηλῶς Br. Gl. om. R. Statim addit Br. ἔχει] κατοικεῖ.

[l] διανύοιτο Br.

[m] τραγικοὶ R. Br.

[n] οὐ μακρᾶς διδαχῆς, ἢ μακροῦ Br. Mox τὸ ἄντρον R. Br.

[o] Gl. om. R. Br.

[p] οἰκοποιὸς λέγεται ἡ ἐν οἴκῳ R.

[q] Gl. om. R.

[r] ξηραινόμενα ἐν ἡλίῳ Br.

[s] ὡς παρισταμένου τινὸς αὐτοῖς τοῦτο λέγει Br.

48. Φυλάξεται στίβος] Φυλαχθήσεται παρ' ἡμῶν ἡ ὁδὸς αὐτοῦ.

55. Ἐκκλέψῃς] [t] Ἀπατήσῃς.

57. Τόδ' οὐχὶ κλεπτέον] Τοῦτο γὰρ οὐχὶ ψευσόμεθα.

59. Ἔχθος ἐχθήρας μέγα] Οἱ γὰρ ἐξ ἑνὸς ἠδικημένοι, φιλοῦσιν ἀλλήλους.

62. Στείλαντες] Καλέσαντες.

61. Τήνδ' ἅλωσιν] Τὸ σὲ ἐλθεῖν εἰς Ἴλιον.

62. Οὐκ ἠξίωσαν] Οὐκ ἄξιον ἡγήσαντο.

63. Ἐλθόντι δοῦναι] [t] Λείπει σοι.

65. Ἔσχατ' ἐσχάτων] Αἴσχρότατα.

68. Προτρεπτικῶς εἰς τὴν συμμαχίαν, οὐ τὸν ἄνδρα, ἀλλὰ ψιλῶς τὰ τόξα ὠνόμασεν· εἰς δὲ τὴν πόρθησιν, τὸν Νεοπτόλεμον.

72. Οὔτ' ἔνορκος οὐδενί] Ὤμοσαν γὰρ τῷ Τυνδάρεῳ πάντες Ἕλληνες συνελθεῖν, ἐὰν ἁρπασθῇ ἡ Ἑλένη.

75. Τόξων ἐγκράτης] [t] Ἔχων τὰ τόξα.

77. Σοφισθῆναι] [t] Σοφίσασθαι.

94. Βούλομαι δ' ἄναξ καλῶς: Ἀντὶ τοῦ, ἀληθεύων. [u] Νικᾶν δὲ κακῶς, ἀντὶ τοῦ, μετὰ ψευδολογίας· [w] ὅ ἐστι, θέλω εἰπὼν τὸ ἀληθὲς ἀποτυχεῖν μᾶλλον, ἢ ἐξαπατᾶν τὸν ἄνδρα καὶ ἐπιτυχεῖν. Εἰσάγει δὲ αὐτὸν ὁ Σοφοκλῆς τὸν τοῦ πατρὸς λόγον λέγοντα·

[x] Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο [πύλησιν.]

99. Εἰς ἔλεγχον] [y] Εἰς πεῖραν τῶν πραγμάτων.

*Ibid.* Τὴν γλῶσσαν, οὐχὶ τἄργα] Κρείσσονα τῶν ἔργων οὖσαν τὴν [z] γλῶσσαν. Διαβάλλει τοὺς καθ' ἑαυτὸν ῥήτορας ὁ ποιητὴς, ὡς διὰ [a] γλώσσης πάντα κατορθοῦντας.

*Ibid.* Τὴν γλῶσσαν] Τὴν ἀπάτην.

*Ibid.* Πάνθ' ἡγουμένην] Προηγουμένην εἰς ἅπαντα. [Εἰς τὸ αὐτό.] Ἀνύουσαν.

100. Τί οὖν μ' ἄνωγας] Ὃ θέλεις κέλευε, πλὴν τοῦ ψεύδεσθαι.

105. Ἰοὺς ἀφύκτους] Ἄφυκτα γὰρ ἦν τὰ Ἡράκλεια βέλη, καὶ τοῦ σκοποῦ μὴ ἀποτυγχάνοντα, ἢ [b] ἐπανερχόμενα εἰς ἑαυτόν.

[t] Gl. om. R. Br.
[u] ἢ νικᾶν κ. R.
[w] θέλω, φησὶν, εἰπὼν Br.
[x] Il. ι'. 312.
[y] Gl. om. R.
[z] γλῶσσαν· τὴν ἀπάτην προηγουμένην καὶ ἀνύουσαν ἅπαντα Br.
[a] Seqq. R. sic: ἡγουμένην] προηγουμένην, εἰς ἅπαντα τὴν ἀπάτην ἀνύουσαν.
[b] ἐπανερχομένου L.

106. Οὐκοῦν οὐδὲ προσελθεῖν [c] αὐτῷ εὐθαρσές ἐστι καὶ ἀσφαλές.

*Ibid.* Προσμίξαι] [d] Πλησιάσαι.

109. Εἰ τὸ σωθῆναι] [e] Εἰ σωτηρία ἐξ αὐτοῦ προσγίνεται.

110. [f] Πῶς οὖν ἀποβλέπων τις εἰς τὸ ψεῦδος, ἐρεῖ αὐτὸ, νοῶν, ἢ λογισμὸν ἔχων;

111. Ὀκνεῖν] [g] Ἀποδειλιᾶν.

113. Αἱρεῖ] Πορθεῖ.

116. Θηρατέα] Ληπτέα, ἄξια τοῦ θηραθῆναι.

117. Δύο φέρῃ δωρήματα] [h] Τιμήματα ἀποφέρῃ.

118. Ποίω] [i] Ποῖα, δυικῶς.

119. Σοφὸς μὲν, διὰ τὸ κλέψαι· ἀγαθὸς δὲ, διὰ τὸ πορθῆσαι. [k] Ἢ σοφοῦ μὲν ὄντος καθόλου τοῦ δολῶσαι δυναμένου· νῦν δὲ καὶ τοῦ δόλου ἀγαθοῦ ὄντος.

*Ibid.* Κεκλῇο] Ἀντὶ τοῦ, κεκλημένος εἴης.

122. Συνῄνεσα] Συνεθέμην.

125. Καὶ τὸν σκοπὸν] Τὸν σκοπὸν τοῦτον πρὸς τὴν ναῦν ἀποπέμψω· καὶ πάλιν [l] ἐὰν καιρὸς καλῇ ἐνταῦθα, ἐάν μοι δόξητε βραδύνειν.

129. Ὡς ἂν ἀγνοίᾳ προσῇ] Ἵνα μὴ γνωσθῇ.

130. Οὗ δῆτα τοῦ Φιλοκτήτου ἀπατωμένου· ἢ τοῦ ναυκλήρου δόλιά σοι διαλεγομένου καὶ ἀσυμφανῆ.

134. Πολιὰς] [m] Πολιοῦχος.

*Ibid.* Ὁ Ὀδυσσεὺς ἀπέστη.

136. Στέγειν] Κρύπτειν.

*Ibid.* Ὑπόπταν] Ἀντὶ τοῦ, ἐμὲ φανερὸν γεγονότα, καὶ ἐλθόντα εἰς ὄψιν. Ἢ τὸν Φιλοκτήτην, τὸν ὑφ' ἡμῶν κατασκοπούμενον. Ἄλλως. Πρὸς τὸν ὑφορώμενον ἡμᾶς ἄνδρα τί δεῖ λέγειν, ἢ σιωπᾶν;

137. Τέχνα γὰρ τέχνας: Τοῦτο ἐν τῷ καθόλου· ἡ γὰρ τέχνη, φησὶ, καὶ ἡ γνώμη τῶν βασιλέων προὔχει τῶν ἄλλων τεχνῶν· καὶ ἐν Οἰδίποδι·

[c] ἑαυτῷ R. ἐκείνῳ Br.

[d] Gl. om. R. Br.

[e] τὴν σωτηρίαν· εἰ σωτηρία ἐκ τοῦ ψεύδους προσγίγνεται Br.

[f] βλέπων, νοῶν, λογισμὸν ἔχων· καὶ ἔστιν ἡ σύνταξις· πῶς—αὐτό. Br.

[g] Gl. om. R.

[h] δύο τιμήματα R. Br.

[i] ἀντὶ τοῦ ποῖα R. Br.

[k] ἢ ὡς σοφοῦ Br.

[l] ἐνταῦθα ἐὰν κ. κ. καὶ ἐὰν μοι δ. Br.

[m] οὕτως ἡ πολιοῦχος. Ἀθηνᾶ Νίκη καλεῖται ἐν τῇ Ἀττικῇ Br. Gl. seq. om. R. Br.

[n] Ἃ γὰρ δρῶσ' οἱ κρατοῦντες, οὐχ ὁρῶ.

καὶ Ἡσίοδος·

Τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες.

139. Παρ' ὅτῳ] [o] Ὑφ' ᾧ ἐστι τὸ θεῖον σκῆπτρον.

141. Σὲ δ', ὦ τέκνον, ἐλήλυθε] Τοῦτο τὸ ἀξίωμα ἐκ προγόνων ἦλθεν εἰς σέ· δίκαιον οὖν σοι πείθεσθαι.

142. Πᾶν κράτος ὠγύγιον] Τὸ ἐξ ἀρχῆς τιθέμενον κράτος.

143. Ὑπουργεῖν] [p] Λείπει ἡ σὺν, ἵν' ᾖ συνεργεῖν.

144. Νῦν μὲν] Νῦν μὲν, φησὶν, εἰσελθὼν ὅρα τὸν τόπον· ἐπὰν δὲ ἔλθῃ, τότε σὺ τῶν μελάθρων ἀποστὰς, ὑπηρέτει μοι πρὸς τὴν παροῦσαν χρείαν.

*Ibid.* Τόπον ἐσχατιαῖς] Τὸν ἐπὶ τῷ ἐσχάτῳ [q] τόπῳ.

148. Ὥσπερ ἐγὼ προχωρῶ, οὕτως ἀκολουθῶν, πειρῶ με θεραπεύειν ἀεί· κυρίως δέ ἐστιν ἀκούειν τὸ [r] προσχωρῶν, οἷον, ὡς ἂν ἐγὼ προστάσσω, τοῦτον τὸν τρόπον ποιῶν.

150. Μέλον πάλαι μέλημα: [s] Ἀντὶ τοῦ πρᾶγμά μοι λέγεις ἐκ πολλοῦ μοι μεμεληκὸς, τὸ φρουρεῖν τὸ σὸν ὄμμα, καὶ τὴν ἀπὸ σοῦ εὐκαιρίαν.

151. Τὸ σὸν φρουρεῖν ὄμμα] [t] Τὰ σὰ νεύματα φυλάττειν.

153. Ἔνεδρος] [u] Ἔνοικος.

155. Οὐκ ἀπόκαιριον] Οὐκ ἄτοπον, οὐκ ἄκαιρον· εὔκαιρον γάρ ἐστι [w] τὸ τοῦτο μαθεῖν.

156. Προσπεσών] Προσπελάσας.

158. Ἔναυλον ἢ θυραῖον] Ἐντὸς ἢ ἐκτός· ἐγγὺς ἢ μακράν.

163. Ὀγμεύει] [x] Ὄγμος, ἡ ἐπὶ στίχον φυτεία· νῦν δὲ ἀντὶ τοῦ ἐφεξῆς πορεύεται.

166. Σμυγερῶς] Ἐπιπόνως.

167. Αὐτῷ] Ἀντὶ τοῦ ἑαυτῷ. [y] Ἐπινωμᾶν δὲ ἐξευρίσκειν.

168. Παιῶνα] Θεραπείαν.

169. Οἰκτείρω νιν] Ἐλεῶ, φησὶν, αὐτὸν, πῶς δύναται διάγειν, μήτε συνοικῶν τινι, μήτε [z] κηδόμενόν τινα ἔχων.

[n] V. 530. Tum Hesiod. Theog. 88.
[o] ἐφ' ᾧ R. Br.
[p] λείπει ἡ σὺν ἵν' ᾖ om. R. Br.
[q] τόπον Br.
[r] προχωρῶ R. προχωρῶν Br.
[s] πρᾶγμα, φησὶ, μοι Br.
[t] ἀντὶ τοῦ τὰ Br.
[u] Gl. om. R.
[w] τὸ om. Br.
[x] ὄγμος μὲν ἡ Br. qui mox νῦν δὲ ὀγμεύει ἀντί τ.
[y] Seqq. post gl. ad v. 168. R. Br. omisso δέ.
[z] κηδεμόνα ἔχων μηδέ τινος αὐτοῦ Br.

170. Μή του κηδομένου βροτῶν] Μή τινος αὐτοῦ τῶν ἀνθρώπων κηδομένου.

171. Μηδὲ ξύντροφον ὄμμ' ἔχων] Μηδὲ ὁρῶν εἰς ἄνθρωπον σύνοικον.

174. Ἀλύει] [a] Ἀλγεῖ, ἀπορεῖ.

*Ibid.* Ἐπὶ παντὶ] Ἐπὶ παντὶ [b] ἐν χρείᾳ γινομένῳ ἀπορεῖ. [Εἰς τὸ αὐτό.] [c] Ὁπηνίκα χρείας καλέσῃ καιρὸς, ἀδημονεῖ, διὰ τὸ πάντων ἀπορεῖν.

177. Ὦ παλάμαι θνητῶν] Ὦ τέχναι καὶ γνῶμαι. [Εἰς τὸ αὐτό.] Τοῦτο θαυμάζων τὸν Φιλοκτήτην φησὶ, πῶς μόνος ὢν ἐξευρίσκει τὰ πρὸς τὴν ζωὴν ἑαυτῷ.

179. Οἷς μὴ μέτριος αἰών] Οἷς ὁ βίος οὐκ ἔχει τῶν κακῶν μέτρον. Ἢ οὕτως· οἷς μὴ σύμμετρος ὁ βίος καὶ ἐπαρκῶν.

180. Πρωτογόνων] [d] Εὐγενῶν.

181. Ὕστερος] [e] Ὑστερίζων.

183. [f] Κεῖται μοῦνος] Ἔρημος νῦν κεῖται.

184. Στικτῶν ἢ λασίων] [g] Ποικίλων καὶ δασυτρίχων.

188. Ἀθυρόστομος: Πολυλάλητος, μὴ εἰργομένη τοῦ φθέγγεσθαι· ἀθυρόστομον δὲ εἶπεν τὴν ἠχὼ, ἐπεὶ πρὸς πάντας ἀντιφθέγγεται. Ὁ δὲ νοῦς· [h] ἀεὶ δὲ ὀδυρομένου αὐτοῦ, ἠχὼ πρὸς τὸν ὀδυρμὸν ἀντιφθέγγεται.

189. Τηλεφανής] Μήκοθεν φαινομένη διὰ τῆς φωνῆς· ἀντὶ τοῦ, οἰμώζει, καὶ [i] τὴν ἠχὼ πόρρωθεν ἀνεγείρει.

191. Οὐδὲν τούτων θαυμαστόν: Οὐδὲν, φησὶ, τούτων θαυμαστὸν ἐμοὶ, ὅτι κακὰ πάσχει ὁ Φιλοκτήτης· ἐκ θεῶν γὰρ, ὡς οἶμαι, ταῦτα πέπονθεν, καὶ τὸ πάθος ὑπέμεινεν κατὰ βούλησιν [k] καὶ θεῶν, ἵνα μὴ τὰ βέλη εὐθέως [l] ἀπελθόντος αὐτοῦ πορθήσῃ τὴν Τροίαν [m] παρὰ εἱμαρμένην, ἀλλὰ ἐκδέξηται τὸν καιρόν.

194. Τῆς ὠμόφρονος Χρύσης: Χρύση, νῆσος πρὸ τῆς Λήμνου,

[a] Gl. om. R.
[b] τῷ ἐν χρ. R. Br.
[c] ἢ ὁπηνίκα R. ἤγουν ὁπηνίκα χρείας τινὸς Br. qui om. ἀπορεῖ.
[d] Gl. om. R. Br.
[e] ἀντὶ τοῦ ὑστ. R. Br.
[f] ἄμμορος.: ἔρημος R. ἄμμορος, ἄμοιρος· ἀντὶ τοῦ Br.
[g] ποικίλλων R.
[h] ἀεὶ μὲν R. Br.
[i] τὴν φωνὴν R.
[k] τῶν θεῶν R. Br.
[l] ἐπελθόντος Br.
[m] παρὰ τὸ εἱμαρμένον R. Br.

ἔνθα διέτριβεν Χρύση τις Νύμφη, ἣ ἐρασθεῖσα τοῦ Φιλοκτήτου, καὶ μὴ πείσασα, κατηράσατο αὐτῷ· διὸ καὶ ὠμόφρονα αὐτὴν ἐκάλεσεν. [Εἰς τὸ αὐτό.] Χρύσης Ἀθηνᾶς ἄγαλμα οὕτως καλεῖται· ἔστι δὲ καὶ πόλις Χρύση πλησίον Λήμνου, ἔνθα ὑπὸ τοῦ ὄφεως ἐδήχθη, τὸν βωμὸν ζητῶν ἐν ᾧ ἔθυσεν Ἡρακλῆς, ἡνίκα κατὰ Τροίας ἐστράτευσεν.

198. Ἀμάχητα] Ἀνίκητα.

199. Πρὶν ὅδ' ἐξήκοι χρόνος: Αὐτὴν τὴν Τροίαν εἰς τὸν εἱμαρμένον πρὶν ἐλθεῖν χρόνον, ἐν ᾧ εἵμαρται αὐτὴν πορθηθῆναι.

*Ibid.* Ὧι λέγεται] Ὧι χρόνῳ.

200. Ὑπὸ τῶνδε] [n] Ὑπὸ τῶν βελῶν.

201. Εὔστομ' ἔχε παῖ: Εἰώθασιν οὕτω λέγειν, ἀντὶ τοῦ, σιώπα· τὸ δὲ [o] τοιοῦτον κεχίασται, ὅτι Ἑλλάνικός ποτε ἀναγινώσκων τὰ Ἡροδότου, ἔλεγε, "Περὶ δὲ τῶνδέ μοι εὔστομα κείσθω" οὐ διαιρῶν εἰς δύο λέξεις, ἀλλ' ὡς ἄν τις εἴποι, ταῦτα [p] εὔστομα. Τοῦτο δὲ φησὶν ὁ Χορὸς, κτύπον ἀκούσας ἐπερχομένου τοῦ Φιλοκτήτου, καὶ στένοντος [q] κατὰ τὴν πορείαν διὰ τὸ ἄλγος.

203. Φωτὸς σύντροφος: [r] Φωνῆς τῆς συντραφείσης αὐτῷ· δῆλον δὲ ὅτι κακῆς καὶ οἰμωκτικῆς, ὡς κατὰ τὸ σύνηθες αὐτοῦ τειρομένου.

204. Ἦ που τῇδ' ἢ τῇδε] Ἆρ' ὧδε, ἢ ἐνθάδε;

205. Φθογγά του] Φθογγή τινος.

206. Στίβου] Ἔξωθεν προσληπτέον τὴν ἐπὶ.

208. Τρυσάνωρ: Ἐπίπονος, ἡ καταπονοῦσα τὸν ἄνδρα.

209. Διάσημα] Φανερά.

211. Φροντίδας νέας: Τὸ ἑξῆς· ἔχε φροντίδας νέας· οἷον, καινότερόν τι βούλευσαι, [s] τί πρὸς αὐτὸν ἐρεῖς.

212. Οὐκ ἔξεδρος] Οὐ μακρὰν, ἀλλ' ἐγγὺς, καὶ ἐπὶ τόπου.

*Ibid.* Ἔντοπος] [t] Ἐγγύς.

213. Οὐ μολπὰν σύριγγος ἔχων: Οὐ [u] βοᾷ τερπόμενος σύριγγι, ὡς ποιμήν.

214. Ἀλλ' ἤ που πταίων: Ἀλλὰ τάχα προσκόπτων, ὑπὸ τῶν

[n] τῶν βελῶν δηλονότι R. Br.
[o] τοιοῦτο R. Br. Herodoti locus est II. 171.
[p] ἔστω εὔστομα Br.
[q] ἐν τῇ πορείᾳ R. Br.
[r] ἦχος φωνῆς Br. qui addit τῇ νόσῳ post τειρομένου.
[s] ἤ τι Br.
[t] Gl. om. R. Br.
[u] βοῇ—σύριγγος Br.

βασάνων βοᾷ. Ἢ δύσορμον τὸν λιμένα ὁρῶν, προβοᾷ ἡμῖν μὴ πελάζειν εἰς αὐτόν. Ὅμηρος·

[v] Λῆμνον ἀμιχθαλόεσσαν·

τὴν ἀπροσόρμιστον.

222. Ἢ γένους] [t] Ἢ ποιοῦ γένους.

223. Ἑλλάδος] [t] Ἑλληνικῆς.

225. Ὀκνῶ] [t] Φοβῶ διὰ τὰ κακά.

226. Ἀπηγριωμένον: Δεῖ γὰρ αὐτὸν ἐξηγριωμένον εἰσφέρειν τῇ ὄψει καὶ τῷ σχήματι.

231. Τοῦτό γε] [t] Τῆς προσηγορίας.

*Ibid.* Τοῦτό γε] [t] Εἰς τοῦτο.

234. Φεῦ τὸ καὶ λαβεῖν] Θαυμαστικὸν μετ' ἐκπλήξεως τὸ φεῦ ἐνταῦθα. [Εἰς τὸ αὐτό.] Λείπει δὲ τὸ στερηθῆναι.

236. Πρόσεσχε] Προσορμίσαι ἐποίησεν.

238. Γέγωνέ μοι] Εἰπέ μοι.

238. Εἰδῶ] Μάθω.

240. Αὐδῶμαι] Λέγομαι.

244. Προσέσχες] [t] Ὥρμισας.

246. Πῶς εἶπας] Θαυμάζων φησὶν, ἐπεὶ μὴ εἶδεν αὐτὸν ἐξαρχῆς [x] στρατευσάμενον.

251. Κλέος] [t] Φήμην.

254. Πικρός] [y] Ἐχθρός.

257. Ἀλλ' οἱ μὲν] Οἱ Ἀτρεῖδαι.

264. Χὠ Κεφαλλήνων ἄναξ] Ὁ Ὀδυσσεύς.

267. Χαράγματι] Δήγματι· τὸ γὰρ δῆγμα τοῦ ὄφεως μόνον χαράσσει.

268. Ξὺν ᾗ] [z] Νόσῳ.

269. Τῆς ποντίας] Τῆς [a] παραθαλασσίας· ὅτε ἀπὸ Χρύσης ἦλθον εἰς Λῆμνον. Ὡς,

Χρύσην ἀμφιβέβηκας.

[v] Il. ω'. 753.

[t] Gl. om. R. Br.

[x] στρατευσάμενον, ὅτε πάντες ἀνήγοντο Ἕλληνες. Br.

[y] Sequitur in Br. ἄδ' ἔχοντος] οὕτως δυστυχοῦντος.

[z] Gl. om. R. Br.

[a] θαλασσίας Br. Mox ὡς Χρύσην ἀμφιβέβηκας om. R. Br.

270. Λέγεται [b] ὡς ἐν Λήμνῳ βουλόμενος ἀναστῆσαι βωμὸν Ἡρακλεῖ παρὰ τὸν αἰγιαλὸν, ὑπὸ ὄφεως ἐπλήγη.

*Ibid.* Κατέσχον] [i] Προσώρμισαν.

271. Σάλου] Κινήματος, πόνου.

275. Οἷ' αὐτοῖς τύχοι] Καταρᾶται.

276. Ἀνάστασιν [c] νῦν, τὴν ἐξ ὕπνου ἔγερσιν.

280. Βεβῶσας] Ἀπελθούσας.

284. [d] Τούτου τοῦ ἀνιᾶσθαι ἄδειαν καὶ εὐχέρειαν πολλήν.

286. Κἄδει] Καὶ ἔδει με ἐμαυτῷ [e] ἐξυπηρετεῖσθαι.

*Ibid.* Τὰ σύμφορα] Τὰ ἀναγκαῖα.

290. Νευροσπαδής] Ὁ ἐπισπώμενος τὴν νευράν· διὰ γὰρ τῶν γλυφίδων [f] ἔρχεται.

291. Εἰλυόμην: Ἐπορευόμην· [g] εἴλησις γὰρ ἡ πορεία.

297. Ἄφαντον] Ἀπροσδόκητον. [h] Ἀλλὰ καλῶς εἶπεν ἄφαντον· οὐ φαίνεται γὰρ, ἀλλὰ δυνάμει αὐτὸ ἔχει.

298. Ἀντὶ τοῦ, ἡ οἰκία, ἡ μετὰ πυρὸς οὖσα, καλῶς διοκεῖται.

301. Ταύτῃ] [i] Τῇ γῇ.

303. Ἐξεμπολήσει] Πωλήσει, πραγματεύσεται, ἐμπορεύσεται.

*Ibid.* Ξενώσεται] Καταχθήσεται ὡς [k] ξένος.

311. Σῶσαί μ' ἐς οἴκους] [l] Τὸ ἀποφέρειν με εἰς τὴν πατρίδα.

313. Τὴν ἀδήφαγον] [m] Τὴν βρωτικήν.

316. Ἀντάποινα] Ἀμοιβαῖα.

317. Οἷον, κἀγὼ ἐξίσου ἐλεῶ σε τοῖς ἀφιγμένοις ἐνταῦθα· [n] ὥσπερ οἱ ἄλλοι ξένοι, φησὶ, περὶ ὧν ἔλεγες.

319. Κἀγὼ νῦν μάρτυς εἰμὶ τοῖς ὑπὸ σοῦ λεγομένοις [o] περὶ τῶν Ἀτρειδῶν καὶ τοῦ Ὀδυσσέως.

[b] γὰρ ὡς ἐν Λήμνῳ βουλόμενος R. γὰρ ὅτι βουλ. ἐν Λ. Br. λέγεται—ἐπλήγη supra post χαράσσει dant R. Br.

[c] λέγει νῦν R. Br.

[d] τούτου δὲ. τοῦ ἀνιᾶσθαι, ἄδειαν καὶ εὐκαιρίαν εὕρισκον πολλὴν R. τούτου δὲ] τοῦ ἀνιᾶσθαι. Εὐμάρειαν] δαψίλειαν, ἄδειαν κ. εὐκαιρίαν ἐ. π. Br.

[e] ὑπηρετεῖσθαι R. Br.

[f] ἕλκεται Br.

[g] εἴλυσις R. Br. Mox post πορεία Br. addit καὶ ἡ κίνησις.

[h] ἀλλὰ om. R. Br. ἀπροσδόκητον ad finem gl. sic transtulit Br. αὐτὸ ἔχει ἡ πέτρα. ἢ ἀπροσδόκητον.

[i] Gl. om. R. Br.

[k] Post h. gl. addit Br. τοῖσι σώφροσι, τοῖς συνετοῖς, τοῖς εὐτυχοῦσιν.

[l] τὸ om. R. Br.

[m] Gl. om. R. Br.

[n] ὥσπερ, φησὶν, οἱ ἄλλοι ξένοι οἱ ἀφιγμένοι, περὶ ὧν λέγεις, οὕτω κἀγώ σε οἰκτείρω Br.

[o] Haec post gl. seq. R. Br.

320. Ὡς εἰσ' ἀληθεῖς] [p]Εἰσιν οἱ σοὶ λόγοι ἀληθεῖς.

324. Εἴθε γένοιτό μοι ὠργισμένῳ ὅρμησις κατ' αὐτῶν, καὶ τὴν δύναμιν [q]ἐνδείξασθαι.

*Ibid.* Θυμῷ] [r]Ὀργῇ.

*Ibid.* Χεῖρα] [r]Πρᾶξιν.

327. Τίνος γὰρ] [r]Λείπει τὸ ἕνεκεν.

329. Μόλις δ' ἔρω] Ὑπὸ τῆς [s]ὀργῆς.

332. Πέρα] Περαιτέρω.

334. [t]Κοινὴ ἡ πρόθεσις ἡ ὑπο.

Λαιψηροῖς ὀλέεσθαι Ἀπόλλωνος βελε.

338. Εὐγενής] Ἀντὶ τοῦ ἀνδρεῖος, εἴ γε καὶ γενναῖος ὁ εὐγενής.

*Ibid.* Ἐλέγχω] [u]Κρίνω, ἐρωτῶ.

339. Οἶμαι μέν σε ἱκανὸν ἔχειν κακὸν τὴν νόσον.

342. Τὸ χ, ὅτι δὶς τὸ αὐτὸ εἶπεν, αὖθις καὶ πάλιν.

343. Ἦλθόν με μέτα] [w]Μετῆλθόν με.

344. Χ' ὤ τροφεὺς] [w]Ὁ Φοίνιξ.

351. [x]Οὐ γὰρ εἰδόμην] Ζῶντα.

355. Πικρὸν Σίγειον] [y]Ἢ διὰ τὸν θάνατον τοῦ Ἀχιλλέως, ἢ διὰ τὸ δυσχείμερον τοῦ τόπου.

*Ibid.* Οὐρίῳ πλάτῃ] Τῷ εὐδίῳ πλῷ.

359. Κεῖνος] Ὁ [z]Ἀχιλλεύς.

363. Διὰ μέσου τὸ οἴμοι ἀποδυρόμενος φησίν.

*Ibid.* Τλημονέστατον] [z]Λυπηρότατον.

366. Κρατύνει] [z]Κρατεῖ.

369. Ὦ σχέτλιε] Πρὸς τὸν Ἀγαμέμνονα.

370. Πρὶν μαθεῖν ἐμοῦ] Ἀντὶ τοῦ, πρὶν ἐμοῦ πυθέσθαι.

373. Κἀκεῖνον] [z]Τὸν Ἀχιλλέα.

374. Ἤρασσον] Ἔβαλλον, κατηρώμην, ὕβριζον.

*Ibid.* Οὐδὲν ἐνδεὲς ποιούμενος] [a]Μηδὲν ὕβρεως παραλιμπάνων.

[p] οἱ σοὶ λόγοι δηλονότι R. Br.

[q] ἐνδείξασθαι καὶ τιμωρῆσαι αὐτούς. Br.

[r] Gl. om. R. Br.

[s] ὀργῆς δηλονότι Br.

[t] καὶ Ὅμηρος (Il. φ'. 278.) λαιψηροῖσιν ὀλέσθαι Ἀπ. βελέεσσιν Br. Gl. om. R.

[u] Gl. om. Br.

[w] Gl. om. R. Br.

[x] ἄθαπτον. ζῶντα. R. οὐ γὰρ εἰδόμην] οὐκ εἶδον ζῶντα δηλονότι Br.

[y] ἤ τοι R. πικρὸν αὐτὸ λέγει ἤτοι Br.

[z] Gl. om. R. Br.

[a] οὐδὲν R. Br.

376. Κεῖνος] [z]Ὁ Ὀδυσσεύς.

377. Ὁ δ' ἐνθάδ' ἥκων] [b]Εἰς τὴν ὀργὴν ἐλθὼν, καίπερ οὐ μάχιμος ὢν, οὐδὲ ὀργίλος.

378. Δηχθεὶς] [z]Λυπηθείς.

379. Τότε, φησὶν, ἡνίκα τοῦ Ἀχιλλέως προεκινδυνεύομεν, οὐ παρῆς ἔνθα ἔδει σε παρεῖναι, ἀλλ' ἀπῆς, ὅπου οὐκ ὤφειλες.

381. Ἔχων] Λείπει [c]ὅπλα.

383. Τητώμενος] [d]Ἐστερημένος.

*Ibid.* [e]Καὶ οὐ μέμφομαι τοσοῦτον τῷ Ὀδυσσεῖ, ὅσον [f]τοῖς περὶ Ἀγαμέμνονα· αὐτοὶ γὰρ πάντων κρατοῦσι, καὶ ἐν αὐτοῖς ἦν τὸ ἐμὲ [g]λαβεῖν. Κακῶς φρονοῦντες, [h]ὡς καὶ Ὀδυσσεὺς κακῶς φρονεῖ· [i]ἐπὰν γὰρ οἱ βασιλεῖς κακῶς φρονῶσι, κακῶς δηλονότι καὶ οἱ ὑπήκοοι.

386. Τῶν ἡγουμένων] [k]Τῶν βασιλέων.

387. [m]Ἀκοσμοῦντες] Ἄτακτα ἐργαζόμενοι.

388. Διδασκάλων] [k] Τῶν βασιλέων.

*Ibid.* Τοῦτο τῶν πλαγίως νοουμένων.

391. Ὀρεστέρα] Ὀρεία· ἡ [n]αὐτὴ δὲ ἐστὶ τῇ γῇ· ἐν δὲ τοῖς ὄρεσι τὰ μυστήρια αὐτῆς γίνεται.

*Ibid.* Παμβῶτι: Πάντας τρέφουσα· παρὰ τὸ Ὁμηρικόν·

[o]ζείδωρος ἄρουρα·

διὰ δὲ τὸ ταύτην τὴν θεὸν τιμᾶσθαι παρὰ Φρυξὶ, πρὸς αὐτὴν τὸν λόγον ποιεῖται. [Εἰς τὸ αὐτό.] [p]Πολύστροφε.

393. Πάκτωλον] Ποταμὸς Λυδίας, ἔνθα ἡ Ῥέα τιμᾶται· χρυσᾶ δὲ ψήγματα ἀπὸ τοῦ Τμώλου τοῦ ὄρους διὰ τοῦ Πακτωλοῦ καταφέρεται.

392. Μᾶτερ αὐτοῦ Διὸς] [q]Ὅτι αὐτή ἐστι Ῥέα καὶ γῆ.

394. Καὶ τότε σε ἐπεκαλεσάμην, τιμωρήσασθαι τοὺς περὶ Ἀγα-

[z] Gl. om. R. Br.
[b] ἤτοι εἰς ὀργὴν nec plura Br. Gl. om. R.
[c] τὰ ὅπλα Br.
[d] Gl. om. R.
[e] καὶ om. Br.
[f] τοὺς L.
[g] τὰ ὅπλα λαβεῖν Br.
[h] ὥσπερ ὁ Ὀδ. R. Br.
[i] ὅταν Br.
[k] Gl. om. R. Br.
[m] Hanc gl. ante κακῶς φρονοῦντες supra ad v. 383. inserunt R. Br.
[n] αὐτὴ ἐστὶ Ῥέα καὶ γῆ Br.
[o] Il. β'. 548.
[p] Supra collocant R. Br.
[q] Gl. om. Br.

μέμνονα, ὅτε προεδίδοσαν τὰ ὅπλα τοῦ Ἀχιλλέως· καὶ νῦν δὲ καλῶ, ἵνα τούτους τιμωρήσῃ.

395. Ἐπηυδώμαν] [r]Ἐπεκαλούμην.

396. Ἐς τόνδε] [s]Τὸν Νεοπτόλεμον.

398. Τὸ ἑξῆς· [t]ὅτε τὰ πατρικὰ ὅπλα παρεδίδοσαν τῷ Λαερτίου.

400. Ἐπὶ ἅρματος γὰρ λεόντων ὀχεῖται ἡ Ῥέα.

402. Σέβας ὑπέρτατον] Ὦ Ῥέα· ἢ νοητέον ἐπὶ τῶν ὅπλων.

405. Προσᾴδετε] Συμφωνεῖτε.

416. Ὁ Τυδέως γόνος] Σὺν Ὀδυσσεῖ γὰρ αὐτὸν ἐξέβαλεν Διομήδης.

417. Σισύφου Λαερτίου] Ἐκ Σισύφου γὰρ κύουσα ἡ Ἀντίκλεια ἐγαμήθη Λαέρτῃ· καὶ διὰ τοῦτο φησὶν αὐτὸν ὥσπερ πεπρᾶσθαι, ἐπειδὴ Λαέρτης πολλὰ δοὺς χρήματα, ἠγάγετο τὴν Ἀντίκλειαν. Τὸ χ̄ δὲ, ὅτι πάλιν Λαερτίου κτητικὸν, ἀντὶ πρωτοτύπου Λαέρτου.

419. Ἐπίστω] [s]Ἐπίστασο.

423. Κάκ' ἐξήρυκε] γρ. κἀξεκήρυξε.

425. Οἱ μὲν γρ. μόνος, παρ' ἱστορίαν [v]φησίν· εἶχε γὰρ καὶ ἄλλους· οἱ δὲ γόνος, τῷ ποιητῇ ἀκολουθοῦντες λέγουσιν.

426. Δύ' αὕτως δείν' ἔλεξας] γρ. δύ' αὐτὼ δ' ἐξέδειξας, δυϊκῶς.

429. Κἀνταῦθ'] Ἐν τοῖς ζῶσιν.

431. Σοφὸς μέν ἐστιν, ἀλλ' οὐ διόλου ἔσται· αἱ γὰρ τοιαῦται γνῶμαι καταβάλλονται [u]εὐθέως.

443. Ἀντὶ τοῦ, ἃ οὐκ ἤθελέν τις ἅπαξ ἀκοῦσαι, ταῦτα πολλάκις ἔλεγεν.

444. Ἐῶν] γρ. ἐῴη.

445. Τοῦτο παρ' ἱστορίαν· λέγεται γὰρ ὑπὸ Ἀχιλλέως ἀνῃρῆσθαι, καθ' ὃν χρόνον καὶ τὴν Πενθεσίλειαν ἀνεῖλεν· φονευθείσης γὰρ [w]τῆς Πενθεσιλείας ὑπὸ Ἀχιλλέως, ὁ Θερσίτης δόρατι ἔπληξε τὸν ὀφθαλμὸν αὐτῆς· διὸ ὀργισθεὶς ὁ Ἀχιλλεὺς, [x]κονδύλοις αὐτὸν ἀνεῖλεν· [y]ἐλέγετο γὰρ ὅτι καὶ μετὰ θάνατον ἐρασθεὶς αὐτῆς συνεληλυθέναι.

[r] ἐπεκαλούμην h. l. om. R. Br. qui supra ἐπεκαλούμην ἢ ἐπεκαλεσάμην.

[s] Gl. om. R. Br.

[t] τὸ ἑξῆς· ὅτε—τῷ Λαερτίου υἱῷ δηλονότι. R. Br.

[v] φασὶν R. Br.

[u] πολλάκις R. Br.

[w] ὑπὸ Ἀχιλλέως τῆς Πενθ. R. Br.

[x] κονδύλῳ Br.

[y] λέγεται καὶ μετὰ R. λέγεται γὰρ καὶ μετὰ Br. Tum uterque ἐρασθῆναι αὐτῆς sine συνεληλυθέναι. De hac his-

446. Ἔμελλεν] [z]Ἔοικεν.

*Ibid.* Ἐπεὶ οὐδέπω] [a]Κατὰ συνίζησιν βαίνεται ἔπειου ἀντὶ τοῦ που.

447. Περιστέλλουσιν] [z]Περικαλύπτουσιν.

448. Παλιντριβῆ] Τετριμμένα τοῖς κακοῖς.

*Ibid.* Σώζουσιν ἐξ Ἅιδου τοὺς ἐπιτρίπτους καὶ δολερούς.

451. Ταῦτα] Τὰ γινόμενα.

452. Τὰ θεῖα [b]ἔργα· νοσῶν δὲ δυσφημεῖ.

453. Ὄρος τῆς Τραχῖνος ἡ Οἴτη. [c]Τραχῖνος δὲ ἦν καὶ Μηλιεύς.

455. Φυλάξομαι] [d]Ὡς κακούς.

457. Χὼ δεινὸς κρατεῖ] [e]Ὁ κακὸς νικᾷ τὸν ἀγαθόν. Καὶ Ἡσίοδος·

βλάπτει δ' ὁ κακὸς τὸν ἀρεί[ονα φῶτα.]

[Εἰς τὸ αὐτό.] Ὅμηρος·

ἐπεὶ τὰ χερείονα νικᾷ.

*Ibid.* Κρατεῖ] [d]Πλέον ἰσχύει.

463. Μεταστήσειαν] Ἀπαλλάξειαν.

465. Εἴκῃ] Διδῷ, συγχωρήσῃ.

467. Πλοῦν μὴ 'ξ ἀπόπτου] Μᾶλλον ἐκ τοῦ σύνεγγυς, μὴ ἐξ [f]ἀπόπτου τὸν πλοῦν περιμένειν.

472. Ὅσοισι] [g]Κακοῖς.

473. Ἐν παρέργῳ] Οἷον, οὐκ ἐν [h]τιμωμένῳ μέρει τῆς νεώς, ἀλλ' ὅπῃ βούλει· δηλοῖ δὲ ταῦτα ἐν τοῖς ἑξῆς.

474. Φορήματος] [i]Βάρους.

475. Ὅμως δὲ σῶσόν με, γιγνώσκων ὅτι τοῖς εὐγενέσι τὸ αἰσχρὸν ἐχθρόν ἐστι, καὶ τὸ καλὸν, ἔνδοξον.

481. Τὸ ἐν παρέργῳ [k]νῦν ἐνεφάνισεν.

toria consulendus Tzetzes ad Lycophr. 999. Plura dabit Bachetus ad Ovid. Epist. p. 320.=289.

[z] om. R. Br.

[a] συνίζησις R. Br. omissis reliquis.

[b] ἔργα δηλονότι R. Br.

[c] Τραχίνιος R. Br. Post Μηλιεὺς Br. addit ὁ Φιλοκτήτης.

[d] His glossis omissis, habent R. Br. ad v. 456. ὅπου γ' ὁ χείρων] ὅπου ὁ κακὸς πλέον ἰσχύει.

[e] καὶ ὁ κ. R. Br. Iidem καὶ om. ante Ἡσίοδος. Locus est Opp. 193. Sequens Il. α'. 576.

[f] ἀπόπτου ἤγουν μακρόθεν Br.

[g] κακοῖς δηλονότι R. Br.

[h] Sic P. E. τιμημένωι L. τετιμημένῳ R. τετιμένῳ Br.

[i] Gl. om. R. Br.

[k] ὅπερ προείρηκε, τοῦτο νῦν ἐνεφ. Br.

486. Ἀκράτωρ] Ἀσθενὴς, κρατεῖν ἐμαυτοῦ μὴ δυνάμενος.

489. Καὶ Ὅμηρος·

[l]Χαλκωδοντιάδης, μεγαθύμων ἀρχὸς Ἀβάντων.

493. Ὃν δὴ παλαί' ἂν] Δι' ὃν δὴ πρὸ πολλοῦ χρόνου [m]ηὐλαβήθην.

494. Τοῖς ἱκμένοις] Ἀντὶ τοῦ, διὰ τῶν [n]ἱκμένων, καὶ πεπορευμένων.

498. Ἐν σμικρῷ] [o]Ἐν ἐλάττονι.

501. Σῶσον με, γινώσκων τὰ ἀνθρώπινα πράγματα μεταβαλλόμενα.

503. Θατέρα] [o]Τὰ φαῦλα.

504. Τὰ δείν' ὁρᾶν] [o]Φοβεῖσθαι καὶ εὐλαβεῖσθαι.

508. Δυσοίστων] Ἀφορήτων, δυσυπομονήτων.

512. Τὸ ἐκείνους λυποῦν, τούτῳ κέρδος καὶ ὠφέλειαν μεταποιῶν. [Εἰς τὸ αὐτό.] [p]Τὸ κακὸν τὸ ἀπὸ τῶν Ἀτρειδῶν μετατιθέμενος τῷ Φιλοκτήτῃ, οἷον, εἰς ἀγαθὸν μεταποιῶν, καὶ μεταβάλλων, καὶ ἐπανορθῶν· λέγει γὰρ, ὅτι βοηθήσω αὐτῷ, ἵνα ἐκείνους λυπήσω, ἐπανορθῶν αὐτῷ συμφορὰν, τὴν ὑπὸ τῶν Ἀτρειδῶν γεγονυῖαν.

514. [q]Ἐνθάπερ] Σπου . .

524. Ἀλλ' αἰσχρόν ἐστιν ἐνδεέστερόν σου εἶναί με ἐν τῷ βοηθεῖν τοῖς φίλοις. Ἢ οὕτως· αἰσχρόν ἐστιν, εἰ ἐνδεέστερόν σου διατεθήσομαι περὶ τὴν εἰς τοὺς ξένους εὐεργεσίαν· οὐ παραιτήσομαι οὖν.

531. Πῶς ἂν ἀποδοίην τὰς εὐεργεσίας ὑμῖν, ὡς ἐφιλήσατέ με; Ἢ πῶς ἂν τῷ ἔργῳ εὖ πράξαιμι καὶ τῷ λόγῳ ὑμῖν;

533. Προσκύσαντες] Ἀσπασάμενοι τὴν ἑστίαν.

534. Ἄοικον] Δύσοικον, ὥσπερ ἀτυχὴς, ὁ δυστυχής.

535. Εὐκάρδιος, καρτερικός.

536. Ἐγὼ γὰρ ὑπολαμβάνω μηδένα ἄλλον τὴν θέαν τῶν ἐνθάδε ἐνεγκεῖν, πόσῳ μᾶλλον [r]εἰς οἴκησιν;

537. Τάδε] γρ. κακά.

542. Οὗτος ὁ ἔμπορος διαπέπλασται ὑπὸ Ὀδυσσέως, ναύκληρος,

[l] Il. β'. 541.

[m] ηὐλαβήθην, μὴ τεθνηκὼς ᾖ R. Br.

[n] ἱκμένων ἢ ἀφιγμένων ἐνταῦθα Br.

[o] Gl. om. R. Br.

[p] ἢ τὸ κ. R. Br.

[q] Haec, nec plura Elmsleii apographum.

[r] τὴν Br.

πραγματευτὴς, εἰωθὼς τοῖς Ἕλλησι τὰ ἐπιτήδεια [s]ἀπάγειν· ἐοικὼς δὲ καὶ ὡς οἴνου αὐτὸν διατυπούμενος πραγματευτήν.

545. Ἀντὶ τοῦ, οὐκ ἐπίτηδες ἐλθὼν ἐνταῦθα, ἀλλὰ πλέων ἐπὶ τὴν πατρίδα [t]ἰδὼν ὥρμισα, οὐκ οἰόμενος, φησὶ, συντεύξεσθαι, κατὰ τύχην δέ.

549. Πεπάρηθον] [u]Δῆμος τῆς Ἀττικῆς, καὶ μία τῶν Κυκλάδων νήσων.

552. Προστυχόντι τῶν ἴσων] Ἀντὶ τοῦ, εὑρόντι τοὺς σοὺς ναύτας τοὺς ἐμοὶ ἴσους, τοὺς τὴν αὐτήν μοι τέχνην μετερχομένους. [Εἰς τὸ αὐτό.] [w]Παραλέλειπται ἡ ἐξ. Βούλεται γὰρ λέγειν, ἐκ τῶν ἴσων.

556. Ἐξαργούμενα] Ἀναβολὴν ἔχοντα.

557. Ἔσται σοι χάρις τῆς προμηθείας ὕστερον.

561. Φροῦδοι] Ἀφανεῖς, [x]κρυπτοί.

562. Θησέως κόροι] Ἀκάμας καὶ Δημοφῶν, ὧν οὐ μέμνηται Ὅμηρος [y]ἐν τῷ Καταλόγῳ.

574. Μὴ φώνει μέγα] [z]Μὴ βόα.

579. Διεμπολᾷ] Λάθρᾳ ἀπατᾷ.

582. Μὴ διαβάλῃς με, φησὶν, τῷ τῶν Ἑλλήνων στρατῷ· [a]εὐεργετήθην ὑπ' αὐτῶν πολλά.

583. Πόλλ' ἐγὼ κείνων ὕπο] Ὑπ' ἐκείνων εὐεργετούμενος ἀντευεργετῶ αὐτοὺς, ὡς δύναται πένης εὐεργετεῖν, δηλονότι ὑπηρετῶν.

589. Ὅρα τί ποιεῖς, παῖ] Ταῦτα πλαγίως νοητέον.

590. Σὲ θήσομαι τῶνδ' αἴτιον] Αἴτιόν σε ποιήσω τῶν πραττομένων.

*Ibid.* Ποιοῦ λέγων] Ποιοῦ με αἴτιον, ὧν μέλλεις λέγειν.

591. Τώδ' ὥπερ κλύεις] [b]Οὗτοι οὕσπερ κλύεις.

593. Ἦ μήν] Ὄντως [c]μήν.

597. Θατέρου: [d]Τοῦ Διομήδους.

---

[s] ἐπάγειν R. Br. Tum ἔοικε— πραγματευτής Br. αὐτὸν post οἴνου addidit L.

[t] ἰδὼν om. Br.

[u] Πεπάρηθος δῆμος R. Br.

[w] ἢ τῶν ἴσων ἀντὶ τοῦ ἐκ τῶν ἴσων. παραλέλειπται γὰρ ἡ ἐξ. R. Br.

[x] κρυπτοὶ om. R. Br.

[y] ἐν τῷ Κατ. om. Br.

[z] Gl. om. R. Br.

[a] πολλὰ γὰρ εὐεργετήθην παρ' αὐτῶν, ἀντευεργετῶν αὐτοὺς, ὡς δύναται π. ε. δ. ὑ. Λέγεται δὲ τὸ πάσχειν καὶ ἐπὶ ἀγαθοῦ. Br.

[b] οὗτοι οἱ ἄνδρες, οὕστινας (οἵτινες R.) ἀκούεις R. Br.

[c] δὴ Br.

[d] ἤγουν τοῦ Δ. Br.

597. Δράσειν τάδε] Εὐτολμότερος [e]ἦν εἰς τὸ δρᾶσαι.

598. [f]Τίνος πράγματος χάριν οὐ διὰ τοσούτου χρόνου ἐπεστράφησαν καὶ φροντίδα ἐποιήσαντο τοῦ Φιλοκτήτου οἱ Ἀτρεῖδαι, τοῦ πάλαι ἐξ αὐτῶν ἀποβληθέντος;

601. Βία] [g]Φθόνος.

606. Οὗτος] [g]Ὁ Ὀδυσσεύς.

607. Ὁ πάντ᾽ ἀκούων] Ὁ ὑπὸ πάντων ὑβριζόμενος.

609. Οὐχ ἁπλῶς εἶπεν τὴν θήραν καλὴν, ἀλλὰ διὰ τὴν πόρθησιν τῆς Ἰλίου· αὐτὸς γὰρ [h]ἑρμηνεύει τὸν τρόπον τῆς πορθήσεως.

616. Δηλώσειν] Δείξειν.

619. Ἐφεῖτο] Ὑπέσχετο, ἐπηγγείλατο.

620. Ὦ παῖ] [g]Λείπει Ποίαντος.

623. Στελεῖν] Πέμψειν.

*Ibid.* Οὑκείνου πατήρ: Ὁ Σίσυφος· μέλλων γὰρ τελευτᾶν, παρήγγειλε τῇ γυναικὶ [i]αὐτὸν ἄθαπτον καταλιπεῖν· καὶ κατελθὼν εἰς Ἅιδου τῶν γε νενομισμένων μὴ τυχὼν, κατηγόρησε τῆς γυναικὸς παρὰ τῷ Ἀϊδωνεῖ, ἠξίου τε ἀνελθεῖν, καὶ τὴν γυναῖκα τιμωρήσασθαι· ἀνελθὼν δὲ, οὐκέτι ὑπέστρεψεν, ἕως μετ᾽ ἀνάγκης κατῆλθεν· ἐκ πατρὸς οὖν πανοῦργος [k]Ὀδυσσεύς.

628. Οὔκουν] Ἀποφατικῶς ἢ ἐρωτηματικῶς.

632. Τάχιον ἂν πεισθείην τῇ ἐχίδνῃ, ἢ τῷ Ὀδυσσεῖ.

636. Ὁρίζει] Διΐστησιν.

637. Τὸ [l]ἐν καιρῷ σπουδάζειν, ἀνάπαυλαν ἄγει ὕστερον.

639. Ἐπειδὰν πνεῦμα τοὐκ πρώρας] [m]Ἐπὰν παύσηται ὁ ἄνεμος ἐναντιούμενος.

*Ibid.* Ἀνῇ] παρῇ.

640. Ἐναντιοστατεῖ] Ἐναντίον πνέει.

642. Μὴ εὐλαβηθῇς, φησί· κἀκείνοις γὰρ τὰ [n]ἐναντία πνεύματα· ἀντὶ τοῦ, τὰ ἡμᾶς ἐπέχοντα, κἀκείνους ἐπέχει.

643. Τοῖς γὰρ κακούργοις οὐκ ἔστιν ἐναντίος ἄνεμος· ἐν τῇ συγχύσει γὰρ μᾶλλον ἰσχύουσιν.

[e] γὰρ ἦν Br.
[f] τὸ ἑξῆς· τίνος δὲ πράγματος χάριν Br. Tum οὐ om. R. Br.
[g] Gl. om. R. Br.
[h] ὁ Ἕλενος ἑρμηνεύει Br.
[i] αὐτοῦ ἄταφον R. Br. αὐτὸν post καταλιπεῖν Br.
[k] ὁ Ὀδυσσεὺς R. Br.
[l] ἐγκαίρως R. Br.
[m] ἤγουν ἐπὰν R. Br. In fine ἡμῖν addit Br.
[n] πνεύματα ταῦτα ἐναντία R. Br.

648. Τί ἔχεις, ὅπερ ἡ ἐμὴ ναῦς οὐκ ἔχει; ἀντὶ τοῦ, οὐδὲν ἡμῖν λείπει.

650. Κοιμῶ] Κατακοιμίζω, πραΰνω.

653. Παρερρύηκεν] [o] Παρεμπέπτωκεν.

665. Ὃς τῶν ἐμῶν] Ὃς ἐποίησάς με τῶν ἐχθρῶν ὑπερέχειν, ὄντα αὐτῶν ἐλάττονα.

668. Καὶ δόντι δοῦναι] Ἀντὶ τοῦ, ἀποδοῦναί μοι τῷ δόντι σοι.

670. Αὐτὸς γὰρ ὑφῆψε [p] τῷ Ἡρακλεῖ τὴν πυράν.

676. Λόγῳ μὲν [q] ἀκούω τὸ τοῦ Ἰξίονος πάθος, ὅτι τροχάζεται· πελάταν δὲ αὐτὸν λέκτρων Διὸς εἶπεν, τὸν πειράσαι βουληθέντα [τὰ] τοῦ Διὸς λέκτρα, ὃν ἔδησεν ὁ Ζεὺς, μὴ μέντοι ἑορακέναι μείζονα τῆς Φιλοκτήτου νόσου.

*Ibid.* Τὸν πελάταν λέκτρων] Τὸν βουληθέντα ἐπιβῆναι τῇ εὐνῇ τοῦ Διός.

678. Κατ' ἄμπυκα δὴ] Κατὰ τὸν τρόχον δεδεμένον.

679. Δρομάδα] Τὸν περιφερόμενον ἐν τῷ δρόμῳ.

680. Παγκρατὴς] [r] Βασιλεύς.

682. Μοίρᾳ] Τύχῃ. [Εἰς τὸ αὐτό.] Δυστυχίᾳ, [s] τύχῃ στυγερωτέρᾳ καὶ ἐχθίονι.

684. Νοσφίσας] Ἀποστερήσας.

685. Ἐν ἴσοις] Ἐν δικαίοις.

687. Θαυμάζω πῶς ὑπέμεινεν ἀεὶ [t] κλυζομένοις κύμασιν ἔχων καταγωγὴν, καὶ ἔρημον παντάπασιν.

688. Ἀμφιπλήκτων] Ἑκατέρωθεν πληττόντων· τὰ γὰρ κύματα κλύζονται κατ' ἀμφοτέραν [u] ὄχθαν τῆς θαλάσσης.

690. Βιοτὰν] [r] Ζωὴν, διαγωγήν.

691. Ὅπου αὐτὸς [w] μόνος ὑπὸ ἀνέμων βαλλόμενος, πρὸς ἄνεμον τετραμμένος ἦν.

*Ibid.* Βάσιν] Πόδα.

[o] παραπέπτωκεν Br.
[p] τὴν πυρὰν τῷ Ἡρακλεῖ R. Br.
[q] ἀκούω, φησί Br. qui post τροχάζεται sic: οὐ μέντοι ἑώρακα μείζονα τῆς Φιλοκτήτου νόσον. Τὸν πελάταν λέκτρων] Τὸν βουληθέντα ἐπιβῆναι τῇ εὐνῇ τοῦ Διός· ἢ τὸν πειράσαι βουληθέντα τὴν ὁμόλεκτρον τοῦ Διὸς Ἥραν, ὃν ἔδησεν ὁ Ζεύς. Sequentia item paullo aliter R. Br.
[r] Gl. om. R. Br.
[s] τύχῃ om. R. Br. Tum ἐλεεινοτέρᾳ Br. pro καὶ ἐχθίονι.
[t] κλυζομένην Br.
[u] ὄχθην R. Br.
[w] μόνος ἦν Br. qui infra ἢ πρὸς ἄ. In fine ἦν om. Br.

692. Οὐδέ τιν' ἐγχώρων] [x] Λείπει ἔχων.

*Ibid.* Κακογείτονα: Οὐ μόνον ὅπου καλὸν οὐκ εἶχε γείτονα, ἀλλὰ οὐδὲ κακὸν, παρ' οὗ ἀμοιβαῖον λόγον στενάζων ἀκούσεται. Τὸ δὲ ἑξῆς οὕτως δεῖ λαβεῖν· οὐδέ τινα ἐγχώρων ἔχων παρ' ᾧ δὴ τὸν [y] κακογείτονα αἱματηρὸν στόνον ἀποκλαύσειεν· τὸ κακογείτονα γὰρ οὐ πρὸς τοὺς ἐνοικοῦντας, ἀλλ' εἴπερ τις ἐτύγχανεν αὐτῷ συνοικῶν, ὁ τούτου στόνος κακογείτων ἂν [z] εἴη ἐκείνῳ.

693. Ἀντίτυπον] Ἀμοιβαῖον.

696. Οὐδ' ὃς τὰν θερμοτάταν: [a] Οὐδ' ὃς τὴν θερμοτάτην καὶ ἀγρίαν αἱμάδα, τὴν τοῦ αἵματος ῥύσιν ἀναδιδομένην ἐκ τῶν ἑλκῶν τοῦ θηροδήκτου ποδὸς, ἠπίοις φύλλοις κατευνάσειεν, εἴ τις ἐμπέσοι.

697. Κηκιομέναν] [b] Ἀναδιδομένην, παρὰ τὸ

μέλαν δ' ἀνακήκιεν αἷμα.

628. Φύλλοις κατευνάσειεν] Ἀντὶ τοῦ, ὅλως οὐκ ἔχων οὐδὲ ὅστις ἕλοι φύλλον αὐτῷ ἐκ τῆς γῆς, ἢ ὄρνιν τοξευθέντα ὑπὸ Φιλοκτήτου, καὶ πεσόντα εἰς τὴν γῆν.

700. Φορβάδος] [c] Τῆς πάντα τρεφούσης.

702. Τότ' ἂν εἱλυόμενος: Κυλιόμενος, χερσὶν ἐπερειδόμενος, καὶ ἕλκων τὰ σκέλη, ὡς νήπιος παῖς ἄνευ τιθήνης τετραποδηδὸν βαδίζων. [d] Καὶ αὐτὸς ἐν τοῖς ἀνωτέρω·

[e] πρὸς δὲ τοῦθ' ὅ μοι βάλοι
νευροσπαδὴς ἄτρακτος, [αὐτὸς] ἂν πρὸς ἰν
εἱλυόμην δύστηνος ἐξέλκων πόδα.

Τὸ δὲ ἑξῆς· τότε γὰρ ἡνίκα ἐξανίησι δακέθυμος ἄτα, [f] ἕρπει πόρον ἄλλοτ' ἄλλον, εἱλυόμενος, ὥσπερ παῖς ἄνευ φίλης τιθήνης ὑπάρχων. Οὐ φορβὰν ἱερᾶς γᾶς [g] σπόρον αἴρων, οὐκ ἄλλο ὃ νεμόμεσθα ἄνδρες ἀλφησταί· τουτέστιν, οὐ Δημητριακὸν καρπὸν, οὐδέ τι τῆς συνήθους ἀνθρώπων διαίτης, ἀλλὰ διὰ τῶν πτηνῶν ὀϊστῶν, τὴν διὰ τῶν ὀρνέων τροφήν.

704. Ὅθεν εὐμάρεια] Ὅπου εὐμαρές ἐστιν αὐτῷ ἀπιέναι.

705. Ἐξανίησιν] Ἐνδίδωσι.

[x] ἀπὸ κοινοῦ τὸ Br.

[y] κακὸν γείτονα, τὸν αἱμ. R. Br.

[z] ἦν R. Br.

[a] κατὰ συνεκδοχὴν τὸ ἔχων. οὐδ' ἔχων τινὰ, ὃς Br. ὅστις τὴν R.

[b] ἀναδιδομένην om. R. Br. Locus Homeri est Il. η'. 262.

[c] Gl. om. R. Br.

[d] ὡς R. Br.

[e] V. 289. V. seq. αὐτὸς ἂν τάλας R. Br.

[f] ἕρποι R.

[g] πόρον L.

705. Ἄτα] Ἡ νόσος.

707. Γᾶς σπόρον] Σῖτον.

*Ibid.* Ὧν νεμόμεσθα] [h]Ἀφ' ὧν νεμόμεθα, τουτέστι, τρεφόμεθα.

708. Αἴρων] [i]Λαμβάνων.

710. Πλὴν ἐξ ὠκυβόλων: Πλὴν εἴ που τοῖς πτηνοῖς βέλεσιν ἐξ ὠκυβόλων τόξων ἀνύσῃ φορβὴν πτηνῶν, τουτέστιν, ὀρνέων· λείπει δὲ ἡ ἀπὸ· [k]ἀπὸ πτηνῶν.

*Ibid.* Ὠκυβόλων] [l]Πτερωτῶν τόξων.

712. Ἀνύσειε] [m]Περιποιήσειεν ὀρνέοις.

714. Οἰνοχύτου πώματος] [n]Οἴνου, περιφραστικῶς.

715. Ἥσθη] [o]Ἀντὶ τοῦ ἐνεπλήσθη. Οὐδὲ οἴνου μετείληφεν.

716. Στατὸν εἰς ὕδωρ: Τὸ ἐξ ὄμβρου συνεστηκὸς ὕδωρ, ἢ πηγαῖον, ἢ λιμναῖον· παρὰ τὸ ἠρεμεῖν, καὶ μὴ ὑπὸ ἀνέμων κινεῖσθαι.

717. Προσενώμα] Ἑαυτὸν ἐκίνει, [p]ἀντὶ τοῦ ἐπορεύετο.

719. Ὑπαντήσας] Τυχὼν Νεοπτολέμου.

720. Εὐδαίμων ἀνύσει] Εὐδαιμονήσει· τὸ ἑξῆς· εὐδαίμων καὶ μέγας ἀνύσει. Ἐκ κείνων [q]δὲ λέγει τῶν κακῶν.

721. Ἐκ κείνων] [s]Ἐκ τῶν κατ' αὐτὸν εὐτυχής. [Εἰς τὸ αὐτό.] Λείπει ἔσται.

722. Ποντοπόρῳ δούρατι] [s]Τῇ νηΐ.

723. Πλήθει πολλῶν μηνῶν] [s]Τῷ πλήθει τῶν μηνῶν.

724. Πατρῴαν ἄγει πρὸς αὐλάν] [r]Τὴν πατρίδα.

725. Μηλιάδων] [t]Ἔστιν ἀντὶ Τραχινίων. Περὶ τὴν Τραχῖνα γὰρ οἱ Μηλιεῖς.

726. Ἵν' ὁ χάλκασπις: Ὅπου ὁ ἐκθεωθεὶς ἀνὴρ πελάζεται [u]πᾶσι. Λέγει δὲ τὸν Ἡρακλέα.

728. Πλάθει πᾶσιν: Ἐπιφαίνεται λαμπρὸς ὤν, ὡς πῦρ.

*Ibid.* Θείῳ πυρὶ] [s]Λείπει τὸ ὡς.

[h] τουτέστιν ἀφ' ὧν τρεφόμεθα R. Br.
[i] Gl. om. R. Br.
[k] ἵν' ᾖ ἀπὸ τῶν πτηνῶν R. Br.
[l] Gl. in principio praecedentis dant R. Br.
[m] Gl. om. R. Br.
[n] τουτέστιν οἴνου R. Br.
[o] ἢ οὐδὲ R. Br.
[p] ἤγουν ἐπ. R. Br.
[q] λείπει ἔσται· τῶν κακῶν δηλονότι R. Br.
[r] εἰς τὴν R. Br.
[s] Gl. om. R. Br.
[t] ἔστιν ἀντὶ Τραχ. om. R. Br. Τραχίνων L.
[u] πᾶσι θεοῖς Br.

730. Τί δήποθ' ὧδε] Τοῦτο φησὶν, ὁρῶν τῇ νόσῳ πληττόμενον καὶ σιωπῶντα.

735. Ἐνοχλεῖ τῷ Φιλοκτήτῃ ἡ συνήθης νόσος· θέλει δὲ κρατῆσαι ἑαυτοῦ, διὸ προσποιεῖται, ὅταν λέγῃ, "ἀλλ' ἄρτι κουφίζειν δοκῶ."

736. Ὁ Φιλοκτήτης διὰ τὴν εἰς οἶκον ἀνακομιδὴν ἀπαγορεύει τὰς γινομένας ὀδύνας, καὶ λέγει, ἰὼ θεοὶ, ὡς χαίρων διὰ τὸν Νεοπτόλεμον· οὐ δύναται δὲ ἀληθῶς.

739. Ἀναστενάζει λοιπὸν, τῆς νόσου πλεοναζούσης.

741. Ἐν κακῷ δὲ τῷ φαίνῃ κυρῶν] Ἀντὶ τοῦ, ἔοικάς μοι ὀδυνᾶσθαι.

745. Βρύκομαι] Ἐσθίομαι, καταναλίσκομαι.

749. Ἀπάμησον] [w]Κόψον, θέρισον.

752. Ἰϋγήν] Ὀξεῖαν βοήν.

753. Βούλεται εἰπεῖν τὴν εἰς οἶκον ἀνακομιδὴν, ἐν νῷ λαμβάνων, μή πως καταλείψει αὐτὸν ὁ Νεοπτόλεμος· οὐ λέγει δὲ διὰ τὸ πάθος.

755. Τοὐπίσαγμα] Ἡ ἐπείσοδος, ἡ προσθήκη.

758. [x]Ὁδοιπορείαις· ἥκει ἡ νόσος, ἴσως ὅτε ἐκορέσθη πλανωμένη· ὡς ἐπὶ θηρὸς δὲ ποιεῖται τὸν λόγον.

764. Ἤιτου] Ἠξίωσας, ᾔτεις.

*Ibid.* Ἀνῇ] Ἐνδῷ.

766. Φύλασσε, φησὶν, αὐτὰ τὰ τόξα· ἅμα γὰρ τῷ πάθει τούτῳ ὕπνος μοι ἐπέρχεται, καὶ οὕτω παύομαι τῆς νόσου.

768. Λῆξαι πρότερον] Τῆς ὀδύνης παύσασθαι πρότερον, πρὶν κοιμηθῆναι.

770. Ἐκεῖνοι] Οἱ περὶ Ὀδυσσέα.

773. Πρόστροπον] Ἱκέτην.

776. Τὸν φθόνον δὲ πρόσκυσον] Ἱλάσκου τὸν φθόνον, [y]ὥστε αὐτὰ μὴ γενέσθαι σοι πολύστονα, πικρὰ, καὶ αἴτια κακῶν.

777. Ὅπως] Ὁμοίως.

778. Τῷ πρόσθ' ἐμοῦ κεκτημένῳ] [z]Τῷ Ἡρακλεῖ.

784. Κηκῖον] Ἀναρρέον, ἀναδιδόμενον. Ὅμηρος·

[a] πολὺς δ' ἀνεκήκιεν ἱδρώς.

[w] θέρισον, κόψον R. Br.
[x] ὁδοιπορίαις Br.
[y] οἷς τε L.
[z] τῷ Ἡ. δηλονότι R. ἐμοὶ καὶ τῷ Ἡ. Br.
[a] Il. ψ΄. 507.

791. Ὦ ξένε Κεφαλλήν] Ὦ Ὀδυσσεῦ.

795. Τρέφοιτε] Λάβοιτε ἀντ' ἐμοῦ.

800. Ἐν γὰρ [b] τῇ Λήμνῳ τὸ ἐργαστήριον τοῦ Ἡφαίστου, ἔνθα καὶ κρατῆρες πυρός εἰσιν.

*Ibid.* Κἀγώ τοί ποτε] Ὅτε τὴν πυρὰν [c] Ἡρακλέους ἀνῆψεν.

*Ibid.* Ἀνακαλουμένῳ] [d] Παρακαλοῦντι.

803. Τοῦτ' ἐπηξίωσα δρᾶν] [e] Τὸ κατακαῦσαι.

805. Τί σιγᾷς] [f] Λαβὼν τὰ τόξα ὁ Πύρρος, ἐσιώπησεν, ἀπορῶν τί ἄρα ποιήσειεν.

812. Πρὸς τὴν ὑπόθεσιν καὶ τοῦτο φησὶ, διὰ τὸ τὸν χρησμὸν εἶναι, μηδέτερον αὐτῶν [g] πορθήσειν τὸ Ἴλιον.

*Ibid.* Οὐ θέμις] [h] Οὐκ εὐσεβές.

814. Ἐκεῖσε νῦν μ' ἐκεῖσε] [i] Διὰ τοῦτο νῦν ἔοικεν ὁ Φιλοκτήτης παραφρονεῖν ὑπὸ τῆς νόσου.

815. Παραφρονεῖς] [k] Ἐκτὸς τῶν φρενῶν γέγονας.

818. Πλεὸν] Ἀντὶ τοῦ, ὠφελιμώτερον ἐμοῦ.

820. [l] Εἰπὼν ἐκοιμήθη.

821. Ἔοικεν ὁ ὕπνος τὸν ἄνδρα οὐκ εἰς μακρὰν καταλήψεσθαι.

822. Ὑπτιάζεται] Κλίνεται, ἢ ὀπίσω ῥίπτεται.

825. Νεῦρον ῥαγὲν ἀπὸ τοῦ ἄκρου ποδὸς, αἷμα ἀνίησιν.

827. Ἀδαής] [m] Ἄπειρε.

*Ibid.* Ἀλγέων] Ἀπὸ κοινοῦ τὸ ἀδαής.

828. Εὐαής] Εὔπνους.

829. Εὐαίων] Εὐμενὴς, καλῶς ἄγων ἡμῖν τὸν αἰῶνα.

830. Ὄμμασι δ' ἀντέχοις: [n] Κάτεχε τὸ ὁρατικὸν, ὅπερ νῦν ἥπλωται καὶ διαχεῖται τῇ τοῦ ὕπνου ἀχλύϊ· [p] τοιαύτην δὲ αἴγλην, ἢ τις νῦν τέταται, ἀντέχοις [q] τοῖς ὄμμασι· λέγει δὲ τὸν ὕπνον, τὸν [r] λεγό-

[b] τῇ et mox τὸ om. R. Br.

[c] τοῦ Ἡ. ἀνῆψα R. Br. Supra εἰσιν dedit L.

[d] In gl. præcedente R. Br.

[e] τοῦ κατατοξεῦσαι L. τὸ κατακοῦσαι R.

[f] λαβὼν γὰρ R. Br.

[g] μόνον πορθήσειν R. Br.

[h] Gl. om. R. Br.

[i] διὰ τούτων ἔοικεν Br.

[k] τι ἔκτος φρενῶν γ. R. Br.

[l] εἰπὼν τάδε ἐ. R. εἰπὼν ταῦτα ὁ Φιλοκτήτης ἐκοιμήθη. Br.

[m] In Gl. seq. R. Br.

[n] Seqq. paullo aliter collocant R. Br.

[p] τὴν τοιαύτην Br.

[q] τὰ ὄμματα L.

[r] γενόμενον αὐτῷ R. Br. Post φῶς addit Br. ἀπαλλάττων τῶν ὀδυνῶν.

μενον καὶ αὐτῷ παραχρῆμα, ὡς ἐστὶν αὐτῷ αἴγλη καὶ φῶς. [Εἰς τὸ αὐτό.] Ἐναντιωθείης τοῖς ὄμμασι [o] τοῦ Φιλοκτήτου, καὶ μὴ ἐάσῃς αὐτὸν βλέψαι νῦν.

833. Ποῦ στήσῃ τῆς γνώμης; ποίας γνώμης κρατήσεις;

834. Τἀντεῦθεν] Τὰ μετὰ ταῦτα πῶς ὁρᾷς φροντίδος.

835. Ὁρᾷς] Ἀντὶ τοῦ, ἐννοεῖς.

837. Καιρός τοι πάντων γνώμαν: [r] Ἐπὶ πάντων ἡ μετὰ εὐκαιρίας σύνεσις πολλῶν ἐπικράτειαν ἐν ἑτοίμῳ καρποῦται. Ὁ δὲ νοῦς· ὁ καιρὸς ἐκεῖνος ὁ εὐκαίρως [s] ἐπιτελούμενος πολλοῖς εὐδοξίαν σύνεγγυς παρέχει.

838. Παρὰ πόδα] Πλησίον.

*Ibid.* Ἄρνυται] Ἀποφέρεται.

839. Ἀλλ' ὅδε] [t] Ταῦτα δι' ἐπῶν.

840. Τήνδ' ἁλίως ἔχομεν: Τὴν θήραν τῶν τόξων μάτην ἔχομεν, χωρὶς τοῦ Φιλοκτήτου πλέοντες.

842. Κομπεῖν δ' ἔστ' ἀτελῆ: Ἐννοεῖν δὲ καὶ ἐπαγγέλλεσθαι ἀτέλεστα ψευδόμενον, αἰσχρὸν ὄνειδος.

*Ibid.* Ἀτελῆ] [u] Εὐτελῆ.

845. Βαιάν μοι βαιὰν, ὦ τέκνον: Μικρὰ καὶ ἠρέμα μοι, φησὶ, διαλέγου, μήποτε ἀκούσῃ κοιμώμενος.

846. Ὡς πάντων ἐν νόσῳ εὐδρακής: Ἀντὶ τοῦ, ἐλαφρὸς πρὸς τὸ ταχὺ ἀναβλέψαι καὶ ἐγερθῆναι· ἀντὶ τοῦ, ὁ ὕπνος [w] ἐν τῇ νόσῳ ταχέως βλέπει· [x] ἀντὶ τοῦ ὁ νοσῶν ταχέως ἀνίσταται· λείπει δὲ τὸ ὡς· βούλεται γὰρ λέγειν, ὥστε λεύσσειν ὁ ὕπνος, ὡς μὴ ἡγεῖσθαι τοῦτον ὕπνον ὑπάρχειν.

849. Μάκιστον] Μέγιστον, εὐσύμβολον, σύμφορον.

851. Ἐξίδου ὅτι πράξεις: Θεώρησον, βλέψον· πλεονάζει γὰρ ἡ ἐξ, καθάπερ καὶ ἐπὶ τούτων, [y] ἀνεπίστασο, ἀντὶ τοῦ, ἐπίστασο, καὶ ἐνδίδαξον, ἀντὶ τοῦ, δίδαξον.

*Ibid.* Ὅτι] [z] Ὅπως.

[o] τ̃ φιλ̃ L.
[r] ἐπὶ ἡ R. ἐπεὶ ἡ Br.
[s] ἐπιμελούμενος Br.
[t] Gl. om. R. Br.
[u] In Gl. praeced. R. om. Br.
[w] ὁ ἐν τῇ Br.
[x] ἢ ὁ R. ἤτοι ὁ Br. Mox ταχέως ἐκ τοῦ ὕπνου ἀν. Br.
[y] ἐξεπίστασο Br. qui mox ἐκδίδαξον.
[z] om. R. Br.

851. Ὃν αὐδῶμαι] Δι' ὃν λέγω. [a] Ἀντὶ τοῦ, τὸν Φιλοκτήτην. [Εἰς τὸ αὐτό.] [b] Διὰ μέσου τοῦτο εἴρηκε.

853. Εἰ ταυτὰν τούτῳ γνώμαν: Εἰ τὴν αὐτὴν τῷ Ὀδυσσεῖ γνώμην ἔχεις, ὥστε αἴρειν τὸν Φιλοκτήτην ἐντεῦθεν.

854. Ἄπορα πυκίνοισιν: Ἄπορόν ἐστι καὶ τοῖς συνετοῖς [c] συνιδεῖν τὸ πρακτέον· λείπει οὖν ὁ καί. γρ. [d] πυκνοῖς· ἵν' ᾖ, ἐν πράγμασι πυκνοῖς συνιδεῖν τὸ πρακτέον, ἄπορον.

855. Οὖρος] Ἐπιτήδειος καιρός.

856. Ἀνόμματος] Ἐστέρηται τοῦ φωτός.

858. Ἐκτέταται νύχιος: Ἐπεὶ κατὰ νύκτα καθεύδουσι, παρὰ τοῦτο εἶπεν τὴν ἡμέραν νύκτα ἄγων, ἀντὶ τοῦ, κοιμώμενος. Τὸ δὲ ἑξῆς· [e] ἐκτέταται νύχιος, οὐ χερὸς, οὐ ποδὸς ἄρχων, ἀντὶ τοῦ, οὐδὲν τῶν μελῶν δυνάμενος κινεῖν, οὐδὲ βλέπειν.

859. Ἀλεὴς ὕπνος ἐσθλός: [f] Ὁ ὕπνος ὁ ὑπὸ τὴν ἀλέαν τοῦ ἡλίου. Ἀλεὴς, θερμός· παρὰ τὴν ἀλέαν. Ὅμηρος·

[g] Ἀλέη τε γένηται.

Τοῦτο δὲ καθ' ἑαυτόν φησίν. Ὕπνος σύμφορος ἡμῖν ἐστι, καὶ τοῖς πράγμασιν ἀγαθός.

863. Τὸ δ' ἁλώσιμον] Τὸ δὲ ἀγρεύσιμον, ὅ ἐστι πέρας, ἀνάκειται τῇ ἐμῇ φροντίδι.

864. Ὁ πόνος ὁ μὴ φόβον ἔχων, κράτιστός ἐστιν· ὁ μὴ πρὸς κίνδυνον ὁρῶν· ἀντὶ τοῦ, μὴ φοβηθῶμεν, πάντα γὰρ [h] ἀνύομεν.

868. Οἰκούρημα] Φυλακὴ, παρουσία.

869. Ἐξηύχησα] [i] Ἐνόμισα.

870. Ἐλεεινῶς: [k] Οἰκτρῶς ὑπομεῖναι.

875. Ἐν εὐχερεῖ] Ἐν ἐλαχίστῳ.

876. Γέμων] Πεπληρωμένος σὺ τῆς ἐμῆς δυσοσμίας.

*Ibid.* Ἐπειδὴ] Ὅταν με ὁ κάματος ἀφῇ.

880. Κόπος μ' ἀπαλλάξῃ] γρ. Κόπου [l] ἀπαλλαχθῶμεν.

[a] οἷον R. pro ἀντὶ τοῦ.

[b] διὰ μέσου τοῦτο εἴρηκε· γινώσκεις ὃν αὐδῶμαι, ἀντὶ τοῦ αὐδῶ καὶ λέγω, ἤγουν τὸν Φιλοκτήτην. Br.

[c] ἰδεῖν R. Br.

[d] πυκνοῖσιν R. Br.

[e] ἐκτέταμαι R.

[f] ὁ ὕπνος ὁ ὑπὸ τὴν ἀλέαν τοῦ ἡλίου σύμφορος ἡμῖν ἐστι, καὶ τοῖς πράγμασιν ἀγαθός· τοῦτο δὲ καθ' ἑαυτὸν φησίν. Ἀλεὴς] θερμός·—γένηται Br.

[g] Od. ρ΄. 23.

[h] ἀνύσομεν Br.

[i] ἐνεθυμήθην, ἐνόμισα Br.

[k] Gl. om. R. Br.

[l] ἀπαλλαχθῶ Br.

881. Ἐπίσχωμεν] [k] Πέρα κωλύσωμεν.

885. Ξυμφορὰς] [k] Τύχας.

886. Εἰ δέ σοι μᾶλλον φίλον] [k] Τὸ αἵρεσθαι ὑπὸ τούτων.

891. Πρὸ τοῦ δέοντος] [k] Πρὸ τοῦ καιροῦ.

*Ibid.* Οὑπὶ νηῒ γὰρ] Ἱκανὸς αὐτοῖς γενήσεται ὁ πόνος ἐπὶ τῇ νηῒ συνεῖναί μοι καὶ συνναίειν μοι.

893. Ἴστω τε καὐτὸς ἀντέχου] Ἵστασο καὶ ἀντιλαμβάνου.

895. Τοὐνθένδε] [k] Τὸ μετὰ ταῦτα.

897. [m] Ἀδημονεῖ, ἐννοῶν ὅτι μέλλει ἐξαπατᾶν τὸν Φιλοκτήτην, καὶ [n] ἀπάγειν εἰς τὴν Ἴλιον, οὐκέτι ἐπὶ τὴν πατρίδα, καθάπερ [o] ἐπηγγέλλετο.

898. Τοῦ] [k] Περὶ τίνος.

899. Πάθους λέγει τῆς ἀπορίας. Ἀντὶ τοῦ, ἀπορῶν τυγχάνω.

900. Οὐ δή σε] Ἐρωτηματικῶς.

902. Ἐκείνην, φησὶ, λέγω [p] δυσχέρειαν προσεῖναι τῷ ἀνδρὶ, τῷ ξένον τι τῆς αὐτοῦ διανοίας διαπραττομένῳ.

*Ibid.* Ἄπαντα] [q] Λείπει ἡ εἰς.

904. Τοῦ φυτεύσαντος] Τοῦ Ἀχιλλέως.

907. Οὔκουν ἐν οἷς γε δρᾷς] [r] Ἐν οἷς πράττεις οὐκ ἔσῃ αἰσχρός.

909. Κρύπτων θ' ἃ μὴ δεῖ] Τὰ ἀληθῆ.

*Ibid.* Λέγων αἴσχιστ' ἐπῶν] Ἀπατῶν.

910. Εἰ μὴ 'γὼ κακὸς γνώμην ἔφυν] Εἰ μὴ κακῶς καὶ ἀνοήτως [s] βουλεύομαι.

912. Οὐχ ὅτι καταλείψω σε ἄχθομαι, ἀλλ' ὅτι λυπηρῶς καὶ οὐ κατὰ τὴν σὴν γνώμην μέλλω σε ἄγειν· ἐπὶ Τροίαν δὲ φησί.

919. Κακοῦ] [t] Τῆς νόσου.

921. Πολλὴ κρατεῖ τούτων ἀνάγκη] Πολλὴ γάρ ἐστιν ἀνάγκη ταῦτα διαπράξασθαι.

925. Τῶν γὰρ ἐν τέλει] Τῶν κρατούντων γὰρ φροντίζω μᾶλλον ἢ σοῦ· διὸ οὐ δώσω σοι ταῦτα.

[k] Gl. om. R. Br.

[m] ἀδημονεῖ ὁ Νεοπτόλεμος Br.

[n] ἐπάγειν R.

[o] ἐπηγγείλατο R. Br.

[p] δυσχέρειαν λέγω προσεῖναι ἀνδρὶ Br.

[q] τὴν αὐτοῦ φύσιν] λείπει ἡ εἰς, ἵν' ᾖ, εἰς τὴν ἑαυτοῦ φύσιν R. Br.

[r] αἰσχρός. ἐν οἷς δὲ φωνεῖς, φοβοῦμαι. Br.

[s] βουλεύομαι, προδώσει με οὗτος ὁ ἀνήρ. Br.

[t] Gl. om. R. Br.

927. Ὦ πῦρ σύ] Παρὰ τὸ ὄνομα· [u] καλεῖται γὰρ Πύρρος.

935. Οὕτως μοι πάλιν προσέχει ἀναιδῶς, ὡς μὴ ἐάσων καὶ δώσων τὰ [w] βέλη.

938. Ὑμῖν ταῦτα λέγω· οὐ γὰρ οἶδα [x] πρὸς ἄλλον ὅν τινα ἀποδύρομαι.

939. Τοῖς εἰωθόσιν] [y] Λείπει τὸ κλύειν ἐμοῦ.

946. Ἐναίρων νεκρόν] Σφάττων νεκρόν· κατὰ τὴν παροιμίαν.

947. Ἄλλως] [y] Μάτην.

950. Ἐν σαυτῷ γενοῦ] [y] Φρόνιμος ἔσο.

952. Δίπυλον] [y] Δίθυρον.

953. Τόξων γυμνός: Τὴν διὰ τῶν τόξων μοι γινομένην οὐκ ἔχων τροφήν· ἄνευ τροφῆς οὖν, ἀντὶ τοῦ, [z] τῶν τόξων.

954. Αὖ θανοῦμαι] γρ. Αὐανοῦμαι, [a] ἀντὶ τοῦ, ξηρανθήσομαι.

957. Παρέξω δαῖθ'] Ἐγὼ εἰωθὼς ἐσθίειν τὰ θηρία, βρωθήσομαι νῦν [b] παρ' αὐτῶν.

959. Ῥύσιον τίσω] Ἐνέχυρον, ἀμοιβὴν ἐκτίσω. Ὅμηρος·

[c] ῥύσι' ἐλαυνόμενος.

962. Γνώμην μετοίσεις] Μετανοήσεις.

964. Προσχωρεῖν] Ὑποχωρεῖν, πεισθῆναι.

968. Ἐκκλέψας] [d] Ἀπατήσας.

971. Πρὸς κακῶν δ' ἀνδρῶν] [d] Τὰ αἰσχρὰ παρ' ἑτέρων μαθών.

*Ibid.* Οὐκ εἶ] [d] Οὐκ ἔρχει.

972. Νῦν δ' ἄλλοισι δούς] Νῦν δὲ ἄλλοις δοὺς τὰ κακὰ οἷς εἰκός, ἔκπλει, τὰ ἐμὰ ἐμοὶ [e] δούς.

978. Πέπραμαι] Πεπραγμάτευμαι.

982. Οὐδ' ἢν θέλῃ] [d] Ὁ Νεοπτόλεμος.

983. Στελοῦσι σέ] Πέμψουσι σέ.

984. [d] τολμ 'στατε] Τολμηέστατε.

986. Τὸ παγκρατὲς σέλας Ἡφαιστότευκτον] Τὸ Ἡφαίστειον

[u] Πύρρος γὰρ ἐκαλεῖτο πρώην ὁ Νεοπτόλεμος. Br.

[w] τόξα Br. qui statim addit ξυνουσίαι, διατριβαί. Καταρρῶγες, διεσχισμέναι κοιλώδεις.

[x] ἄλλον, πρὸς Br.

[y] Gl. om. R. Br.

[z] ἄνευ τόξων R. Br.

[a] οἷον R. Br. pro ἀντὶ τοῦ.

[b] ὑπ' R. Br.

[c] Il. λ'. 673.

[d] om. R. Br.

[e] Post hanc gl. addit Br. e Tricl.: Τὶ δρῶμεν ἀνδρές. Μετανοήσας ὁ Νεοπτόλεμος ἤθελε δοῦναι τῷ Φιλοκτήτῃ τὰ ὅπλα αὐτοῦ· ἐλθὼν δὲ ὁ Ὀδυσσεύς, καὶ θεασάμενος αὐτὸν ταῦτά φησιν, Οὐκ εἶ μεθεὶς τὰ τόξα ταῦτ' ἐμοὶ πάλιν.

πῦρ· ἐν γὰρ τῇ Λήμνῳ τὰ τοῦ Ἡφαίστου ἐργαστήρια, ἔνθα καὶ κρατῆρές εἰσι πυρός.

988. Ἐκ τῶν σῶν] Λείπει [f] κόλπων.

997. Οὐκ ἀλλ' ὁμοίους] Ἀντὶ τοῦ, οὐ δοῦλον, ἀλλ' ἄριστον· καὶ μετὰ ἀρίστων τὴν Τροίαν δεῖ σε πορθῆσαι· τοῦτο δὲ προτρεπτικόν.

1000. Γῆς] [g] Τῆς Λήμνου.

1001. Κρᾶτ' ἐμὸν τόδ' αὐτίκα] Πρὸς τῇ πέτρᾳ ἐναιμάξω τὴν κεφαλήν μου, ἄνωθεν πεσὼν ἀπὸ πέτρας.

1003. Μὴ 'πὶ τῷδ' ἔστω] Μὴ ἔστω ἐπὶ τῷ Φιλοκτήτῃ ἡ ἐξουσία τοῦ κατακρημνίζεσθαι.

1004. Ὦ χεῖρες] Δεδεμένος [h] φησίν.

1005. Συνθηρώμεναι] Ἁλοῦσαι καὶ συλλαμβανόμεναι.

1006. Ὦ μηδὲν ὑγιές] Ὦ δόλιε [i] Ὀδυσσεῦ.

1014. Ἀφυῆ] Ἄκακον ἀπὸ φύσεως.

1016. Νοεῖς] [k] Διανοῇ.

1017. Προυβάλου] [l] Ἔρριψας.

1018. Ἐν ζῶσιν νεκρόν] Ἤτοι ὅτι κοιμώμενον αὐτὸν [l] εἴασεν, ἢ διὰ τὸ πάθος.

1025. Κλοπῇ] [m] Ἀπάτῃ· καὶ Ὅμηρος·

κλέπτε νόῳ.

Ζυγεὶς δὲ, ὑποταγείς· ὁ δὲ νοῦς· καί τοι σὺ μὲν ἀναγκασθεὶς στρατεύῃ· προσποιούμενον γὰρ αὐτὸν μαίνεσθαι Παλαμήδης [n] ἐξήλεγξεν.

1028. Κεῖνοι δὲ σέ] Ὡς σὺ φὴς, οἱ Ἀτρεῖδαί με ἐξέβαλον· [o] ὡς δὲ φασὶν ἐκεῖνοι, σύ. Σὺ μὲν, φησὶν, ἐκείνους αἰτιᾷ· ἐκεῖνοι δὲ σέ.

1032. Πῶς θεοῖς] Τοῦτο γὰρ προφασισαμένου Ὀδυσσέως, ὅτι [p] θῦσαι οὐκ ἔστι τούτου ἐπιστενάζοντος, ἐξέθηκαν αὐτόν.

1036. Θεοῖσιν εἰ δίκης μέλει] Εἰ φροντίς ἐστι τῆς δίκης τοῖς θεοῖς.

[f] κόλπων ἢ τόπων Br.
[g] Gl. om. R. Br.
[h] ταὐτά φησιν. R. Br.
[i] Post hanc gl. addit Br.: Ἀνάξιον μὲν σοῦ. Ἀνάξιος ἦν, φησὶ, περιπατεῖν μετὰ σοῦ, τοῦ δολεροῦ καὶ σκολιοῦ· ἄξιος δὲ μετ' ἐμοῦ εἶναι, τοῦ οὐκ ὄντος δολεροῦ.
[k] Gl. om. R. Br.
[l] εἴασαν R. Br.
[m] ἀπάτῃ om. R. Homeri locus est Il. α' .132. Mox δὲ om. R. Br.
[n] ἤλεγξεν R. Br.
[o] ὡς σὺ λέγεις. Κεῖνοι δὲ σέ. Οἱ δὲ σὲ φασίν. σὺ μὲν R. Br.
[p] θῦσαι οὐκ ἔστι R. Br.

1039. Κέντρον] [q] Ἐρεθισμός.

1040. Θεοί τ' ἐπόψιοι] Οἱ ἐφορῶντές με δυστυχοῦντα.

1045. Βαρύς τε] [q] Βαρὺς λόγος.

1046. Κοὐχ ὑπείκουσαν κακοῖς] Οὐκ [r] ἀναδυομένην ἐν τοῖς κακοῖς.

1048. Εἴ μοι παρείκοι] Εἰ καιρὸς ἐπιτρέψειέ μοι.

*Ibid.* Νῦν δ' ἑνὸς κρατῶ λόγου] [q] Νῦν δὲ σιωπῶ· οἶδα γὰρ τοῦτο ποιεῖν ὅπου δεῖ.

1049. Οὗ] [q] Ὅπου τοιούτων δεῖ τῶν σιωπώντων.

1050. Κρίσις] Δοκιμασία, ἐξέτασις.

1051. Μᾶλλον εὐσεβῆ] [q] Εὐσεβέστερον.

1052. Χρήζων] γρ. Κρείσσων.

1057. Οὐ [s] μόνος Τεῦκρός ἐστι τοξότης, ἀλλὰ κἀγὼ ὑπολαμβάνω ἐμαυτὸν τούτων ἔμπειρον εἶναι, οὐχ ἧττον σοῦ. Ὅμηρος·

[t] Εὖ μὲν τόξον οἶδα ἐΰξοον ἀμφαφάασθαι.

1059. Τούτων] Τῶν τόξων.

1060. Τί δῆτα σοῦ δεῖ] [u] Τί σου χρεία.

*Ibid.* Χαῖρε τὴν Λῆμνον πατῶν] [w] Ἥδου τῇ διατριβῇ τῆς Λήμνου.

1067. Προσφθεγκτὸς] Προσφωνηθῆναι ἄξιος.

1070. Ἆρα καὶ ὑμεῖς μιμεῖσθε [x] τούτους, καὶ ἀνηλεεῖς γενήσεσθε πρὸς ἐμέ;

1074. Τὸ ἑξῆς· ἀκούσομαι πρὸς τοῦδε, ὡς εἰμὶ οἴκτου μεστός· οἷον, καταγνωσθήσομαι ὡς ἥττων οἴκτου.

1076. Τά τ' ἐκ νεὼς] Τὰ ἐπὶ τῆς νεώς.

*Ibid.* Στείλωσι] Κοσμήσωσιν.

*Ibid.* Ἐν τούτῳ] Ἐν τοσούτῳ.

1080. Ὁρμᾶσθαι ταχεῖς] [y] Λείπει γίνεσθε.

1081. Ὦ κοίλας πέτρας: Ὦ σπήλαιον θερμὸν διὰ τὸν ἥλιον, [z] ἢ διὰ τὸ ψῦχος παγετῶδες. Ἢ οὕτως· ἐν θέρει ψυχρὸν, ἐν δὲ χειμῶνι θερμόν· ἀντὶ τοῦ, ἐπιτήδειον εἰς χειμῶνα καὶ θέρος. Γύαλον δὲ,

[q] Gl. om. R. Br.

[r] ἀναδυομένην οὐκ ἐνδιδοῦσαν Br.

[s] μόνον R. Br.

[t] Od. θ'. 215.

[u] τίς σου R. Br.

[w] ἤγουν R. Br.

[x] τοῦτον R. Br. qui mox εἰς ἐμέ.

[y] γίγνεσθε δηλονότι R. Br.

[z] καὶ Br.

ἀντὶ τοῦ, κεῦθος· κυρίως δὲ γύαλα, τὰ κοῖλα λέγεται· ἀλλ' ἐὰν οὕτως μεταφράσῃς, ἀπίθανον τὸ κοῖλον κοίλωμα· διὸ δὴ τὸ κεῦθος, [a] ἢ ἀντὶ τοῦ τὸ ἄλσος μεταφράζομεν.

1084. Ἀλλά μοι καὶ θνήσκοντι συνοίσῃ: Ἀντὶ τοῦ, καὶ ἀπολλυμένῳ μοι σύμφορον ἔσῃ καὶ ὠφέλιμον, καὶ δέξῃ με ἀποθανόντα. Ἢ οὕτω· σὺν ἐμοὶ ἔσῃ, καὶ ὄψει με ἀποθανόντα. [b] Ὑπερβολικῶς· οἷον, καὶ μετὰ θάνατον συνελεύσῃ μοι, καὶ οὐ καταλείψεις με.

1089. Τί ποτ' αὖ μοι τὸ κατ' ἦμαρ: Τί ἄρα τρόφιμόν μοι καθ' ἡμέραν ἔσται; οὐ γὰρ ἐπικρατῶ ἐμαυτόν· ἢ, οὐ γὰρ ἔτι ἔχω ἐλπίδα.

1091. Σιτονόμου] Σῖτον νέμοντος, τροφέως.

*Ibid.* Πόθεν ἐλπίδος] Ἀπὸ ποίας ἐλπίδος;

1092. Εἴθ' αἰθέρος ἄνω: Τὸ ἑξῆς· εἴθε αἰθέρος ἄνω ἕλωσί με ὀξύτονοι δρομάδες διὰ πνεύματος· τινὲς δὲ οὕτως· μετὰ ὀξυτόνου πνεύματος ἕλωσί με· ὀξύτονον δὲ λέγει πνεῦμα, ἀπὸ τοῦ ὀξυτόνως βοᾶν. γρ. δρομάδες, αἱ καταιγίδες· τινὲς δὲ, πτωχάδες, ἵνα τὰς Ἁρπυίας [c] σημαίνῃ, διὰ τὸ ἀεὶ πεινῆν.

1093. Πτωκάδες: Αἱ Ἅρπυιαι, ἐπιθετικῶς, διὰ τὸ ἐπεμπίπτειν, ἢ διὰ τὴν φωνήν· εἰ δὲ γρ. πτωχάδες, αἱ ἀεὶ πεινῶσαι· τοῦτο γὰρ πάσχουσιν οἱ πτωχοί. [Εἰς τὸ αὐτό.] γρ. [d] πτωμάδες, πτωκάδες, πτωχάδες, πρωτάδες, δρομάδες.

1095. Σύ τοι σύ τοι κατηξίωσας: Σὺ σαυτῷ [e] περιεποίησας τὴν νόσον· σὺ σαυτῷ τούτων πρόξενος γέγονας, ὦ δυστυχέστατε· σὺ σαυτῷ κατηξίωσας, καὶ οὐκ ἀπό τινος ταύτῃ τῇ τύχῃ ἐνέχῃ, ἀπὸ μείζονος σοῦ· διὸ μηδένα ἄλλον αἰτιῶ, ἀλλὰ σαυτόν· ἐξῆν γάρ σοι ἀκολουθήσαντι [f] τὰ κακὰ διαφυγεῖν.

1097. Ἔχῃ] [g] Συνέχῃ.

1099. Εὖτέ γε παρὸν φρονῆσαι: Ὅτε γε παρόντος σοι [h] σωφρονῆσαι τὸ λυσιτελὲς ἀπὸ [i] πλείονος δαίμονος, τὸ κάκιον εἷλου, τὸ μὴ ἐλθεῖν. Πλείονος δὲ δαίμονος λέγει, τοῦ λυσιτελεστέρου καὶ συμφόρου.

[a] ἡμεῖς ἀντὶ τοῦ ἀ. μ. R. ἢ τὸ ἄλσος ἀντιμεταφράζομεν Br.
[b] ὑπερβολικῶς—συνελεύσῃ μοι om. R.
[c] σῃ (μ superscr.) L. σημαίνωσι R. Br.
[d] πτωμάδες om. R. Br.
[e] περιεποιήσω Br.
[f] τὰ om. R.
[g] Post ἐνέχῃ in gl. praecedente R. Br.
[h] σωφρονεῖν R. Br.
[i] λώονος R. Br. hic et infra. λαβεῖν addit Br. post δαίμονος.

1100. Τοῦ λῴονος δαίμονος] Τοῦ συμφέροντος. [Εἰς τὸ αὐτό.] [k] Λείπει ἡ ἀντί.

1103. Λωβατός] Ἐπίπονος.

*Ibid.* Ὅς ἤδη μετ' οὐδενός: Τὸ ἑξῆς· ὃς ἤδη ἐνθάδε ὀλοῦμαι, μετ' οὐδενὸς ὕστερον ἀνδρὸς εἰσοπίσω τάλας ναίων· ὁ δὲ νοῦς· ἆρα ἐγὼ δύστηνος ἐνταῦθα ἀπολοῦμαι ἀνθρώπων κεχωρισμένος;

1108. Οὐ φορβὰν ἔτι προσφέρων: Ἀντὶ τοῦ, προσφερόμενος· ἐνίοτε δὲ ἔμπαλιν φησὶ, διακονούμενος, ἀντὶ τοῦ, διακονῶν, καὶ στιβαδοποιούμενος, ἀντὶ τοῦ, στιβαδοποιῶν.

1111. Ἀλλά μοι ἄσκοπα: Ἀπροσδόκητα, δόλια, ἃ οὐκ ἔστι προσκέψασθαι. γρ. δὲ καὶ ἄψοφα, ἀπὸ τοῦ μὴ ψοφεῖν, ἀντὶ τοῦ, λαθραῖα. [l] Ἀπὸ μεταφορᾶς τῶν κολυμβώντων. Κρυπτὰ δὲ ἔπη φησὶ τὰ τοῦ Ὀδυσσέως. Εἰς τὸ αὐτό. Ἀλλά μοι τὰ ἀφανῆ καὶ κρυπτὰ δολίας φρενὸς ὑπέδυ με· τὸ δὲ ἑξῆς· ἀλλά μοι ὑπέδυ ἄσκοπα κρυπτά τε ἔπη δολερᾶς φρενός.

1113. Ἰδοίμαν δέ νιν: Ὡς κατευχόμενος· γένοιτο [m] δέ μοι τὸν παραίτιον τούτων ἴσον χρόνον δυστυχῆσαι, τῆς ἐμῆς λαχόντα ἀνίας· [n] δύναται δὲ καὶ κατὰ τὸ πληθυντικὸν ἀκούεσθαι, ἐμὰς λαχόντ' ἀνίας· ἀλλὰ τῆς ποιητικωτέρας ἡ τοιαύτη φράσις.

1116. Πότμος σε δαιμόνων: Λείπει ἡ ἐξ· ἐκ θεῶν γὰρ τύχη τις [o] τοῦτο κεκλήρωκεν, καὶ οὐχ ὑπ' ἐμοῦ δεδόλωσαι· κατὰ κοινοῦ τὸ ἔσχεν. Τὸ δὲ ἑξῆς· πότμος σε δαιμόνων τάδ' ἔσχεν· οὐδέ σε δόλος ἔσχεν ὑπὸ χειρὸς [p] ἐμᾶς· ὁ δὲ νοῦς· παῦσαι τῶν καταρῶν τούτων, ὦ Φιλοκτῆτα, μὴ διὰ τούτων κτήσῃ ἡμᾶς ἐχθρούς· θεὸς γὰρ τῆς δυστυχίας ταύτης παραίτιος, οὐχ ἡμεῖς γεγόναμεν, οὔτε δόλῳ ὑπεισελθόντες, οὔτ' [q] ἄλλῳ τινὶ πράγματι.

1120. Ἀρὰν ἀρὰν ἐπ' ἄλλοις: Δεῖ ἀκούεσθαι ἐπὶ τῶν μάτην καταρωμένων· σαυτῷ γὰρ ἐγένου αἴτιος· δεῖ δὲ καὶ οὕτως· καταρῶ τοῖς ἄλλοις, καὶ μὴ ἡμῖν.

1121. Καὶ γὰρ ἐμοὶ τοῦτο μέλει: Μέλει μοι τὸ παραινέσαι σοι, ἵνα μὴ ἀπώσῃ τὴν φιλίαν· οἷον, οὐ θέλω σε [r] ἐχθρὸν ἡμῖν καταστῆσαι· ἢ ὡς παραινοῦντες [t] φασὶ, μὴ ἀπώσῃ τὴν φιλίαν ἡμῶν.

[k] Gl. om. R. Br.

[l] ἀπὸ—κολυμβώντων om. R. Br.

[m] δὴ R. Br. Mox τούτων ὧν πάσχω τὸν ἴσον Br.

[n] δεῖ δὲ καὶ κατὰ πληθ. R. et omisso καὶ Br.

[o] τοῦτό σοι κ. Br.

[p] ἐμῆς Br.

[q] ἄλλο τι πραγματευσάμενοι Br.

[r] Nescio an ἐχθροὺς L. P. E.

[t] φησι R.

1122. Μὴ φιλότητ' ἀπώσῃ] [u] Λείπει ἵνα.

*Ibid.* Φιλότητα] [u] Ἣν ἔχομεν πρὸς σέ.

1125. Γέλᾳ] [u] Ὁ Ὀδυσσεύς.

1126. Τὰν ἐμὰν μελέου τροφάν] [u] Τὰ τόξα φησίν.

1129. Ἐκβεβιασμένον] [u] Ἐξηρπασμένον.

1131. Τὸν Ἡράκλειον ἄθλιον: Ἀντὶ τοῦ, ἐμὲ, τὸν τοῦ Ἡρακλέους διάδοχον· ἢ ἐμὲ, τὸν [w] ἐπὶ τῷ Ἡρακλεῖ ἆθλον ποιήσαντα τὴν πυρὰν, καὶ ὑφάψαντα αὐτήν. [Εἰς τὸ αὐτό.] [u] Ἑαυτὸν φησί.

*Ibid.* Ἄθλιον] γρ. [u] ἆθλον.

1134. Μεταλλαγᾷ] [u] Μεταβολῇ.

1135. Ἐρέσσῃ] [u] Στρέφῃ. Ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐρεσσόντων.

1136. Ὁρῶν] [u] Ἀντὶ τοῦ βλέπων. Σὺ, ὦ τόξον.

1138. Ἀνατέλλοντα] Ἐσόμενα.

*Ibid.* Μυρία] [u] Πλήθη κακῶν.

1140. Ἀνδρός τοι τὸ μὲν εὖ δίκαιον εἰπεῖν: Ἀγαθοῦ ἀνδρός ἐστι, τὸ ἀληθὲς ἐν καιρῷ λέγειν. Δίκαιον γὰρ νῦν φησὶ τὸ ἀληθές. Εὖ δὲ, τὸ ἐν καιρῷ· ὀφείλει δὲ καὶ ὁ ἀκούων μὴ ἐκφαυλίζειν τὰ λεγόμενα. Τοῦτο δὲ φησὶν, ὅτι ὁ μὲν Νεοπτόλεμος τὸ ἀληθὲς εἶπεν, ὁ δὲ Φιλοκτήτης ἐξευτέλισεν. Εἰς τὸ αὐτό. Ἀγαθοῦ μὲν ἀνδρός ἐστι τὸ δίκαιον εἰπεῖν· εἰπόντα δὲ μὴ φθονεῖσθαι· ὅτι οὐκ ἔδει σε τῷ Νεοπτολέμῳ φθονεῖν, εἰπόντι [x] τὸ δίκαιον. Κατὰ κοινοῦ δὲ τὸ δίκαιον. Ἀγαθοῦ ἀνδρός ἐστι τὸ λέγειν τὸ δίκαιον· δίκαιον δὲ καὶ σὲ ὁμολογεῖν, ὅτι εὖ πέπρακται, ἀκούοντα δὲ τούτων, μὴ φθονερόν τι καὶ ὀδυνηρὸν ἐπιφθέγξασθαι.

1141. Μὴ φθονερὰν ἐξῶσαι γλώσσας ὀδύναν] [u] Μὴ πικραίνεσθαι.

1143. Εἷς ἀπὸ πολλῶν] [y] Εἷς ἀπὸ πολλῶν συμμάχων.

1144. Τοῦδε] Τοῦ Ὀδυσσέως.

*Ibid.* Τὸ ἑξῆς· τοῦδ' ἐφημοσύνᾳ ἤνυσεν κοινὰν ἐς φίλους ἀρωγάν.

1146. Ὦ πτηναὶ θῆραι] Ἀντὶ τοῦ, [z] ὦ ἄγραι· ἀγρεύει γὰρ καὶ πτηνά.

*Ibid.* Χαροπῶν] [a] Φοβερῶν.

[u] Gl. om. R. Br.
[w] ἐπὶ om. R. Br.
[x] τὰ δίκαια R. Br.
[y] Simpliciter συμμάχων δηλονότι Br.
[z] ὦ πτηνῶν ἄγραι Br.
[a] Gl. om. R. Br.

1149. Φυγᾷ μ' οὐκέτ' ἀπ' αὐλίων: ἀντὶ τοῦ, οὐκέτι φεύξεσθέ με, οὐκέτι μετὰ φυγῆς καὶ φόβου προσπελάζετέ μοι.

1153. Ἀλλ' ἀνέδην ὅδε χῶρος: Ἐπ' ἐξουσίας ὁ τόπος ὑμῖν οὗτος ἀνεῖται· ἀντὶ τοῦ, ἀδείᾳ ὑπὸ τῶν θηρῶν ὁ τόπος κατασχεθήσεται.

*Ibid.* Ἀνέδην] [a] Ἀνειμένος καὶ ἡπλωμένος.

*Ibid.* Φοβητός] Φόβον ἐμποιῶν.

*Ibid.* Ἐρύκεται] [b] Κατέχεται.

1155. Ἕρπετε] Ἀντὶ τοῦ ἥκετε.

1157. Αἰόλας] Ποικίλης διὰ τὰ τραύματα.

1160. Τίς ὧδ' ἐν αὔραις τρέφεται: Τίς [c] τρέφεται ἐξ ἀνέμων, μηδενὸς τῶν ἐκ γῆς τροφίμων [d] εὐπορῶν;

1161. Κρατύνων] Ἐγκρατὴς ὤν, εὐπορῶν.

1163. Εἴ τι σέβῃ ξένον πέλασσον: Ἑαυτὸν δὲ φησὶν ὁ Χορὸς, ὅτι ἐμοὶ τῷ ξένῳ μετ' εὐνοίας πρόσελθε, ἀντὶ τοῦ, φίλος ἡμῖν γενοῦ.

1165. Ἀλλὰ γνῶθ' εὖ γνῶθι: Οὕτως τινὲς στίζουσιν· ἀλλὰ γνῶθ', εὖ γνῶθι· οἷον, τὰ ὄντα σοι μάνθανε, τὰ περὶ τῆς νόσου. Ὁ δὲ αλλα ἀντὶ τοῦ δέ. [e] Γνῶθι δὲ, ἵν' ᾖ οὕτως· πρὸς θεῶν, εἴ τι σέβῃ ξένον πελάταν, πέλασον πάσῃ εὐνοίᾳ· [f] γνῶθι ὅτι κῆρα τήνδ' ἀποφυγεῖν σοι πάρεστιν, εἰ πεισθείης ἡμῖν, ὅ ἐστι, τὴν νόσον. Οὗτος δὲ ταῦτα λεγόντων συνίησιν, ὅτι παραινοῦσιν αὐτῷ εἰς Ἴλιον ἐλθεῖν· πρὸς ὃ ἀνακράζει, [g] πάλιν πάλιν μοι.

1166. Κῆρα] [h] Τὴν νόσον.

*Ibid.* Ἀποφεύγειν] [h] Λείπει πάρεστιν.

1167. Οἰκτρὰ γὰρ βόσκειν] [h] Χαλεπὴ ἡ νόσος τὸ κατεσθίειν.

*Ibid.* Ἀδαής] Ἀδύνατος ἐνταῦθα, ἢ ἄγνωστος πρὸς τὸ ὀχεῖσθαι.

1169. Πάλιν πάλιν: Πάλιν τῶν τῆς Ἰλίου με τόπων ἀνέμνησας, ἢ τῶν οἰκείων κακῶν. Ὑγιῶς δὲ ἔχει, περιττευούσης τῆς ἐν προθέσεως.

1171. Ὦ λῷστε τῶν πρὶν ἐντόπων: Ὦ βέλτιστε τῶν πλησιασάντων μοι [i] πάλαι, ἢ τῶν περὶ Ὀδυσσέα.

[a] Supra collocant R. Br.
[b] Gl. om. R. Br.
[c] θρέψεται R. Br.
[d] Post εὐπορῶν addit Br. ὑγιῶς δὲ ἔχει, περιττευούσης τῆς ἐν προθέσεως, quæ verba omittit ad v. 1169.
[e] γνῶθι δὲ om. Br.
[f] γνῶθι δὲ ὅτι κῆρα τήνδ', ὅ ἐστι, τὴν περὶ τὸν πόδα νόσον, ἀποφεύγειν σοι Br. qui mox om. ὅ ἐστι τὴν νόσον.
[g] τὸ πάλιν R. Br.
[h] Gl. om. R. Br.
[i] πρὶν R. Br. Mox τὸν Ὀδ. Br.

1171. Ὦ λῷστε] [h]Ὦ βέλτιστε.

1174. Τὰν ἐμοὶ στυγεράν] Λείπει ἡ εἰς· [k]εἰς τὴν μισουμένην μοι.

1176. Κράτιστον] [h] Σύμφορον.

1178. Φίλα μοι] [l]Ἐμοὶ βουλομένῳ, ἡδέως ἀποπλεῦσαι κελεύεις.

1181. Ναὸς ἵν' ἡμῖν τέτακται] Ὅπου ἡμῖν ἀφῖκται ἡ ναῦς· ἐπὶ τῆς ναὸς, ἀντὶ τοῦ, εἰς τὴν ναῦν.

1182. Μὴ πρὸς ἀραίου: Ἀρὰ, ἡ εὐχή· ἀραῖος οὖν, ᾧ πάντες προσευχόμεθα, ἢ ὃν ἐπικαλούμεθα ἀρώμενοι· ὥσπερ δὲ ἱκεσίου λέγουσι, τοῦ τοὺς ἱκέτας ἐποπτεύοντος, οὕτως ἀραίου, τοῦ τοὺς ἀρωμένους ἐπισκοποῦντος.

1183. Ἔλθῃς] Ἀντὶ τοῦ, ἀπέλθῃς.

1184. Μετρίαζε] [m]Ἡσύχαζε.

1189. Τεύξω] [h] Ποιήσω.

*Ibid.* Μετόπιν] Μετὰ ταῦτα, μετόπισθεν.

1190. Ἐπήλυδες] Αὐτόματοι.

1191. Τί πράξοντες ἐναντίᾳ γνώμῃ, ἕτερον παρὰ τὸ πρότερον.

1194. Χειμερίῳ λύπᾳ] Ταραχώδει πάθει, μεταφορικῶς· οὐκ ἔστι, φησὶ, μεμπτὸν τῷ δυστυχοῦντι καὶ παραφθέγγεσθαι.

1197. Τοῦτο γίνωσκε, ὅτι οὐκ ἔρχομαι, οὐδ' εἰ αὐτὸς ὁ Ζεὺς μετέλθοι με ταῖς βρονταῖς, τουτέστιν, οὐδ' εἰ κεραυνοῖ με ὁ Ζεὺς, ἂν μὴ ἔλθω.

1199. Βρονταῖς αὐταῖς] γρ. καὶ αὐγαῖς, ταῖς βροντῶν αὐγαῖς, ταῖς κεραυνίαις· ἔστι μέντοι λαβεῖν καὶ βροντᾶς, ἀντὶ τοῦ, βροντήσας, καθάπερ καὶ ἐν Ὑδροφόροις τὸν Διόνυσον εἶπε Βακχᾶν, ἀντὶ τοῦ, Βακχευτάν.

1202. Ἄρθρον] [n]Μέλος.

1205. Ἢ βελέων τι] Ἀντὶ τοῦ, πέλεκυν, ἢ γενῆδα, ἢ ἀξίνην.

1207. Παλάμην, πρᾶξιν· ὅθεν καὶ παλαμᾶσθαι· ἢ τέχνην.

1209. Φονᾷ] [o]Θανατᾷ, θανάτου ἐπιθυμεῖ.

1215. Ὅς γε σὰν λιπών] Ὅστις ποτε καταλιπών σε ἐπὶ τὸ βοηθεῖν τοῖς Ἕλλησιν, οὐκέτι οὐδὲν εἰμί.

[h] Gl. om. R. Br.
[k] ἵν' ἢ εἰς R. Br.
[l] φίλα μοι R. Br.
[m] Gl. om. R.
[n] Gl. om. R. Br.
[o] θανατοι L. θανατοιᾷ R. θανατιᾷ Br.

1216. Λιβάδα] Τὴν τοῦ ἐπιχωρίου ποταμοῦ.

1218. Ἐντεῦθεν διπλοῦν ἐστι τὸ ἐπεισόδιον.

*Ibid.* Ὁμοῦ] [n]Ἐγγύς.

1219. Στείχων ἂν ἦν σοι] Ἐπορευόμην ἄν. Τὸ δὲ σοι παρέλκει.

1222. Ἥντιν' αὖ παλίντροπος κέλευθον ἕρπεις] Αντὶ τοῦ, εἰς ποῖον τόπον ἀπέρχῃ. Τοῦτο δὲ ὁ Νεοπτόλεμος, ἀποδοῦναι βουλόμενος τὰ τόξα τῷ Φιλοκτήτῃ, ἐπιπλήσσεται ὑπὸ τοῦ Ὀδυσσέως.

*Ibid.* Παλίντροπος: Ἐξ ὑποστροφῆς.

1238. Ἀναπολεῖν] Τὰ αὐτὰ λέγειν· ἀπὸ τῶν δεύτερον [p]ἀναπολούντων τὴν ἠροτριαμένην γῆν.

1252. Ἀλλ' οὐδέ τοι] [q]Ἀλλ' οὐδὲ πεισθήσομαι.

1256. Κοὐ μέλλοντ' ἔτι] [r]Οὐ βραδύνοντα.

1262. Ἀμείψας] Καταλιπών.

1270. Μεταγνῶναι] [r]Μετανοῆσαι.

1272. Ἄτηρος] [s]Βλαβερός· παρὰ τὴν ἄτην.

1273. Ἀλλ' οὔ τι μὴν νῦν] Δόλιος [t]φανοῦμαι.

1275. Μὴ λέξῃς πέρα] Μὴ περαιτέρω εἴπῃς· ὅσα γὰρ ἐὰν εἴπῃς, μάταια λέξεις.

*Ibid.* Πέρα] [r]Περαιτέρω.

1288. Δολούμεθα] Ἀπατώμεθα.

1293. Μαρτύρομαι τοὺς θεούς, ὅτι ὃ ποιῶ, εἰς χάριν καὶ σωτηρίαν ποιῶ τῶν Ἀτρειδῶν.

1298. Οὐκ εἶπεν τὸ [u]θέλῃ, ἵνα μὴ δόξῃ συμψηφίσασθαι αὐτοῦ τῷ βουλεύματι.

1306. Ψευδοκήρυκας] [w]Ψευδοπρεσβευτάς. [Εἰς τὸ αὐτό.] Ψευδῶς κηρυσσομένους, ἐγκωμιαζομένους.

1305. Ἀλλ' οὖν [x]τοσοῦτον: Ἀλλ' οὐ γενναῖον ἄνδρα φονεύσω· πάντες γὰρ οἱ κήρυκες τῶν Ἑλλήνων ἀσθενεῖς εἰσι, καὶ ἡ ἀνδρεία αὐτῶν ἄχρι τοῦ [y]λέγειν.

[n] Gl. om. R. Br.

[p] πολούντων Br. Mox ἠροτριασμένην R. Br.

[q] Gl. om. R. Post πεισθήσομαι addit Br. τῇ σῇ χειρὶ, ἤγουν τῇ δυνάμει, ταῦτα ποιεῖν.

[r] Gl. om. R. Br.

[s] Gl. om. R. Ad h. v. addit Br. πιστὸς ἄτηρος λάθρα] πιστὸς ἐν τοῖς ἔξω λόγοις· κλέπτης δὲ ἐν τοῖς εἴσω.

[t] φανοῦμαι δηλονότι R. Br.

[u] θέλει R.

[w] Gl. om. R.

[x] τοσοῦτ, L. τοσοῦτος R.

[y] λέγειν ἐστιν Br.

1305. Τοὺς πρώτους στρατοῦ] *Τοὺς βασιλεῖς.

1312. Μετὰ ζώντων] *Ἐν ζῶσιν.

1313. Ἤκουσ' ἄριστα] *Καλῶς ἤκουσ'.

1314. Εὐλογοῦντα] *Εὐφημοῦντα.

1316. Πᾶς ἄνθρωπος ἐκ θεοῦ πάσχων, ἀνέγκλητός ἐστιν· ὅσοι δὲ διὰ τὴν ἰδίαν προαίρεσιν [z]δυστυχοῦσιν, ὥσπερ σὺ, οὐδὲ ἐλέους ἄξιοι τυγχάνουσιν.

1321. Σύμβουλον] *Συμβουλίαν.

1325. Γράφου φρενῶν ἔσω] [a]Παρὰ τὸ Ὁμηρικόν·

σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν.

1326. [b]Σὺ, ὦ Φιλοκτῆτα, νοσεῖς ἐκ θείας προνοίας, πλησίον ἀπελθὼν τοῦ ὄφεως, τοῦ φυλάττοντος τὸ ἱερὸν τῆς Ἀθηνᾶς· καὶ οὐκ ἔστιν [c]ἴασις, εἰ μὴ ἐκ τῶν Ἀσκληπιαδῶν.

1327. *Πλησίον ἐλθὼν τοῦ ὄφεως τοῦ τῆς νήσου τῆς Χρυσῆς φύλακος.

*Ibid.* Ἀκαλυφῆ] *Ἀστέγαστον.

1329. Παῦλαν] *Ἀνάπαυσιν, θεραπείαν.

1331. Ταύτῃ μὲν αἴρῃ] Ταύτῃ μὲν ἀνατέλλῃ, ταύτῃ δὲ δύνῃ· ὅ ἐστι, διὰ παντός.

1334. Μαλαχθῇς] *Παύσῃ.

1336. Ὡς] *Ἀντὶ τοῦ ὅπως.

1543. Συγχώρει θέλων] *Σὺν ἡμῖν χώρει ἐθελοντής.

1344. Καλὸν κτῆμα ὠφεληθῆναί [d]σε κλέος κτώμενον ἐκ τῆς πορθήσεως τῆς Ἰλίου, καὶ θεραπευόμενον.

*Ibid.* Ἡ 'πίκτησις: Ἡ κτῆσις τῆς δόξης.

1345. Παιωνίας] *Ἰασίμους, ὑγιαστικὰς, θεραπευτικάς.

1353. Τῷ προσήγορος] *Ἀντὶ τοῦ, τίς με προσαγορεύσει;

1354. Τὰ πάντ' ἰδόντες] Τὰ περὶ ἐμὲ πάθη εἰδότες ἐνιαυτοὶ, τοῦ αἰῶνος χρόνοι.

1355. Ἐξανασχήσεσθε] *Ἀνέξετε.

1357. Πανώλει] Τῷ ἀξίῳ ἀπολωλέναι.

1358. Οὐ λυπεῖ με τὰ φθάσαντα, ἀλλὰ διὰ τὰ μέλλοντα δυ-

* Glossae stellula notatae desunt R. Br.

[z] νοσοῦσιν R. Br.

[a] Gl. om. R. Locus est Il. α'. 297.

[b] σὺ γὰρ Φιλοκτήτη R.

[c] σοὶ ἴασις Br. Mox ὑπὸ τῶν R. Br.

[d] σε κατ' ἀμφότερα Br.

σφορῷ. Οἱ γὰρ ἔχοντες φαύλην τὴν γνώμην, ἀκόλουθα τῷ λογισμῷ διαπράττονται.

1362. Θαυμάσας ἔχω] Θαυμάζω σου [e]καὶ καταγινώσκω σου.

1371. Πατρὸς] *Τοῦ Ποίαντος.

1374. Θεοῖς τε πιστεύσαντα] Διὰ τὴν Ἑλένου μαντείαν.

1377. Τῷδε δυστήνῳ ποδί] *Χωλὸς ὤν.

1378. Ἔμπυον] Δίυγρον διὰ τὸ ἕλκος, πύου πεπληρωμένην, ὅ ἐστι, σήψεως. Ὁ δὲ νοῦς· ἀλλ' [f]οὐ πρὸς ἐκείνους ἄπει, ἀλλὰ [g]πρὸς τοὺθ εραπεύσοντάς σε.

1385. Σοὶ ποῦ φίλος γ' ὤν] *Ὑπὲρ τοῦ σοι συμφέροντος.

1387. Μάνθανε, φησὶ, μὴ ἐν τοῖς κακοῖς ἐπαίρεσθαι.

*Ibid.* Κακοῖς] Λείπει ἡ ἐπι.

1389. Μανθάνειν] *Ἐννοεῖν.

1401. Τεθρήνηται λόγοις] γρ. γόοις. Πολλὰ διὰ Τροίαν πέπονθα, φησίν.

1402. Στείχωμεν] Ἐπὶ τὴν πατρίδα· ἀπατᾷ δὲ, καὶ θέλει ἆξαι εἰς τὴν Τροίαν.

1404. Πῶς, φησὶν, ἀναίτιος γένωμαι τοῖς Ἕλλησι;

1405. Χώραν τὴν ἐμήν] Τὴν Σκῦρον.

1406. Τίνα προσωφέλησιν ἕρξεις] *Ὠφελήσεις.

1411. Ὑπολάμβανε [h]ὁρᾷν τὸν Ἡρακλέα.

1415. Βουλεύματα] *Πεπρωμένα.

1423. Σὺν τῷδ' ἀνδρὶ] *Τῷ Νεοπτολέμῳ.

1425. Ἐκκριθεὶς] *Νομισθείς.

*Ibid.* Πλάκα] *Τὴν πέτραν.

1429. Στρατεύματος] *Ἐξ Ἀχαιικοῦ.

1432. Πρὸς πυρὰν ἐμήν] Τὴν ἐπὶ τῇ Οἴτῃ.

*Ibid.* Ἀντὶ τοῦ, ἐκ τῶν ἀριστείων κἀμὲ τίμησον.

1441. Εὐσεβεῖν τὰ πρὸς θεούς] Αἰνίττεται τοῦτο εἰς Νεοπτόλεμον· ἐν γὰρ τῇ [i]Ἰλίου ἁλώσει ἀπέκτεινε τὸν Πρίαμον, προσφυγόντα τῷ βωμῷ τοῦ [k]Ἑρκίου Διός.

1448. Τίθεμαι] Συγκατατίθεμαι.

[e] ἀντὶ τοῦ κ. Br.
[f] οὐδὲ R. Br.
[g] καὶ R.
[h] φησὶν ὁ. τ. Ἡ. καὶ ἀκούειν τῆς φωνῆς αὐτοῦ Br.
[i] τοῦ Ἰλίου R. Br.
[k] Ἑρκείου Br.

1452. Στείχων χώραν καλέσω] Ἀσπάσομαι ἀναχωρῶν.

1453. Ξύμφρουρον ἐμοί] Τὸ φρουρῆσάν με καὶ φύλαξαν.

1455. Ἄρσην] Ἰσχυρὸς, ἔντονος.

1459. Δύναται πάντα τὰ ὄρη Ἕρμαια καλεῖσθαι, ὅτι νόμιος ὁ θεὸς καὶ ὄρειος ὁ Ἑρμῆς· ἔστι δὲ καὶ Ἕρμαιον οὕτως ἐν Λήμνῳ καλούμενον· ἐμοὶ δὲ, φησὶ, πολλὰ βοῶντι καὶ τὸ Ἕρμαιον ὄρος ἀντεφθέγξατο.

1460. Ἀντίτυπον] Ἀμοιβαῖον, ἀντίμιμον.

1461. [l]Λύκιόν τε ποτόν] Ἢ οὕτω καλουμένη κρήνη ἐν Λήμνῳ Λυκίου Ἀπόλλωνος· ἢ οἷον ἐν ἐρημίᾳ ὑπὸ λύκων πινόμενον.

1463. Δόξης] Τῆς οἰήσεως· ἀντὶ τοῦ, οὐδέποτε τοῦτο οἰηθέντες, οὐδὲ ἐλπίσαντες τελειοῦσθαι, ὥστε ἀπελθεῖν εἰς Τροίαν.

1467. Γνώμη τε φίλων] [m]Ἢ τοῦ Ἡρακλέους, ἢ τοῦ Νεοπτολέμου.

1468. Δαίμων: Τινὲς τὸν [n]Ἡρακλέα, ἔνιοι τὴν Τύχην.

[l] γλύκιόν τε ποτόν. ἢ λύκιον. ἢ οὕτω κ. R. τίνες Λύκιον ποτὸν γράφουσιν· ἔστι δὲ ἢ οὕτω Br.

[m] ἢ om. R. Br. καὶ pro ἢ mox Br. Ἡρακλέα νοοῦσιν Br.

# ΕΙΣ ΤΗΝ ΗΛΕΚΤΡΑΝ.

᾿ΑΠΕΙΡΟΚΑΛΟΝ τὸ λέγειν, ὅτι ὃν τρόπον τὰ κατὰ μέρος τῆς Ἰθάκης ἡ Ἀθηνᾶ ἔδειξε τῷ Ὀδυσσεῖ, οὕτως ἔδει καὶ τὸν παιδαγωγὸν τῷ Ὀρέστῃ δεῖξαι· τῷ μὲν γὰρ ἀγνοοῦντι δείκνυσιν ὁ παιδαγωγός· τῷ δὲ ἀπιστοῦντι, ἡ Ἀθηνᾶ. Ἅπαντα δὲ ἡμῖν φιλοτέχνως ἐν βραχεῖ δεδήλωκεν ὁ ποιητής· τὸν τόπον τῆς σκηνῆς· τὸν τρόπον ὡς παρέλαβεν αὐτὸν παρὰ τῆς ἀδελφῆς, καὶ πρὸς τὸν Στρόφιον ἐξέθετο· τὸν καιρὸν ἐν ᾧ πάρεισιν εἰς τὰς Μυκήνας· τὸν συνόντα, ὅτι Πυλάδης· φησὶ γὰρ ὑποκατιὼν,

Πυλάδη, τί χρὴ δρᾷν ἐν τάχει βουλευτέον.

1. Ὦ τοῦ στρατηγήσαντος: Πολλάκις παρατηροῦμεν, ὅτι οἱ παλαιοὶ τὰ συνεκτικὰ τῶν ὑποθέσεων ἐν ἀρχαῖς ἡμῖν δηλοῦσιν· καὶ νῦν δηλοῖ πρὸς τίνα ὁ λόγος, ὅπερ ἦν ἀναγκαῖον πρόσωπον.

*Ibid.* Στρατηγήσαντος] γρ. [a]τυραννήσαντος.

3. Προσοχὴν ὁ λόγος ἀπεργάζεται, σκοπούντων ἡμῶν, τί δήποτε προθυμεῖται τὴν πόλιν ἰδεῖν.

4. Τὸ γὰρ παλαιὸν Ἄργος: Ἄργος ὁμωνύμως τῇ χώρᾳ. Ὡς Ὅμηρος,

Ἄργος τε Σπάρτη τε.

Παλαιὸν δὲ, ἢ ὅτι Ἄργος ὁ προπάτωρ αὐτῶν γηγενὴς ἦν, ἢ ὅτι καὶ αὐτοὶ πρωτογενεῖς ἀντιποιοῦνται εἶναι· [b]ὅτι δέ ἐστι καὶ τὸ περὶ τοῦ πυρὸς μέχρι τοῦ νῦν δεικνύμενον καὶ λεγόμενον, ὡς ἀπ᾿ οὐρανοῦ πρῶτον ἐκεῖσε κατηνέχθη. [Εἰς τὸ αὐτό.] [c]Ὅμηρος χωρίζει τὸ Ἄργος καὶ τὴν Μυκήνην· οἱ δὲ νεώτεροι τὴν αὐτὴν Μυκήνην καὶ Ἄργος φασίν.

6. Αὕτη δ᾿, Ὀρέστα, τοῦ λυκοκτόνου: Οὐκ ἀπ᾿ ἄλλου τινὸς ποιεῖται τὴν δεῖξιν, ἢ ἀπὸ τοῦ ἱεροῦ τοῦ Ἀπόλλωνος, ὅπερ ἀρχαιότατόν

[a] Gl. om. R. Br.

[b] ἔστι δὲ ἔτι καὶ R. Br.

[c] Sequentia in principio praecedentis gl. R. Br. Locum Homeri, qui est Il. δ΄. 52., additis verbis καὶ εὐρυάγυια Μυκήνη post καὶ τὴν Μυκήνην inserit Br.

[d]ἔστιν κατὰ τὴν ἐν τῷ Ἄργει ἀγορὰν, ἐν ᾧ καὶ πῦρ ἀπόκειται, περὶ οὗ πρόσθεν εἰρήκαμεν· ἔστι δὲ καταντικρὺ τοῦ [e]Νεμαίου Διός. Παραγενόμενοι οὖν εἰς Ἄργος, ὁ τροφεὺς δείκνυσιν αὐτῷ [f]τὴν πόλιν, λέγων, ἔστιν οὐκ ἄπωθεν τῶν Μυκηνῶν, ἀλλ' ἐξ ἀπόπτου φαίνεται, καὶ τὸν ναὸν τῆς Ἥρας ἐξ ἀριστερᾶς ὄντα Μυκηνῶν τοῖς ἀπὸ Κορίνθου εἰσιοῦσι. Λυκοκτόνον δὲ τὸν Ἀπόλλωνα, οἱ μὲν διὰ τὸ νόμιον εἶναι [g]τοὺς ἐπιβούλους αὐτῶν φονεύειν· διὸ καὶ λύκους αὐτῷ [h]φασὶ θύεσθαι ἐν Ἄργει· οἱ δὲ διὰ τὸ ἱερὸν εἶναι [i]τὸ ζῶον, ὡς καὶ τῆς Ἀρτέμιδος τὰς ἐλάφους· ὅθεν καὶ τῷ νομίσματι τῶν Ἀργείων ἐγχαράττεσθαι φασὶ [k]λύκον, ὡς καὶ τὰς γλαῦκας Ἀθήναζε.

7. Οὗξ ἀριστερᾶς: Ἔστι γὰρ ἐξ ἀριστερᾶς τῶν Μυκηνῶν τοῖς ἀπὸ Κορίνθου εἰσιοῦσιν Ἥρας ναός· ἐκ Φωκίδος δὲ παραγενόμενοι, διὰ Κορίνθου πεποίηνται τὴν ὁδόν.

9. Τὰς πολυχρύσους] Ὅμηρος·

[l]πολυχρύσοιο Μυκήνης.

10. Πολύφθορον] Ἐν ᾧ πολλαὶ φθοραὶ καὶ φόνοι ἐγένοντο.

13. [m]Ἤνεγκα] Ἐκ τούτου τὴν ἡλικίαν τοῦ νέου σημαίνει. [Εἰς τὸ αὐτό.] Τὸ ἤνεγκα τὸ βραχὺ τῆς ἡλικίας δηλοῖ, ὡς περὶ παιδαρίου [n]οὔτι βαδίσαι δυναμένου.

19. Μέλαινά τ' ἄστρων: Ἐχρῆν οὕτως εἰπεῖν· μελαίνης νυκτὸς τὰ ἄστρα ἐκλέλοιπεν· ὡς τὸ,

[o]ὁ δὲ χασσάμενος πελεμίχθη.

Ἢ οὕτως· ἐκλέλοιπε τῶν ἄστρων ἡ μέλαινα εὐφρόνη· ἵν' ᾖ [p]τὸ ἄστρων πρὸς τὸ ἐκλέλοιπεν.

22. Ἀκμή: Σπουδή. Πιθανῶς δὲ ἐγείρει τὸν ἀκροατὴν προσέχειν τοῖς ἔργοις, ἃ ταχέως συμβουλεύει τελεσθῆναι.

23. Διδάσκει ἡμᾶς μεθ' οἵων ἀνδρῶν δεῖ τὰ ἀπόρρητα ποιεῖν καὶ λέγειν.

24. Ἐσθλὸς εἰς ἡμᾶς γεγώς] [q]Τοῦ εἶναι πιστὸς εἰς ἡμᾶς.

[d] ἔστιν om. R. Br. Mox τὸ πῦρ Br.
[e] Νεμείου Br.
[f] τὰ ἐν Ἄργει, λέγων R. Br.
[g] τὸν θεὸν καὶ τοὺς ἐπιβούλους τῶν ποιμνίων φονεύειν Br.
[h] φησι R. L.
[i] αὐτοῦ τὸ ζ. Br.
[k] λύκους R. Br. Iidem mox Ἀθήνησι.
[l] Il. η'. 180.
[m] Usque ad ἤνεγκα om. R. Br.
[n] οὔπω R. Br.
[o] Il. ε'. 726.
[p] τ L.
[q] Sic L. τὸ R. τοῦ εἶναί σε πιστὸν Br.

26. Ἐν τοῖσι δεινοῖς] Ἐν τοῖς πολέμοις.

28. Ἔπῃ] . . . [r] ἔσῃ διὰ τὴν ἀπὸ τοῦ γήρως εὐβουλίαν.

31. Εἰ μή τι καιροῦ τυγχάνω: Εἴ τι σοι δοκῶ μὴ καλῶς βεβουλεῦσθαι, μεθάρμοσον, ὅ ἐστιν, ἐπανόρθωσον· ἔστι δὲ ἀγάσασθαι τὸν νεανίσκον, ὅτι μὴ πάνυ αὐθέκαστος φαίνεται.

32. Διὰ τῆς διηγήσεως ταύτης τὸ λεῖπον τῆς ἱστορίας προσανεπλήρωσεν ἡμῖν.

35. Χρῇ] [s] Μαντεύεται.

36. Ἄσκευον αὐτόν] Ἢ αὐτὸν τὸν Αἴγισθον ἀπαρασκεύαστον ὄντα, ἢ τὸν Ὀρέστην· οἷον, μὴ μετὰ πολέμου ἐπεμβῆναι.

39. Ὅταν σε καιρὸς εἰσάγῃ] [s] Ὅταν σε ὁ καιρὸς καλῇ.

40. Ἴσθι πᾶν τὸ δρώμενον] Περιέργασαι τὰ πραττόμενα [t] πάντα.

42. Οὐ γάρ σε μή] Τοῦ πιθανοῦ [u] χάριν.

*Ibid.* [s] Τὸ μὴ Ἀττικῶς πλεονάζει.

*Ibid.* Οὐ γάρ σε μὴ χρόνῳ: [w] Τινὲς τὸ ἠνθισμένον ἐπὶ τῆς κεφαλῆς ἤκουσαν, οἷον, ταῖς πολιαῖς ἠνθισμένον· τοῦτο δὲ ἀπίθανον· ἐγνώσθη γὰρ ἄν, εἰ καὶ τοσοῦτον ἤλλαξεν τὴν κεφαλήν. Δοκεῖ οὖν μοι τὸ ἠνθισμένον ἀντὶ τοῦ ἠσκημένον· οὐ μὴ οὖν σε ἐπιγνῶσι τοιαῦτα πλαττόμενον· εἰ δὲ τὸ ἠνθισμένον ἐπὶ ἡλικίας δεξαίμεθα, ἔστιν οὐκ ἐπὶ τῶν τριχῶν, ἀλλ' ἐπὶ παντὸς τοῦ σώματος.

45. Φωκεύς: Τὸν Φωκέα [x] προθεὶς, ἐπήνεγκεν Φανοτέα, ἀπὸ τοῦ ὅλου εἰς τὸ μερικὸν καταβαίνων, ὁμοίως τῷ,

> [y] Ἡ δ' ἐς Κύπρον ἵκανε φιλομμειδὴς Ἀφροδίτη,
> ἐς Πάφον.

Ἐλέγοντο γὰρ ὁλοσχερέστερον μὲν Φωκεῖς, ἐπὶ μέρος δὲ Κρισαῖοι, Φανοτεῖς· [z] τινὲς δὲ ὄνομα φασὶ τὸ Φανοτέως.

46. Δορυξένων: Ἀντὶ τοῦ, φίλων· κυρίως δὲ οἱ ἐν πολέμῳ γινόμενοι φίλοι, ὡς Γλαῦκος καὶ Διομήδης.

47. Ἄγγελλε δ' ὅρκῳ: Μὴ σμικρολόγως τις ἐπιλάβηται, ὡς κελεύοντος ἐπιορκεῖν τοῦ ποιητοῦ· δεῖ γὰρ αὐτὸν πείθεσθαι τῷ θεῷ, τὸ πᾶν δόλῳ πράσσειν παρακελευομένῳ, ὥστε ἐν οἷς δοκεῖ [a] ἐπιορκεῖν

[r] Δι ἔσῃ διὰ τὴν L. ἀκολουθεῖς. διὰ τὴν Br. ἔσῃ. ἀκολουθεῖς· διὰ R.
[s] Gl. om. R. Br.
[t] πάντα om. R. Br.
[u] χάριν οὕτως εἶπε R. Br.
[w] ἠνθισμένον. τινες ἐπὶ R. Br.
[x] προσθεὶς L. R.
[y] Od. θ'. 326.
[z] πόλεως δὲ ὄνομα R. Br.
[a] ἐπιορκῶν R. Br.

δυσσεβεῖν, διὰ τούτων εὐσεβεῖ, πειθόμενος τῷ θεῷ. Ἔχει δὲ ἀξιοπιστίαν ὁ λόγος, ὡς ἐν Φωκίδι τρεφόμενον καταβῆναι [b] ἐν τῇ Πυθίᾳ· ἀνῆκται δὲ τοῖς χρόνοις· ἐπὶ Τριπτολέμου γὰρ φασὶ γενέσθαι Πυθικὸν ἀγῶνα, ἑξακοσίοις [c] ἔτεσι πρότερον.

48. Ἐξ ἀναγκαίας τύχης: Βιαίως, οἷον ἀναγκαστῷ μόρῳ, καὶ οὐκ ἐκ ταυτομάτου, ἐκ βίας, ἐκ [d] συντυχίας, οὐκ ἰδίῳ θανάτῳ.

49. Τοῖς χρόνοις ἀνῆκται· νεώτερος γὰρ Ὀρέστου ἐστὶν ὁ Πυθικὸς [e] ἀγών.

50. Ὧδ' ὁ μῦθος ἑστάτω: Ἡ ἔκβασις τοῦ λόγου, ἢ τὸ κεφάλαιον. Πιθανὸν δὲ τὸ ἐν Φωκίδι ἀνατρεφόμενον τὰ Πύθια ἀγωνίζεσθαι.

*Ibid.* Ἑστάτω] Δεδόχθω.

51. Ὡς ἐφίετο] [f] Ὁ Ἀπόλλων δηλονότι, ὡς ἐκέλευσεν.

52. Λοιβαῖσι πρῶτον καὶ καρατόμοις: [g] Καὶ τοῖς ἀπὸ κρατὸς τετμημένοις βοστρύχοις· λέγοι δ' ἂν χλιδὰς, ἤτοι καθόλου τοὺς πλοκάμους, οἵ εἰσι τρυφὴ τῆς κεφαλῆς· ἢ παρ' ὅσον τρυφὴ καὶ κόσμος ἀπετίθεντο τοῖς νεκροῖς οἱ πλόκαμοι ἐν τῷ τάφῳ.

54. Τύπωμα χαλκόπλευρον] Τὴν ὑδρίαν, ἐν ᾗ δῆθεν τὰ δοκοῦντα εἶναι ὀστέα Ὀρέστου ἀπέκειτο.

*Ibid.* Τύπωμα] [h] Ἄγγος.

56. Κλέπτοντες] Ἀπατῶντες, παραλογιζόμενοι. Ὅμηρος·

[i] Κλέπτε νόῳ.

62. Ἤδη γὰρ εἶδον πολλάκις: Πυθαγόρας καθείρξας ἑαυτὸν ἐν ὑπογείῳ, λογοποιεῖν ἐκέλευσε τὴν μητέρα ὡς [k] ἄρα τεθνηκὼς εἴη· καὶ μετὰ ταῦτα ἐπιφανεὶς, περὶ παλιγγενεσίας καὶ τῶν καθ' Ἅιδου τινὰ ἐτερατεύετο, διηγούμενος πρὸς τοὺς ζῶντας περὶ τῶν οἰκείων, οἷς ἐν Ἅιδου συντετυχηκέναι ἔλεγεν· ἐξ ὧν τοιαύτην ἑαυτῷ δόξαν περιέθηκεν, ὡς πρὸ μὲν τῶν Τρωϊκῶν Αἰθαλίδης [l] ὢν ὁ Ἑρμοῦ, εἶτα Εὐφορ-

[b] ἐς τὰ Πύθια R. Br.
[c] ἔτεσιν ὕστερον R. Br.
[d] συντυχίας (δυσ superscr.) L.
[e] Post h. v. inserit Br. πιθανὸν—ἀγωνίζεσθαι e schol. seq.
[f] ὡς ἐκέλευσεν ὁ Ἀπόλλων δηλ. Br. ἐκέλευεν R.
[g] καὶ om. R. Br.
[h] In gl. praeced. R. Br.
[i] Gl. om. R. Br.
[k] MS. ὡς ἄρα τεθνηκὼς ἔοι. Ed. Rom. ὡς τεθνηκὼς εἴη, omisso ἄρα, cujus notam tachygraphicam non intellexit scriba, cujus apographo usus est editor Romanus. Ejusdem particulae ob eandem caussam omissae alterum exemplum praebet Bastius p. 798. P. E.
[l] ἦν R. Br. Mox Ἑρμότιμος ὁ Σάμιος Br.

βος, εἶτα Ἑρμότιμος, εἶτα [m]Πύθιος ὁ Δήλιος, εἶτα ἐπὶ πᾶσι Πυθαγόρας. Εἰς τοῦτο οὖν [n]ἔοικεν ἀποτείνεσθαι ὁ Σοφοκλῆς· ἔνιοι δὲ οἴονται ἀπιθάνως εἰς Ὀδυσσέα ἀποτείνεσθαι· [o]οὐ γὰρ πέπρακταί τι τοιοῦτον Ὀδυσσεῖ· ἐφυλάξατο δὲ ὀνομάσαι τὸν ἄνδρα. [p]Καὶ μὴ τῶν θαυμαστῶν εἶναι δόξῃ, ἐν τραγῳδίᾳ καὶ μύθῳ παλαιῷ [q]τετολμηκέναι τι κακόηθες εἰπεῖν, καὶ προσκρουστικὸν εἰς τοὺς καθ᾽ ἑαυτὸν, ὃ μᾶλλον ἥρμοζε κωμῳδίᾳ.

68. Δέξασθέ μ᾽ εὐτυχοῦντα: Ἐπ᾽ εὐτυχίᾳ με δέξασθε, ὥστε ταύτας τὰς ὁδοὺς τελεσθῆναι. [[r]Εἰς τὸ αὐτό.] Εὐτυχῶς ἐπιχειροῦντα ταῖς μηχαναῖς.

70. Δίκῃ καθαρτής: [s]Τὰ εἰς της, ἔχοντα τὴν παρατέλευτον εἰς ἀμετάβολον λήγουσαν, ἀπρόσληπτα ὄντα τοῦ σ κατὰ τὴν γενικὴν, βαρύνονται, εἰ μὴ εἴη μετοχικὰ, ὑφάντης, ἀγύρτης, Εὐφράτης· τὸ δὲ ἑκοντὴς καὶ ἐθελοντὴς, μετοχικά· παρὰ δὲ Ἀττικοῖς ὀξύνεται τό τε καθαρτὴς, καὶ ἀμυντὴς ἐπὶ τοῦ βοηθοῦ, φαιδρυντὴς, ποικιλτὴς, ψαλτὴς, πραϋντής.

72. Ἀρχέπλουτον] Ἄρχοντα πλούτου, καὶ τὴν ἀρχαίαν τύχην ἀποληψόμενον.

75. Νὼ δ᾽ ἔξιμεν] Ἐξιέναι βούλονται, διὰ τὴν εἴσοδον τοῦ Χοροῦ.

*Ibid.* Καιρὸς γὰρ ὅσπερ ἀνδράσιν: Ἐφ᾽ ἑκάστου πράγματος τὸ καίριον καὶ χρησιμώτατον ὁ καιρός ἐστιν· ὅπου καὶ τὰ σπουδαῖα παρὰ καιρὸν γινόμενα οὐκ ἀποδέχονται, ὡς ἰατρὸν τῷ κάμνοντι περὶ τῆς φύσεως τοῦ νοσήματος διαλεγόμενον, ὡς εἴ τις τοῖς μεθύουσι περὶ σωφροσύνης διαλέγοιτο.

78. Καὶ μὴν θυρῶν ἔδοξα: [t]Θαυμαστῶς ὁ γέρων οὐκ ἐπιβέβηκεν τῷ ἀληθεῖ· . . . . [u]δὲ ἀποστῆσαι βουλόμενος τὸν Ὀρέστην, προσπόλων τινὸς φησίν. [Εἰς τὸ αὐτό.] [w]Τὸ ἑξῆς· ἔνδον θυρῶν.

80. Ἆρ᾽ ἔστιν ἡ δύστηνος: Ὑπὸ νεότητος Ὀρέστης παράγεται φιλοπευστεῖν· ὁ δὲ πρεσβύτης τὸ χρήσιμον σκοπεῖν ἀναγκάζει.

81. [x]Ἀνακούσωμεν] Ἐπακούσωμεν.

[m] Πύρρος Br.
[n] ἀποτείνεσθαι ἔοικεν Br.
[o] οὕτως L.
[p] μὴ καὶ Br.
[q] τετόλμηκε R. Br. τετολμηκ. . . τι (sine acc.) L. litera antep. legi non potuit. P. E.
[r] ἢ οὕτως. δέξασθέ μ᾽ εὐτυχοῦντα καὶ εὐτ. R. Br. qui mox ταύταις ταῖς.
[s] Gl. om. R. Br.
[t] θαυμαστῶς δὲ R. Br.
[w] In gl. praeced. R. Br.
[u] τ| δε (sine acc. L. ἀλλ᾽ ἀποστῆσαι R. Br.
[x] ἀνακούσομεν. ἐπακούσομεν R. Br.

82. Μηδὲν πρόσθεν: Ἅμα μὲν εἰς τὸ χρήσιμον συμβουλεύει πείθεσθαι τῷ θεῷ· ἅμα δὲ καὶ πρὸς τὴν ὑπόθεσιν· διελύθη γὰρ ἂν τὸ πᾶν, ἐξαρχῆς μηνυθέντος Ὀρέστου.

86. Ὦ φάος ἁγνόν: Ὀλόφυρσίς ἐστι τῆς Ἠλέκτρας ἐν ταῖς μονῳδίαις, ὅπερ σύνηθες τοῖς τραγικοῖς, κινητικὸν τοῦ πένθους. Τοῦτο δὲ τὸ πρόσωπον εὔνουν ἐστὶ τῷ ἀποθανόντι· ἐπεὶ δὲ ἀηθές ἐστι πρὸς τοὺς θεατὰς, ἢ πρὸς ἑαυτὴν ταῦτα διαλέγεσθαι, ὡς ἀπομεμφομένη τοῖς θεοῖς, ἢ μάρτυρας τῶν θρήνων καλοῦσα, πρὸς τὰ στοιχεῖα ποιεῖται τὸν λόγον· καὶ οὕτως ἡμῖν δηλωθήσεται, ὅπως διέκειτο ἐπὶ τῷ συμβάντι κατὰ τὸν πατέρα. Ἰσόμοιρον δὲ φησὶν εἶναι τὴν γῆν τῷ ἀέρι, παρ' ὅσον παρατείνειν ἀλλήλοις τὰ στοιχεῖα πρέπει· καὶ τοῖς φιλοσόφοις ἴσος δοκεῖ εἶναι κατὰ [y] τὴν ἀνάλυσιν ὁ ἀὴρ τῇ γῇ· συνέστραπται γὰρ ἡ γῆ· εἰ δὲ [z] διαλυθῇ, ἰσωθήσεται αὐτῷ· οὕτως ἔχει καὶ τὸ Ἡσιόδειον·

> [a] Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ
> Οὐρανόν.

Ἰσόμοιρον δὲ γῆς ἀέρα, τὸν σκότον φησὶν, ἵνα τὸ φάος ἁγνὸν ἀντιδιαστέλληται. Καὶ γῆς φησὶν ἰσόμοιρος ἀὴρ, ἴσην μοῖραν [b] ἔχον τῇ γῇ· πανταχοῦ γάρ ἐστιν ἀήρ· ἢ ὅτι γῆ καὶ ἀὴρ στοιχεῖα· ἰσότιμα γὰρ τὰ τέσσαρα στοιχεῖα ἀλλήλοις· τινὲς δὲ, ὅτι μέση ἀέρος ἐστὶν ἡ γῆ, διὰ τὰ ἀπὸ κέντρου διαστήματα· ἰσόμοιρος οὖν, διὰ τὸ ἴσον ἀπέχειν πανταχόθεν τῆς γῆς· καὶ ταῦτα δὲ Φερεκράτης παρῴδηκεν. Τὸ δὲ ἀὴρ τὸ ᾱ συνέστειλεν διὰ ῥυθμὸν ἢ μέτρον.

87. Ὥς μοι πολλὰς μὲν θρήνων: Ὦ φάος ἁγνὸν, ὅσα μοι σύνοιδας θρηνούσῃ καὶ κοπτομένῃ· τὸ δὲ κατάλληλον οὕτως· ὡς πολλὰς μὲν ᾠδὰς ᾔσθου, πολλὰς δὲ πληγὰς αἱμασσομένων τῶν στέρνων. Πληγὰς ἀντήρεις· τραγικώτερον δέ πως ἀπήγγελται, ὥστε τὴν διάλυσιν αὐτῶν μὴ πάνυ πολιτικὴν εἶναι· μετῆκται δὲ ἀπὸ τῶν ἐρεσσόντων· οἷον, πληγὰς κατὰ τὸ ἐναντίον τῶν στέρνων ἐλαυνομένας.

89. Ἀντήρεις: Ἀντιθέτους, ἀντὶ τοῦ, ἴσας τοῖς θρήνοις. Μετῆκται ἀπὸ τῶν ἐρεσσόντων, ὅταν κατ' ἴσον ἐρέσσωσιν, καὶ μὴ εἰς θάτερον [c] περιωθεῖται ἡ ναῦς· ἀντήρεις οὖν, ἀντικτυπούσας τοῖς θρήνοις· θρηνοῦσα γὰρ ἔτυπτε τὸ στῆθος πρὸς ἕκαστον.

[y] τὴν om. R. Br. Mox τῆς γῆς L.
[z] διαλυθείη Br.
[a] Theog. 126.
[b] ἔχων R. Br.
[c] περιωθῆται Br.

89. Ηἴσθου] Ἀντὶ τοῦ ἔμαθες.

90. Αἱμασσομένων] Διὰ τούτων ἡ ἐπίτασις.

91. Ὁπόταν δνοφερά: Ὅσα μὲν, φησὶ, διὰ νυκτὸς κλαίω, αἱ εὐναὶ ἴσασιν· ὅσα δὲ δι' ἡμέρας, ὁ ἀὴρ καὶ τὸ φῶς· λέγει δὲ, ὅτι οὐ διαλείπω οὔτε νυκτὸς, οὔτε ἡμέρας κλαίουσα.

*Ibid.* Ὑπολειφθῇ] Παρέλθῃ.

94. Ὅσα τὸν δύστηνον: Κατὰ βραχὺ ἐνδείκνυσι τὰ τῆς ὑποθέσεως· ἰδοὺ γὰρ ἔγνωμεν ὅτι ἀδελφὴ τοῦ Ὀρέστου, καὶ διὰ τί θρηνεῖ.

95. Ὃν κατὰ μὲν βάρβαρον: Παρὰ τὸ ὑπὸ Ἀγαμέμνονος ἐν τῇ [d] Νεκυίᾳ·

Οὔτε μ' ἀνάρσιοι ἄνδρες—

καὶ τὰ ἑξῆς· πάνυ δὲ περιπαθὴς ὁ λόγος, εἰ καὶ πολεμίων πικροτέρα ἐφάνη Κλυταιμνήστρα τῷ ἰδίῳ ἀνδρί· πάνυ γὰρ περιπαθὲς τὸ ἐπὶ τηλικούτου καὶ τοσαῦτα διαπραξαμένου [e] τὸ εἰπεῖν,

ὅπως δρῦν ὑλοτόμοι.

Οὐκ ἐξένισεν δὲ, ἀντὶ τοῦ οὐκ ἀπέκτεινεν· ξένια γὰρ [f] Ἄρεως, τραύματα [καὶ] φόνοι. Καὶ Ἀρχίλοχος·

[g] Ξένια δυσμενέεσσι λυγρὰ χαριζόμενοι.

[Εἰς τὸ αὐτό.] [h] Πανὺ περιπαθῶς πικροτέραν γενέσθαι τῷ Ἀγαμέμνονι καὶ πολέμου καὶ ἀλλοδαπῆς τὴν Κλυταιμνήστραν.

101. Ἣ 'μοῦ φέρεται: Εἰ δὲ καὶ τὰ τῆς Χρυσοθέμιδος παράκειται, αὕτη γε διὰ τὸ πάνυ ἀλγεῖν οὐδένα κατ' ἀξίαν φροντίζειν τῶν γεγονότων οἴεται, ἢ μόνην αὑτήν.

102. Ἀδίκως οἰκτρῶς [τε]: Ἔν τισιν ὑπόκειται ἀντὶ τοῦ ἀδικῶς, [i] ἀεικῶς. Καὶ οἰκτρῶς μὲν, διὰ τὸ βίᾳ καὶ ἐπιβουλευθέντα· [i] ἀεικῶς δὲ, ὅτι πελέκει αὐτὸν μεθ' ὕβρεως ἐτίσατο.

103. Ἀλλ' οὐ μὲν δὴ λήξω: Ὁ νοῦς· ἀλλ' οὐ λήξω θρήνων, οὔτε ἡμέρας οὔτε νυκτὸς ὀδυρομένη, ἕως ἂν νύκτα καὶ φῶς βλέπω, ὥστε μὴ ἀηδόνος τρόπῳ ἠχώ τινα προπέμπειν τῶν θρήνων πρὸ τῶν πατρῴων θυρῶν.

108. Ἐπὶ κωκυτῷ] [k] Τὴν ἐπὶ κωκυτῷ ἠχὼ, τουτέστι, θρηνητικήν.

111. Πότνι' ἀρὰ] [k] γρ. ποινία ἀρά.

[d] νεκύα L. Scil. Od. λ'. 407.
[e] τὸ om. Br.
[f] Ἄρεος R. Br.
[g] ξείνια Br.
[h] Gl. om. R. Br.
[i] ἀϊκῶς Br.
[k] Gl. om. R. Br. κωκυτῶν L. pr.

112. Σεμναὶ] Εὐφήμως, ὡς καὶ τὸ Εὐμενίδες.

119. Μούνη γὰρ ἄγειν: Ἢ τὸ καταβαροῦν καὶ καταφερόμενον, ὃ φέρειν οὐ δύναμαι· ἢ ἐπὶ τοῦ Ὀρέστου ἀκούειν δεῖ. Οὕτως τὸ ἀντίρροπον, ὅπερ ἂν εἶχεν ἐκεῖνος φέρειν παρὼν, ὥστε κοινῇ ἡμᾶς αὐτὸ φέρειν· μόνη γὰρ φέρειν οὐκέτι ἰσχύω.

*Ibid.* Σωκῶ] [l] Ἀντὶ τοῦ ἰσχύω· οἱ δὲ νεώτεροι, ἀντὶ τοῦ σώζω.

121. Πάροδός ἐστι Χοροῦ γυναικῶν, τῇ Ἠλέκτρᾳ συναχθομένων. Δυστανοτάτας δὲ, τῆς [m] ἐξωλεστάτης· οὐ γὰρ ἐπὶ οἴκτου ἐστὶν ὁ λόγος.

122. Τίν' ἀεὶ τάκεις] Ἀντὶ τοῦ, διὰ τί τήκῃ τῇ ἀκορέστῳ οἰμωγῇ.

124. Ἀθεωτάτας] [n] Ἀσεβοῦς.

125. Ματρὸς ἁλόντ' ἀπάταις] [q] Μητρὸς ἁλόντα πληγαῖς.

126. Ὡς ὁ [o] τάδε πορὼν] Λίαν αἰδήμων ὁ Χορὸς, [p] ὃς ἐπὶ τὸν Αἴγισθον τρέπει τὴν αἰτίαν· καὶ γυναικῶν ἐστιν ἴδιον, τὸ μηδὲ ἐπὶ τοῖς προφανέσιν ἁμαρτήμασιν καταλέγειν ἄλλης γυναικός· καὶ τὸ, εἴ μοι θέμις τάδ' αὐδᾶν, λίαν ἠθικὸν καὶ ἁρμόζον γυναιξίν.

128. Ἐπεὶ κατ' ἀρχόντων ἦν ὁ λόγος, ἢ ἐπεὶ δοκεῖ δυσφημεῖν, φησίν· εἰ δίκαιόν ἐστιν, οὕτως εὔχομαι.

129. Ὦ γένεθλα] Ὦ παῖδες τῶν εὐγενῶν Μυκηναίων.

130. Ἥκετ' ἐμῶν καμάτων: Οἶδα, φησὶν, ἃ πράττω, καὶ οὐ λανθάνει με, ὅτι ὑπὲρ τὸ δέον ποιῶ· ἢ οἶδα ὅτι μοι εὐνοεῖτε, ἵνα συνάπτῃ τῷ προκειμένῳ, ἥκετ' ἐμῶν καμάτων παραμύθιον. Ἄμεινον δὲ τὸ πρῶτον.

134. Τοιοῦτοι γὰρ πολλάκις οἱ ἐν τοῖς πάθεσι παρηγορούμενοι, παρακαλοῦντες συγχωρεῖσθαι θρηνεῖν.

135. Ἀλύειν: Ἐν [r] ἄλλῳ δυσφορεῖν σημαίνει· ἐνίοτε δὲ τὸ γεγηθέναι, ἀπὸ τῆς ἀλέας καὶ διαχύσεως. Ὅμηρος·

[s] Ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην.

137. Ἀλλ' οὔτοι τόν γ' ἐξ Ἀΐδα] Ὅμηρος·

[l] In Gl. praecedente R. Br.
[m] ἐξολεστάτης L. R.
[n] ἀσεβεστάτης R. Br.
[o] Mutavi lemma, quod in L. est, Ματρὸς ἁλόντ' ἀπάταις. P. E.
[p] ὃς om. R. Br. Iidem mox om. τό.
[q] Gl. om. R. Br.
[r] ἄλλοις R. Br.
[s] Od. σ'. 332.

[t] Οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.

138. Παγκοίνου] Εἰς ἣν ἅπαντας ἐφικέσθαι δεῖ.

139. Οὔτε γόοις, οὔτε λιταῖσιν: Οὔτε ὀδυρομένη, οὔτε παρακαλοῦσα τοὺς θεούς· καὶ Αἰσχύλος·

Μόνος [tt] θεῶν γὰρ Θάνατος οὐ δώρων ἐρᾷ·

μόνος οὐ δέχεται γλυκερᾶς μέρος ἐλπίδος.

144. Ἐφίῃ] Ἐπιθυμεῖς. Τί μοι, φησὶ, τούτων γλίχῃ, ἅπερ ἐστὶν οὐκ εὐκόλως φέρειν, [u] θρήνου καὶ πένθους;

147. Ἀλλ' ἐμέ γ' ἁ στονόεσσα: Ἀττικῶς τὸ ἄραρέ με, ἀντὶ τοῦ, ἤρεσέ μου ταῖς φρεσίν· ἀντὶ τοῦ, σύμφωνα πράσσομεν ἐγὼ καὶ [w] ἀηδὼν ἕνεκα τοῦ θρηνεῖν. Ἄλλως. Οἷον, συνήρμοσταί μου ταῖς φρεσὶ, τουτέστιν, ἐκείνην ζηλῶ τὴν ἀεὶ τὸν Ἴτυν στενάζουσαν. [Εἰς τὸ αὐτό.] Καὶ Ἀριστοφάνης·

σὲ δὲ ταῦτ' ἀρέσκει.

149. Ἀτυζομένα: Ἐκπληττομένη τοῖς συμβεβηκόσι καὶ ὀδυρομένη. [y] Τὸ δὲ Διὸς ἄγγελος, ὅτι τὸ ἔαρ σημαίνει. Ὅμηρος·

Ὡς δ' ὅτε Πανδαρέου κούρη, χλωρηῒς ἀηδὼν,
καλὸν ἀείδησιν ἔαρος νέον ἱσταμένοιο.

ἢ ὅτι τὴν ἡμέραν σημαίνει· ἢ ὅτι τὰ ἑαυτῆς ἀγγέλλει κακὰ, καὶ τὴν [z] περιθρυλουμένην ἀγγελίαν, καὶ τὸ πάθος· ἢ ἄγγελον εἶπεν, οἷον τέρας, [a] καὶ τὸ παρ' αὐτοῦ γινόμενον εἰς τεραστείαν τῆς φύσεως· καὶ Σαπφώ·

Ἦρος ἄγγελος, ἱμερόφωνος ἀηδών.

150. Σὲ δ' ἔγωγε νέμω θεόν] Ἀντὶ τοῦ, ἐν τιμῇ τῶν θεῶν μερίζω σέ.

151. Ἐν τάφῳ πετραίῳ] [b] Τουτέστι, καὶ ἀπολιθωθεῖσα. [Εἰς τὸ αὐτό.] Ὅμηρος·

Ἐν Σιπύλῳ, ὅθι φασὶ [c] Τυφωέος ἔμμεναι εὐνάς.

155. Περισσά: Ἀντὶ τοῦ, ἄμετρος ἐν τῷ θρηνεῖν. Περισσῶς,

[t] Il. ω'. 524.
[tt] γὰρ θεῶν L. Monet Hermannus Dissert. de Aeschyli Niobe p. 18. "Verba μόνος—ἐλπίδος, si Aeschylea "sunt omnino, saltim ex alio loco "petita sunt."
[u] θρήνους καὶ πένθη R. Br.
[w] ἡ ἀηδὼν R. Br.
[x] In gl. praeced. dant R. Br. Aristophanis locus est Ran. 103.
[y] Διὸς ἄγγελος. ὅτι δὲ τὸ R. et fere Br. Homeri locus est Od. τ'. 518.
[z] παραθρυλλουμένην R.
[a] τὸ παρ' αὐτῆς Br. qui mox τεραστείαν.
[b] τουτέστιν, ἀπολιθωθεῖσα. καὶ Ὅμηρος R. Br. Locus est Il. ω'. 615.
[c] τυφωέως R. θεάων Br.

φησὶν, ὀδύρῃ παρὰ τούτους, οἷς ἐκ τοῦ αὐτοῦ γένους τυγχάνεις· ὥστε καὶ ἕτερόν τι διδάσκει ἡμᾶς, ὅτι καὶ ἀδελφαὶ αὐτῇ εἰσι δύο μετριώτερον τὴν συμφορὰν φέρουσαι. [Εἰς τὸ αὐτό.] Πρὸς τὸ ἄχος περισσῇ.

157. *Η Ὁμήρῳ ἀκολουθεῖ εἰρηκότι [d] τὰς τρεῖς θυγατέρας τοῦ Ἀγαμέμνονος, ἢ ὡς ὁ τὰ [e] Κύπρια, [f] διαφόρους φησὶν Ἰφιγένειαν καὶ Ἰφιάνασσαν.

159. Κρυπτᾷ τ' ἀχέων: *Η [g] ἀχέων μετοχή ἐστιν, ἀντὶ τοῦ δυσφορῶν ἐπὶ [h] τῷ κεκρύφθαι· ἢ ὁ ἐν ἥβῃ κρυπτῇ λυπούμενος.

163. Βήματι: Ἀντὶ τοῦ, ὁδῷ, πομπῇ.

164. Ἀκάματα: Ἀκαμάτως καὶ ἀδιαλείπτως· [i] λέγοι δ' ἂν ταῦτα ἐν ὑποκρίσει· ἢ οὐ κεκμηκότως.

166. Οἰχνῶ] Περιέρχομαι.

167. Δάκρυσι μυδαλέα] Διάβροχος τοῖς δάκρυσιν.

*Ibid.* Ἀνήνυτον] Ἀτελείωτον.

169. Ὧν τ' ἔπαθεν ὧν τ' ἐδάη: Ὧν ἔπαθεν παρ' ἐμοῦ εὐεργεσιῶν· διέσωσε γὰρ αὐτόν· ὧν δὲ ἐδάη, ὅτι συνεχεῖς ἔπεμπεν ἀγγέλους δηλοῦσα τὰ κατ' Αἴγισθον.

176. Ὧι τὸν ὑπεραλγῆ χόλον: Ὧι τινι, τῷ Διὶ, τὸν ὑπεραλγοῦντα χόλον τοῖς πεπραγμένοις [k] νέμουσα, μὴ ὑπερβολῇ χρῶ τοῖς λυπηροῖς καὶ δεινοῖς, μήτε ἐπιλάθου αὐτῶν· ἀλλὰ μέμνησο μὲν αὐτῶν, γενναίως δὲ φέρε· ἢ μήτε ὑπὲρ τὸ δέον ἔχθαιρε, μήτε ἐπιλανθάνου τῆς ἔχθρας.

*Ibid.* Ὑπεραλγῆ] [l] Ἄγαν ὀδυνηρὸν, λυπηρόν.

179. Χρόνος γὰρ εὐμαρής: Ὁ γὰρ χρόνος εὐμαρῶς παρέρχεται· ἐνίοτε δὲ [m] οὐ μετ' ὀλίγον ἀνυομένου τοῦ χρόνου ἥξει Ὀρέστης· ἢ εὐχερής ἐστιν ὁ χρόνος, ὥστε μετελθεῖν τοὺς ἀδίκους.

180. Κρίσαν] Φωκικήν. Κρίσα γὰρ πόλις Φωκίδος.

181. Βούνομον] Βοῶν θρεπτικήν.

182. Ἀπερίτροπος: Ἀνεπίστροφος, [n] ἀνεπέλευστος· ἔνθεν καὶ τὸ

[d] Il. ι'. 144. τρεῖς τὰς R. Br.

[e] Κύπρια ποιήσας Br.

[f] MS. δ̄, unde ed. Rom. τέσσαρας, omissis vv. Ἰφιγένειαν καὶ Ἰφιάνασσαν. Sensu flagitante reposui διαφόρους. P. E.

[g] μετοχή ἐστι τὸ ἀχέων R. Br.

[h] τὸ L.

[i] λέγω L.

[k] μένουσα L.

[l] In gl. praeced. R. Br.

[m] εὖν Br.

[n] MS. hic ἀναπέλευστος, mox ἀνεπάλευστος. P. E.

[o] περιτροπέων ἐνιαυτός.

Ἀπὸ κοινοῦ δὲ ληπτέον τὸ ἀπερίτροπος· οὔτε Ὀρέστης ἀπερίτροπος, ὃς ἐν τῇ Φωκίδι τρέφεται, οὔτε ὁ κάτω θεός· ἀλλὰ καὶ ὑπὸ Ὀρέστου τιμωρηθήσονται, καὶ ἀπὸ τῶν χθονίων θεῶν ἔσεσθαι τὴν τιμωρίαν τοῦ ἀδίκως ἀνῃρημένου προσδόκα. Τινὲς δὲ τὸ ἀπερίτροπος, ἐπὶ μὲν Ὀρέστου, ἀνεπέλευστος· ἐπὶ δὲ τοῦ Πλούτωνος, ἀνεπίστροφος τοῦ τοὺς ἐχθροὺς μετελθεῖν· πολλάκις γὰρ τὸ κατὰ κοινοῦ λαμβανόμενον, διαφόρως νοεῖται· καὶ Ὅμηρος·

[p] Ἔνθ' ἑλέτην δίφρον τε καὶ ἀνέρε δήμου ἀρίστω.

Τὸ ἑλέτην κατὰ κοινοῦ ἐστιν· ἀλλ' ἐπὶ μὲν τοῦ δίφρου, ἀντὶ τοῦ ἔλαβον· ἐπὶ δὲ τῶν ἀνδρῶν, ἀντὶ τοῦ ἐφόνευσαν.

183. Οὐθ' ὁ παρὰ τὸν Ἀχέροντα: Οὔτε ὁ Αἴδης ἀνεπίστροφος (ἀπὸ κοινοῦ γὰρ τὸ ἀπερίτροπος) τοῦ τοὺς ἐχθροὺς μετελθεῖν· ἀλλ' ἔχει ἐπιστροφὴν, καὶ ἐπιμέλειαν ποιεῖται.

184. Ἀλλ' ἐμὲ μὲν ὁ πολύς: Οἷον, τὸ πλεῖστον τοῦ βίου ἐβίωσα ἐν κακοῖς, καὶ ὁ πλείων με, φησὶ, βίος ἀπολέλοιπεν, μηδέποτε ἐν ἀγαθῇ ἐλπίδι γενομένην, ἐπεὶ μέχρι νῦν οὐδὲν ὑπὲρ ἐκδικίας Ἀγαμέμνονος πέπρακται.

188. Ἇς φίλος οὔτις ἀνήρ: Ἤτοι ἧς φίλος οὐδεὶς προΐσταται, ἀλλὰ πάντες εἰσὶν ἐν ἀτυχήμασιν εὐλαβούμενοι· ἢ ἐκεῖνο·

Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι.

189. Ἔποικος: Ἀντὶ τοῦ μέτοικος. Ἀναξία [q] δὲ, ἀξίαν οὐκ ἔχουσα, ἀλλ' ἄτιμος. Οἰκονομῶ [q] δὲ, ἀντὶ τοῦ, διαιτῶμαι τοὺς πατρῴους οἴκους.

190. Ὧδε μὲν ἀεικεῖ σὺν στολᾷ: Δεικτικῶς τὸ ὧδε. Ἐλεεινὸν δὲ τὸ τοιοῦτον, καὶ λεληθότως ἐμφαῖνον τὸ σχῆμα τῶν ὑποκριτῶν.

193. Οἰκτρὰ μὲν νόστοις αὐδά: Ἡ ἀγγελία ἡ περὶ τοῦ νόστου τοῦ πατρὸς οἰκτρὰ ἐγένετο, εὐθέως ἀναιρεθέντος· ἀπὸ κοινοῦ δὲ τὸ αὐδά. Οἰκτρά σοι οὖν γέγονεν ἡ φωνὴ, ἡ ἀγγέλλουσα περὶ τοῦ νόστου τοῦ πατρός· οἰκτρὰ δὲ καὶ περὶ τῆς κοίτης αὐτοῦ· οἷον, οἰκτρὰ πέπονθας, καὶ ὅτε ἤκουσας παρεῖναι Ἀγαμέμνονα, προσδοκῶσα ὅτι ἐπιβουλευθήσεται· οἰκτρὰ δὲ, [r] ὅτι καὶ ἡ πρᾶξις γέγονε, καὶ ἀνῃρέθη.

[o] Il. β'. 295.
[p] Il. λ'. 328.
[q] δὲ om. R. Br.
[r] ὅτε Br.

195. Ἀνταία γενύων: Ὅτε ἀνταίαν [s]ἐπλήγης ἀπὸ γενύων παγχάλκων, ὅ ἐστι, πελέκεων· γένυς γὰρ εἶδος πελέκεος.

197. Δόλος ἦν ὁ φράσας: Ἀντὶ τοῦ, ὁ φρασάμενος, [t]ὁ ἐπινοησάμενος· ὁ δὲ ἀνελὼν, ἔρως· δι' ἔρωτα γὰρ ἑαυτῶν ἀνεῖλον Ἀγαμέμνονα· δόλος ὁ φρασάμενος τὴν ἑστίασιν, ἐν ᾗ ἀνῃρέθη.

198. Προφυτεύσαντες] Προσκεψάμενοι, προκατασκευάσαντες.

199. Μορφάν: Μορφὴν, τύπον· τὴν δὲ μοιχείαν φησὶ τοῦ Αἰγίσθου, ἢ τὴν ὄψιν, ἣν εἰργάσατο τοῦ φόνου.

*Ibid.* Εἴτ' οὖν θεός: Πάνυ αἰδημόνως ὁ Χορὸς τὸ μὲν πρᾶγμα λέγει· τοὺς δὲ πράξαντας οὐκ ἐλέγχει.

201. Ὦ ἡμέρα ἐκείνη [u]ἡ ἐλθοῦσά [w]μοι ἐχθίστη, ἡ μάλιστα μεμισημένη πασῶν ἡμερῶν. Τὸ δὲ πλέον, περισσόν.

203. Ὦ δείπνων ἀρρήτων: Τῶν ὑπὸ Αἰγίσθου, φησὶ, τῷ Ἀγαμέμνονι παρασκευασθέντων ἐπ' ὀλέθρῳ, ἃ οὐδὲ ὀνομάσαι καλόν.

204. [x]Ἔκπαγλ' ἄχθη] Μεγάλα. γρ. ἔκπαγλα πάθη.

206. Διδύμαιν χεροῖν] Τῆς Κλυταιμνήστρας καὶ τοῦ Αἰγίσθου.

207. Αἵ τὸν ἐμὸν εἷλον βίον: Πάνυ περιπαθῶς· αἵτινες χεῖρες, αἱ ἀνελοῦσαι τὸν Ἀγαμέμνονα, τὸν ἐμὸν βίον ἀνεῖλον, καὶ προέδωκαν τοῖς ἐχθροῖς.

210. Ποίνιμα: Ποινὴ λέγεται ἐπὶ μόνης καταβολῆς χρημάτων. Ὅμηρος·

> [y]Ποινὴν οὔ παιδὸς ἐδέξατο τεθνειῶτος.

Καί·

> Ἀλλ' ὁ μὲν ἐν δήμῳ μένει αὐτοῦ, πόλλ' ἀποτίσας,
> τοῦδέ τ' ἐρητύεται κραδίη καὶ θυμὸς ἀγήνωρ,
> ποινὴν δεξαμένῳ.

[Εἰς τὸ αὐτό.] [z]Ἄξια ποινῆς.

211. Ἀγλαΐας] Ἡδονῆς, δόξης.

213. Φράζου μὴ πόρσω φωνεῖν: Ὁ Χορὸς ἐπιτιμᾷ τῇ Ἠλέκτρᾳ μὴ ἄντικρυς ταῖς βλασφημίαις κατὰ Κλυταιμνήστρας καὶ Αἰγίσθου χωρεῖν. Οἰκείας [a]δὲ, ἤτοι τὰς συγγενικὰς, ἢ ἀπὸ σοῦ ἐσομένας, καὶ οὐκ ἀλλαχόθεν.

[s] ἐπλήγη R. Br.
[t] ὁ om. R. Br.
[u] ἡ om. Br.
[w] ἐμοὶ R. Br.
[x] ἔκπαγλα πάθη, μεγάλα R. Br.
[y] Il. ι'. 629.
[z] In gl. praeced. R. Br.
[a] δὲ om. R. Br.

214. Οὐ γινώσκεις, φησὶν, ἐξ οἵων ἀγαθῶν εἰς τί ἀνιαρὸν ἐλήλυθας; [Εἰς τὸ αὐτό.] [b]Οὐ νοεῖς;

216. Ἐμπίπτεις] [c]Τοιαῦτα ἐννοοῦσα, ἐξ ὧν πολεμεῖται σοῦ ἡ ψυχή. [Εἰς τὸ αὐτό.] Σαυτῇ γεννῶσα ταῦτα, ἐξ ὧν πολεμεῖταί σου ἡ ψυχὴ, ὡς ἐν ἀθυμίαις αὐτῆς οὔσης.

219. Τὰ δὲ τοῖς δυνατοῖς οὐκ ἐριστά: Τοῖς κρατοῦσιν οὐ δι' ἔριδος δεῖ εἰς ταῦτα προσπελάζειν, ἀντὶ τοῦ, οὐχ οἷόν τέ σε ἐρίζειν τοῖς δυνατοῖς. Καὶ ἄλλως. Ταῦτα δὲ, ἃ πράττεις, οὐκ ἐριστὰ τοῖς κρατοῦσίν ἐστι· τουτέστι, [d]τοῖς περὶ τούτων φιλονεικίαν πρὸς τοὺς κρατοῦντας ποιεῖσθαι, ἀσύμφορον.

220. Πλάθειν] Πελάζειν.

222. Τοῦτο τὸ ἔπος, φησὶν, οὐ λανθάνει με, ἀλλ' οἶδα τὸ ἀσφαλὲς καὶ συμφέρον· διὰ δὲ τὴν ὑπέρβασιν τῶν δεινῶν, ἀναγκάζομαι καὶ ἐπικινδυνώδη τινὰ φθέγγεσθαι.

226. Τίνι γάρ ποτ' ὦ φιλία: Παρὰ τίνος γὰρ ἂν ἀκούσομαι τὰ συμφέροντα, ἢ παρ' ὑμῶν τῶν συνοίκων, ὥστε μοι συγχωρῆσαι ἐν δεινοῖς οὔσῃ παρηγορίαν τινὰ ἴσχειν ἐκ τῶν ὀδυρμῶν καὶ θρήνων· οὐ γὰρ πρὸς ξένους ἔχω, ἀλλὰ πρὸς ὑμᾶς εὐνοούσας.

*Ibid.* Τίνι] [e]Ἀντὶ τοῦ, παρὰ τίνος.

*Ibid.* Ὦ φιλία γενέθλα] [f]Προσφιλὴς ἐμοὶ γενεά.

228. Τίνι φρονοῦντι καίρια] Παρὰ τίνος φρονοῦντος καίρια, [g]ἢ συμφέροντα.

229. Ἄνετε] Ἐάσατε· οἷον, παύσασθέ με παραμυθούμεναι· ἢ οὕτως· ὑμεῖς με παραμυθούμεναι ἄνετε, ὅ ἐστιν, ἐπιτρέπετε ὀδύρεσθαι, καὶ [μὴ] αὔξετέ μου διὰ τῆς παραμυθίας τὸν ὀδυρμόν.

230. Τάδε γὰρ ἄλυτα κεκλήσεται: Τὸ θρηνεῖν τὸν πατέρα ἄλυτόν μοι ἐστὶν, ὅ ἐστιν, οὐδέποτε παύσομαι, ἀλλ' ἀεὶ ἐν τῷ θρηνεῖν ἔσομαι.

232. Ἀνάριθμος ὧδε θρήνων: Ἔν [gg]τισι κεῖται ἀνάνομος, οἷον, ἀεὶ νεμομένη ἐν αὐτοῖς, καὶ οὔποτε χωρὶς οὖσα τῆς τῶν δακρύων νομῆς. Κεῖται δὲ καὶ ἀνήριθμος, καὶ ἔστιν ὁ λόγος, οὐκ ἔσομαι ἀνάριθμος θρήνων, ἀλλ' ἐν θρήνοις ἀριθμηθήσομαι. [h][Εἰς τὸ αὐτό.] Οἷον, οὐκ ἀριθμοῦσα αὐτοὺς, ἀλλὰ δαψιλέσι χρωμένη.

[b] In gl. praeced. R. Br.
[c] Gl. om. R. Br.
[d] τὴν R. Br.
[e] Gl. om. R. Br.
[f] ὦ προσφιλὴς R. Br.
[g] ἤγουν R. Br.
[gg] τι] L. Mox γενομένη Br.
[h] ἢ οὕτως· ἀνάριθμος, οἷον R. Br. Iidem mox ἀριθμοῦσα τοὺς θρήνους, et in fine, χρωμένη αὐτοῖς.

236. Καὶ τί μέτρον ἔχει τόδε τὸ κακὸν, ὥστε μετρίως θρηνεῖν; πρὸς γὰρ ἄμετρον κακὸν καὶ ἀμέτρων δεῖται θρήνων.

*Ibid.* Κακότατος] Τῆς συνεχούσης με.

239. Μὴ εἴη μοι [i]ταύτης τιμῆς, τὸ τοὺς γονέας μὴ μέχρι παντὸς ὀδύρεσθαι.

*Ibid.* Μήτ' εἴην ἔντιμος τούτοις] Τουτέστι, μὴ θέλοιμι ἔχειν τιμὴν ὑπὸ τούτων. Μηδὲ εἰ [k]συνοικῶ χρηστῷ τινι ἀνδρὶ, ζηλώσαιμ' ἂν τὰ ἐκείνου ἡσυχάζουσα καὶ κατέχουσα τοὺς ἐπὶ τῷ πατρὶ γόους. Πτέρυγας δὲ [l]τούτους ὀξυτόνους εἴρηκε, διὰ τὸ ταχύ· ἅμα [m]μὲν τῇ μνήμῃ καὶ ὁ ὀδυρμὸς, οὐδενὸς τοῦ μεταξὺ ὄντος· [n]ὀξυτόνους δὲ, διὰ τὸ σφοδρὸν καὶ μέγα καὶ τὸ εἰς ὀξὺ τείνεσθαι, τουτέστιν, εἰς ἄκρον ἐλθεῖν.

240. Τούτοις] [o]Τοῖς ἀμελοῦσι τῶν γονέων.

*Ibid.* Μήτ' εἴ τῳ πρόσκειμαι χρηστῷ: [p]Μήτε εἴ τινι ἀγαθῷ καὶ χρηστῷ πρόσκειμαι φίλῳ, συνοικοίην εὔκηλος· οἷον, μηδὲ εἰ ἀγαθός τις ἐστὶν, ᾧ ἐγὼ πρόσκειμαι, μηδὲ τούτῳ συνοικοίην εὖ, ζηλοῦσα [q]αὐτῷ καὶ ἀποδεχομένη, εἰ τοιοῦτος περὶ τοὺς γονέας φαίνοιτο· μήτε οὖν αὐτὴ γενοίμην, [r]μήτε ὁ ξυνοικῶν μοι τοιοῦτος εἴη, ζηλοίην τὰ ἐκείνου, ὥστε καταφρονεῖν τῶν γονέων.

241. Γονέων ἐκτίμους: Τῶν ἐπὶ τοῖς γονεῦσιν ὀξυτόνων γόων τὰς πτέρυγας ἴσχουσα ἐκτίμους, ἀντὶ τοῦ ἐκτὸς τιμῆς· ἀλλ' ἐν τῷ τιμᾶν τοὺς πατέρας εἴην [s]διὰ τῶν γονέων.

242. [t]Πτέρυγας γόων τοὺς γόους λέγει.

249. Ἥ τε αἰδὼς ἔρροι, καὶ ἡ περὶ πάντας εὐσέβεια, εἰ τῶν ἀδίκως ἀνῃρημένων μὴ τιμωρία ἔσται.

253. Σὺ νίκα: Τὸ σὺ νίκα πάνυ ἀναγκαίως, ἵν' ἀφορμὴ γένηται μακρὰν ἐκτεῖναι ῥῆσιν [u]τὴν Ἠλέκτραν, ἐν ᾗ πάντα τὰ καθ' ἑαυτὴν παραλήψεται.

[i] ταύτης τῆς τ. R. Br. et mox μεχρὶ τοῦ παντός.

[k] συνοικοίην R. Br. Ceterum haec scholia ad vv. 239—241 paullo aliter collocata sunt in R. Br.

[l] τούτους om. R. Br. qui statim ὀξυτόνων γόων εἴρηκε.

[m] μὲν γὰρ R. Br. qui mox om. ὁ.

[n] ὀξυγόους R. Mox καὶ μέγα addidit L.

[o] Haec in superioribus collocant R. Br.

[p] μήτε εἴ τι L. μήτε εἴ τινι R. Br.

[q] αὐτὸν R. Br.

[r] μήτε εἰ ὁ R. Br.

[s] ἴδια R. Br.

[t] Gl. om. R. Br.

[u] τῇ Ἠλέκτρᾳ R. Br.

254. Αἰδοῦμαι, εἰ δοκῶ ὑμῖν βαρέως πενθεῖν καὶ ἀπαραμυθήτως ἔχειν.

256. Ἀλλ' ἡ βία γὰρ ταῦτ' ἀναγκάζει: Ἐπείπερ ἐν τοῖς φθάσασιν ἐπετίμησαν αὐτῇ διὰ τὸ ἀνενδότως θρηνεῖν, περὶ τούτου πρῶτον ἀπολογεῖσθαι βούλεται.

259. Ἃ 'γὼ κατ' ἦμαρ: Ἀναγκαίως κέχρηται τῷ νοήματι· [w]ἐν ἡμῖν γὰρ γενομένῳ πράγματι καὶ παρελθόντι, εἰκὸς καὶ παύσασθαι τὸν ἀδημονοῦντα· ὁπότε δὲ αὐτὴν οὐ μόνον τὰ τοῦ πατρὸς λυπεῖ, ἀλλὰ καὶ τὰ τῆς μητρὸς, καὶ τὰ Αἰγίσθου ὁσημέραι γινόμενα, εἰκότως [x]παρατείνειε τὸ πενθεῖν.

263. Ἐν τοῖς ἐμαυτῆς: Ἀνιαρὸν λίαν τὸ ἐν τοῖς ἐμαυτῆς, ὅτι ἀδικοῦμαι οὖσα ἐν τοῖς ἐμαυτῆς.

264. Κἀκ τῶνδ' ἄρχομαι: Καὶ βασιλεύομαι ὑπ' αὐτῶν· ἔτι δὲ τοῦτο χαλεπώτερον, τὸ καὶ τούτοις ὑποτετάχθαι.

267. Ὅταν θρόνοις Αἴγισθον: Καὶ γὰρ μετὰ τὸ φονεῦσαι Ἀγαμέμνονα Αἴγισθος ἐβασίλευσεν. Ὅμηρος·

> Αἴγισθος ἤνασσε πολυχρύσοιο Μυκήνης,
> κτείνας Ἀτρείδην· δέδμητο δὲ λαὸς ὑπ' [y]αὐτῷ.

269. Φοροῦντ' ἐκείνῳ ταυτά: Οὐχ ὅμοια βασιλικὰ, ἀλλὰ τὰ ἐκείνου· πάνυ γὰρ τοῦτο [z]περιπαθῶς, καὶ εἰς ὑπόμνησιν ἄγον τὴν μείρακα τοῦ πατρός.

270. Σπένδοντα λοιβάς: Τὸ τῆς ἀσεβείας Αἰγίσθου κατηγόρημα, εἰ σπένδει θεοῖς, ὅπου ἄδικος φόνος εἴργασται.

271. Ἴδω δὲ τούτων: Ζηλοτυπίας μεστὸν τὸ πρᾶγμα· κινητικὸν δὲ πρὸς οἶκτον τὸ αὐτοέντην πρὸς κοίτῃ πατρός.

272. Αὐτοφοντην] γρ. Αὐτοέντην. Τὸ δὲ ἡμῖν παρέλκει, Ἀττικῶς.

275. Τλήμων] Τολμηρὰ, ἀναιδής.

278. Εὑροῦσ' ἐκείνην ἡμέραν: Τὸ εὑροῦσα τὸν πόθον καὶ τὴν ἐπιθυμίαν τῆς γυναικὸς σημαίνει, οἷον, ἡδέως αὐτὴν [a]θεωμένην.

281. Θεοῖσιν ἔμμην' ἱερά:] Οἱ Ἀργολικοὶ συγγραφεῖς ιγ̅ εἶναι φασὶ μηνὸς [b]Γαμηλιῶνος, ὡς Δεινίας ἐν ζ̅ Ἀργολικῶν.

[w] ἐπὶ μὲν γὰρ R. Br.
[x] παρατείνει καὶ τὸ R. Br.
[y] Nescio an L. αὐτοῦ. Vid. Od. γ΄. 303.
[z] περιπαθὲς R. Br.
[a] θεωμένη R. Br.
[b] Sic R. τὰ μηλίων L.

281. Ἔμμηνα] [c]Κατὰ μῆνα.

283. Ἐπικωκύω] Δακρύω.

284. Ἐπωνομασμένην] Ἐφ' ᾧ ὠνομάσθη.

286. Ὅσον μοι θυμὸς ἡδονήν: Ἐπικουφίζεται γὰρ τοῖς δακρύοις ἡ συμφορά. Αἰσχύλος·

[d]Οἵ τε στεναγμοὶ τῶν πόνων ἐρείσματα.

287. Λόγοισι γενναία] Εὐγενὴς λόγοις καὶ οὐ πράξεσιν.

289. Καὶ ταῦτα Ἀριστοφάνης παρῴδηκεν ἐν Γηρυτάδῃ.

*Ibid.* Δύσθεον] Ἀσεβές.

*Ibid.* Σοὶ μόνῃ πατὴρ τέθνηκεν: Οὐκ ἀνῃρέθη φησὶν, ἀλλὰ τέθνηκεν, τῷ προσχήματι τῆς λέξεως παραλογιζομένη τὴν παρανομίαν.

299. Ὑλακτεῖ] Ἐμμανῶς καὶ ἀναιδῶς βοᾷ, ὡς κύων.

300. Ὁ κλεινός] Κατὰ εἰρωνείαν.

*Ibid.* Ὁ σὺν γυναιξὶ τὰς μάχας: Συνεργούσης γὰρ Κλυταιμνήστρας ἀνεῖλεν τὸν Ἀγαμέμνονα,

[e] Αἰγίσθου ὑπὸ χερσὶ καὶ οὐλομένης ἀλόχοιο.

303. γρ.

Ἐγὼ δ' Ὀρέστην προσμένουσ' ἀεί ποτε.

305. Τὰς οὔσας] Τὰς παρούσας.

307. Ἐν οὖν τοιούτοις: Θαυμαστῶς καὶ ἀνθρωπίνως δικαιολογεῖται, ἐπεὶ οἱ ἐν δεινοῖς καὶ ἔξω λογισμοῦ τινὰ πράσσουσι, καὶ εἰς θεοὺς ἀσεβῆ φθέγγονται.

310. Φέρ' εἰπέ: Ἐπεὶ θρασυτέρῳ λόγῳ ἡ Ἠλέκτρα κέχρηται, ὁ Χορὸς βουλόμενος περὶ Ὀρέστου πυθέσθαι, ἐρωτᾷ εἰ πάρεστιν Αἴγισθος.

312. Ἦι κάρτα] Ἐν ἤθει· οἷον, πολλοῦ γε δεῖ.

*Ibid.* Μὴ δόκει μ' ἂν εἴπερ: Δαιμονίως ᾠκονόμηται τοῦτο πρὸς τὴν [f]χείρωσιν Κλυταιμνήστρας· τὸ δὲ εἴργεσθαι ἐξόδου [g]πρὸς τὴν μείρακα περιπαθὲς μὲν, χρήσιμον δὲ πρὸς τὴν [h]ὑπέρθεσιν.

*Ibid.* Δοκεῖ] [i]Ἀντὶ τοῦ ἡγοῦ.

317. Τοῦ κασιγνήτου τί φῄς] Λείπει ἡ περὶ.

318. Μέλλοντος] Βραδύνοντος.

[c] Gl. om. R. Br.
[d] οἵ τοι Br.
[e] Od. ω'. 97.
[f] χήρωσιν R. Br.
[g] περιπαθὲς μὲν πρὸς τὴν μείρακα R. Br. περιπαθὴς L.
[h] ὑπόθεσιν Br.
[i] In gl. praeced. R. Br. Non exstat in L.

320. Φιλεῖ γὰρ ὀκνεῖν: Δύναται τὸ ὀκνεῖν Ὁμηρικῶς εἰρῆσθαι, ἀντὶ τοῦ φοβεῖσθαι.

[k]Ὀκνείω δ' ἵππων ἐπιβαινέμεν ὠκειάων.

*Ibid.* Πράσσων] Ἐπιχειρῶν πράττειν.

323. Ἐπεί τ' ἂν] Ἐπεί τοι ἄν. [l]Εἰ μὴ ἐθάρρουν.

324. Ὡς δόμων ὁρῶ τὴν σὴν ὅμαιμον: Οὐχ ὡς τῆς Χρυσοθέμιδος τἀναντία φρονούσης τῇ Ἠλέκτρᾳ, ἀλλ' ἐπειδὴ ὁρῶσιν [m]ἐναγίσματα βαστάζουσαν, τοῦτο πρῶτον πυθέσθαι βουλόμεναι, κωλύουσιν αὐτὴν τῶν ἑξῆς λόγων.

328. Τὸ ἑξῆς· τίνα φάτιν φωνεῖς;

*Ibid.* Τίν' αὖ σὺ τήνδε: [n]Ἐπίτηδες τοῖς ἀγρίοις ἤθεσιν ἀντιπαρατάττουσι πρᾶα, καθάπερ νῦν τῇ Ἠλέκτρᾳ Χρυσόθεμιν συνέζευξεν, καὶ τῇ Ἀντιγόνῃ τὴν Ἰσμήνην, ἕνεκα τοῦ διαποικίλλειν ταῖς ἀντιρρήσεσι τὰ δράματα.

331. Θυμῷ ματαίῳ] [o]γρ. Ψυχῇ ματαίᾳ.

335. Ὑφειμένῃ δοκεῖ: [p]Ὅλον τὸ ἱστίον ἀναπετασάσῃ· ἀπὸ τῶν πλεόντων, οἳ πρὸς τὴν βίαν τῶν ἀνέμων οὐκ ἀντίσχοντες, ὑφιᾶσι τῶν ἱστίων. [Εἰς τὸ αὐτό.] Ὑφήσειν τὸ ἱστίον, οἷον, συστέλλειν τὸ φρόνημα, καὶ μὴ ἀντικρὺς μάχεσθαι, οἱονεὶ, τῇ προαιρέσει χρῶμαι.

338. Ὁ νοῦς· τί ὄφελος τῆς δικαιοσύνης, εἴ τις διὰ ταύτην τοῖς δεινοῖς περιπέσῃ;

342. Μέλειν] Φροντίζειν.

343. Ἅπαντα γάρ σοι τἀμὰ νουθετήματα: Ταῦτα ὁποῖά ἐστι τὰ ἐπὶ τῇ Ἀντιγόνῃ, ὅπου τῇ Ἰσμήνῃ λοιδορεῖ, καὶ φησὶν [q]αὐτὴν τὰ Κρέοντος φρονεῖν.

*Ibid.* Τἀμὰ νουθετήματα] [r]Οἷον, ἃ εἶπες ἐμὲ νουθετοῦσα.

345. Ἐπειθ' ἑλοῦ γε: Ὁμολόγησον σαυτὴν ἢ φρονεῖν κακῶς, προστιθεμένην τοῖς ἐχθροῖς· ἢ φρονοῦσαν, τῶν φιλτάτων ἀμνημονεῖν· οἷον, θάτερά σε δεῖ ὁμολογῆσαι, ἢ ὅτι κακῶς φρονεῖς, ἢ ὅτι ἑκοῦσα ἁμαρτάνεις καὶ παρορᾷς.

*Ibid.* [s]Τὸ θάτερα ἀντὶ τοῦ θάτερον Ἀττικῶς.

[k] Il. έ. 255.
[l] Seqq. om. R. Br.
[m] ἐναγήματα L.
[n] ἐπιτηδὲς δὲ R. Br.
[o] Gl. om. R. Br.
[p] μὴ ὅλον Br.
[q] αὐτῇ L. R. Br.
[r] In gl. praeced. R. Br.
[s] τὸ δὲ θ.—Ἀττικῶς εἴρηται. R. Br.

345. Ἑλοῦ] [t]Ὁμολόγησον.

348. Τὸ τούτων μῖσος] Λείπει ἡ κατα.

350. Τήν τε δρῶσαν ἐκτρέπεις] Ἀντὶ τοῦ ἐμέ. Ἡ δὲ εκ [u]ἀντὶ τῆς απο· ἀποτρέπεις.

354. Κακῶς μὲν ζῶ· ἀλλ' ὑπὲρ τοῦ λυπεῖν τοὺς ἐχθροὺς τοῦτο πράττω.

*Ibid.* Κακῶς] [w]Ὀδυνηρῶς.

*Ibid.* Ἐπαρκούντως δέ μοι] Οὐ γὰρ ἐφίεμαι τρυφερώτερον ζῆν.

355. Λυπῶ τούτους διὰ τὸ τιμᾶν τὸν πατέρα.

362. Περιρρείτω βίος] [w]Δαψιλὴς ἔστω σοῦ ἡ τροφή.

363. Ἐμοὶ γὰρ ἔστω: Ἐμοί, φησὶν, ἔστω τροφὴ, ἡ τῇ ἀνάγκῃ μόνον ἁρμόζουσα, καὶ τὴν πείνην ἀπελαύνουσα· οὐ δέομαι γὰρ τοιαύτης τροφῆς, ἀφ' ἧς ἡδονὴν σχήσω. [[x]Εἰς τὸ αὐτό.] Τοῦτο μόνον ἐμὲ βοσκέτω, τὸ μὴ λυπεῖν ἐμὲ αὐτὴν, εἰ τοῖς φονεῦσι τοῦ πατρὸς πείθεσθαι ἀναγκασθήσομαι.

*Ibid.* Τοὐμὲ μὴ λυπεῖν] [w]Τοῦ μὴ λυπεῖν τὸν πατέρα.

365. Οὐδ' ἂν σὺ σώφρων] Οὐδ' [y]ἂν σὺ, εἰ ἐσωφρόνεις, ἁβρῶς ἔζης, ἠμεληκυῖα τοῦ πατρός.

366. Καλοῦ] Ἀντὶ τοῦ κλήθητι, λέγου, ὀνομάζου.

369. Ὡς τοῖς λόγοις ἔνεστιν ἀμφοῖν κέρδος] Εἰ [z]συγκεράσητε τοὺς τρόπους, εὖ ἂν ἔχοι· ἡ μὲν γὰρ [a]αὐστηρὰ, ἡ δὲ ἀνειμένη.

372. Ἠθάς εἰμί πως] Ἀντὶ τοῦ, ἐν συνηθείᾳ εἰμί.

373. Τῶν τῆσδε μύθων] Τῶν [b]παρ' αὐτῆς λεγομένων μύθων.

375. Μακρῶν] Μεγάλων, ἢ πολυχρονίων.

*Ibid.* Σχήσει] Ἐφέξει, κωλύσει.

*Ibid.* Γόων] γρ. καὶ λόγων.

381. Κατηρεφεῖ] [c]Κατεσκεπασμένῃ, σκοτεινῇ.

384. Νῦν γὰρ ἐν καλῷ φρονεῖν] Νῦν, φησὶν, εὔκαιρόν ἐστι καλῶς φρονῆσαι.

*Ibid.* Ἐν καλῷ] [d]Ἔγκαιρον.

*Ibid.* Ἁρμόζει [e]λίαν τὸ πρόσωπον Ἠλέκτρας τῇ Ἀντιγόνῃ.

[t] Gl. om. R. Br.
[u] ἀντὶ τοῦ τῆς R.
[w] Gl. om. R. Br.
[x] ἢ οὕτως R. Br
[y] ἂν om. R. Br. Mox ἂν ἔζης Br.
[z] συγκεράσηται L. συγκεράσετε R. Br.
[a] σμικρὰ L.
[b] παρὰ ταύτης R. Br.
[c] κατεσκεπασμένῳ L.
[d] Gl. om. R. Br.
[e] μάλιστα R. Br.

391. Πάνυ θυμικῶς καὶ τὴν ἀδελφὴν αὐτοῖς συγκαταλέγει, ὡς τὰ αὐτῶν [f]αἱρουμένης.

393. Εἰρωνεύεται ἐν ἤθει.

401. [g]Κακόν ἐστιν ἐπαινέσαι ταῦτα τὰ ἔπη.

403. Νοῦ κενή] Ἀντὶ τοῦ, συνέσεως κούφη.

410. Δοκεῖν ἐμοί] [h]Κατὰ τὸ δοκοῦν ἐμοί· δοκέον γὰρ δοκεῖν οἱ Ἀττικοὶ λέγουσιν, οὐ δοκοῦν, καὶ πλέον πλεῖν, καὶ δέον δεῖν.

411. Συγγένεσθε: Συμμαχήσατε, συνεργήσατε, συμπράξατε ἡμῖν κἂν νῦν. Ἀκούσασα δὲ, ὅτι ἐν τοῖς ὀνείροις δείματά τινα τῇ Κλυταιμνήστρᾳ γέγονε, θάρσει καὶ ἐπικαλεῖται τοὺς θεοὺς, εἰ καὶ μὴ πρότερον, κἂν νῦν παριστάναι.

414. Πλὴν ἐπὶ σμικρῶν] Ἀντὶ τοῦ, πλὴν ὀλίγων.

418. Δευτέραν ὁμιλίαν] Ὡς αὖθις αὐτοῦ ἀναζήσαντος καὶ προσομιλήσαντος.

419. Ἐφέστιον] Ἐπὶ τὴν οἰκίαν γενόμενον, τουτέστιν, ἐπ' οἶκον.

422. [i]Ἐσήμανεν αὐξηθησόμενον Ὀρέστην τὸν θάλλον.

424. Ἡνίχ' ἡλίῳ: Τοῖς γὰρ παλαιοῖς ἔθος ἦν, ἀποτροπιαζομένους τῷ ἡλίῳ διηγεῖσθαι τὰ ὀνείρατα.

*Ibid.* Ἡλίῳ ἀντὶ τοῦ ἡμέρᾳ· ἤκουσα, φησὶ, τοῦ ὀνείρου, ἡνίκα ἡμέρας γενομένης διηγεῖτο αὐτό τινι, κἀκεῖνος ἐμοί.

430. Εἰ γάρ μ' ἀπώσει: Εἰ γὰρ νῦν, φησὶ, δεομένην σου ἀπώσῃ με, κακοῦ σοι τινὸς γενομένου μετὰ ταῦτα, αὐτὴ μετελεύσῃ με, καὶ ἀξιώσεις μετὰ σοῦ γενέσθαι.

432. Οὐ γάρ σοι θέμις] [k]Καὶ ἵνα μὴ ἀποτρέψῃ, εἴ τι κακὸν [l]μέλλοι γενέσθαι διὰ τῶν ὀνείρων.

436. Εὐνὴν, νῦν τὸν τάφον.

439. Ἀρχὴν δ' ἂν, εἰ μὴ τλημονεστάτη: Καθόλου, φησὶν, εἰ μὴ τολμηροτάτη πασῶν ἐτύγχανεν, οὐκ ἄν ποτε ταῦτα ἔπραττεν ἐπὶ τιμῇ τοῦ πατρὸς, ὃν αὐτὴ ἀνεῖλεν· εἰκὸς οὖν αὐτὴν τοῦτο ἐπί τινι λυσιτελοῦντι πράττειν, ᾧ μὴ ὑπουργήσῃς σύ.

445. Ἐμασχαλίσθη] [m]Οἷον, ὑπὸ τὰς μασχάλας ἔλαβεν τὰ ἄκρα, ἀντὶ τοῦ, [n]ἠκρωτηριάσθη.

[f] αἱρουμένην Br.

[g] κακῶν R. Br

[h] Haec L. a manu recenti, nec exstant in R.

[i] Gl. om. R. Br.

[k] καὶ om. R. Br.

[l] μέλλει γενέσθαι διὰ τῶν ὀ. εὐνὴν δὲ, R. Br.

[m] οἷον om. R. Br.

[n] ἠκρωτηριάσθη· ἢ ἐπεὶ εἰώθεσαν εἰς

445. Ἐμασχαλίσθη, κἀπὶ λούτροισιν κάρα: Εἰώθεισαν τῶν ἀναιρουμένων εἰς τὰς κεφαλὰς ἀπομάσσειν τὰ ξίφη, ὥσπερ ἀποτροπιαζόμενοι τὸ μύσος τὸ ἐν τῷ φόνῳ. Τὸ δὲ ἐξέμαξεν, ἐπὶ τοῦ Ἀγαμέμνονος, ὃς ἐμασχαλίσθη ὑπὸ τῆς Κλυταιμνήστρας, καὶ τὸ κάρα αὐτοῦ τὰς κηλῖδας τούτων τὰς ἐπὶ τῷ φόνῳ ἐξέμαξεν. Οὐ δεῖ δὲ διαφωνίαν δοκεῖν εἶναι πρὸς τὸν [o] Ὅμηρον, ἐπεὶ φησὶν ἐκεῖνος·

Δειπνήσας, ὥς τις τε [p] κατέκτανε βοῦν ἐπὶ φάτνῃ.

Ἤρκει γὰρ τὰ ὅλα συμφωνεῖν τῷ πράγματι· τὰ γὰρ κατὰ μέρος ἐξουσίαν ἔχει ἕκαστος ὡς βούλεται πραγματεύσασθαι, εἰ μὴ τὸ πᾶν [q] βλάπτῃ τῆς ὑποθέσεως. Ἄλλως. Εἰώθεσαν οἱ δρῶντες ἐμφύλιον φόνον ἀκρωτηριάζειν τοὺς ἀναιρεθέντας, ἐκ παντὸς μέρους τοῦ σώματος ἀποταμνόμενοι, [καὶ] περιάπτειν ἑαυτοῖς τὰ ἄκρα [r] συνείραντες διὰ τούτων, ὥσπερ τὴν δύναμιν ἐκείνων ἀφαιρούμενοι, διὰ τὸ μὴ παθεῖν εἰς ὕστερον τὶ παρ' ἐκείνων δεινόν· ἐφόρουν δὲ εἰς τὰς μασχάλας τὰ ἄκρα, ὃ καὶ [s] μασχαλίσαι ἔλεγον. Ἄλλως. Ἐπὶ ταῖς καθάρσεσι [t] τοῦ φονευθέντος τὰ ἄκρα ἔτεμνον, καὶ περὶ τὴν μασχάλην αὐτοῦ ἐκρέμαζον αὐτὰ, ἵνα, φησὶν, ἀσθενὴς γένοιτο πρὸς τὸ ἀντιτίσασθαι τὸν φονέα· καὶ Ἀπολλώνιος·

ἐξάργματα [u] τέμνε θανόντος·

[w] τοῦ Ἰάσονος.

446. Κηλῖδας ἐξαίμαξεν: Ἢ τῇ ἑαυτῶν κεφαλῇ ἀπέμασσον τοῦ ξίφους τὰς κηλῖδας, ἢ τῇ τοῦ φονευομένου, ὥσπερ τὰς ἐπὶ τῷ μύσει κηλῖδας ἀποτρεπόμενοι.

448. Προοικονομικῶς ἀποστέλλει αὐτὴν εἰς τὸν τάφον, ἐπὶ τὸ εὑρεῖν τὸν βόστρυχον Ὀρέστου.

451. Ἀλιπαρῆ τρίχα: Περιπαθῶς μὲν τὸ τῆς πενίας· τὸ δὲ ἀλιπαρῆ, ἀντὶ τοῦ αὐχμηράν· ἐν δὲ τῷ ὑπομνήματι, λιπαρῆ, ὅ ἐστιν, ἐξ ἧς αὐτὸν λιπαρήσομεν, ὡς εἰ ἔλεγεν ἱκέτιν τρίχα.

452. Καὶ ζῶμα τοὐμόν: Σύμφωνον τοῦτο [x] τῷ,

ὧδε μὲν ἀεικεῖ σὺν στολᾷ.

τὰς κεφαλὰς τῶν ἀναιρουμένων ἀπομ. R. Br.

[o] ὄνειρον L.

[p] κατέκτεινε L. Locus est Od. δ'. 535.

[q] βλάπτοι Br.

[r] συνείροντες R. Br. Infra τὶ δεινὸν παρ' ἐκείνων R. Br.

[s] Sic P. E. μασχαλίσθαι L. μασχαλισθῆναι R. Br. Suid.

[t] τῶν φονευθέντων R. Br. qui mox περὶ τὰς μασχάλας.

[u] τέμνεν L. τέμνε R. τάμνε Br. Locus est Argon. IV. 477.

[w] ὁ Ἰάσων τοῦ Ἀψύρτου R. Br.

[x] τὸ L. v. 190.

Ζῶμα δὲ νῦν τὴν ζώνην δηλοῖ, οὐ τὸ ἔνδυμα, ἵνα τούτῳ στέφῃ τὸν τάφον ἀντὶ μίτρας· δίδωσι γὰρ τὸ ζῶμα [y] ἀντὶ ταινίας.

455. Ἐξ ὑπερτέρας χερός: Ἀντὶ τοῦ ἰσχυροτέρας, [z] οἷον, μετὰ δυνάμεως μείζονος.

463. Κοινῷ πατρί] Τῷ ἐμῷ καὶ σῷ.

466. Τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον: Οὐκ ἔχει λόγον τὸ φιλονεικεῖν περὶ τοῦ δίκαιου, ὥστε περὶ αὐτοῦ δύο ὄντας ἐρίζειν· δεῖ γὰρ τὸν ἕτερον τῷ ἑτέρῳ πείθεσθαι. Ἢ τὸ οὐκ ἔχει λόγον, ἀντὶ τοῦ, οὐ παρέχει πρόφασιν. Ἄλλως. Οὐ δισταγμοῦ, φησὶ, καὶ ἀμφιβολίας προσδεῖται τοῖς δύο, πότερον [a] διὰ ταῦτα ποιεῖν, ἢ προσερίζειν.

469. Σιγὴ παρ' ὑμῶν: Εὐλαβὴς οὖσα ἡ Χρυσόθεμις, κρύπτειν ἀξιοῖ τὸν Χορόν.

471. Πεῖραν] [b] Τὴν ἐπιχείρησιν.

472. Εἰ μὴ ἐγὼ παράφρων: Ὁ Χορὸς ἐκ τοῦ ὀνείρου προμαντευόμενος, θαρρεῖν παραινεῖ τὴν Ἠλέκτραν.

*Ibid.* Παράφρων] [c] Ἀνόητος.

475. Εἶσιν ἁ πρόμαντις: Ἡ προμαντευομένη τὰ μέλλοντα, ἢ τοῖς συνετοῖς προγινωσκομένη.

477. Μέτεισιν: Μέτεισι, φησὶ, παρέχουσα τούτοις δύναμιν, ὡς χειρώσασθαι τοὺς ἐχθρούς.

482. Οὐ γάρ ποτ' ἀμνηστεῖ: Οὐ γὰρ ἀμνημονεῖ, φησὶ, τῶν τολμηθέντων καθ' ἑαυτοῦ ὁ βασιλεὺς, ἀλλ' ἐπεξελεύσεται κατὰ τῶν ἐχθρῶν.

484. Χαλκόπληκτος: Ἀπὸ κοινοῦ τὸ ἀμνηστεῖ. Οὐδ' ἀμνημονεῖ, φησὶν, ἡ χαλκόπληκτος γένυς, ἡ ἑλοῦσα αὐτὸν, ἀλλὰ καὶ αὐτὴ τιμωρὸς ἥξει κατὰ τῶν δρασάντων.

485. [d] Γένυς] Εἶδος πελέκεως.

488. Ἥξει καὶ πολύπους: Ἡ Ἐρινὺς, ἡ ἐκείνῳ τῷ φόνῳ ἀκολουθήσασα· οὕτως ἐν τῷ ὑπομνήματι.

*Ibid.* Ἥξει καὶ πολύπους: [e] Τὸ πολύπους ἐν ὑπερβολῇ ἔθηκεν· ἐν δὲ τῷ ὑπομνήματι κεῖται πολύπαις. Ἐπεὶ γὰρ, φησὶν, ἐν τῷ Ὀρέ-

[y] ἀντὶ τῆς τ. R. Br.
[z] οἷον om. R. Br.
[a] δεῖ τούτων ποιεῖν ἢ προαιρεῖσθαι R. Br.
[b] ἀντὶ τοῦ τὴν R. Br.
[c] In gl. praeced. R. Br.
[d] γένυς δὲ R. Br.
[e] ἐν ὑπερβολῇ τοῦτο sine τὸ πολύπους R. Br.

στη τὴν πᾶσαν ἐλπίδα ἔχουσι, τὸ πολύπαις ἐν ὑπερβολῇ ἔθηκεν, ἡ πολλὰ κακὰ τίκτουσα.

491. Χαλκόπους: Ἡ στερεὰ καὶ ἀκοπίαστος ἐν τῷ ἐπιέναι κατὰ τῶν φονέων.

492. Ἄλεκτρ' ἄνυμφα: Ἀντὶ τοῦ, [μὴ] νενομισμένα, ἀλλὰ παράνομα διὰ τὴν μοιχείαν. [Εἰς τὸ αὐτό.] [f] Δύσλεκτρα καὶ κακόνυμφα.

493. Μιαιφόνων γάμων: Ἤτοι ἐπὶ τῆς Ἐρινύος ἐστὶν ὁ λόγος· ἐπέβη γὰρ ἐπὶ [g] ἁμιλλήματα γάμων ἄλεκτρα καὶ ἀνύμφευτα· ἐπέβη δὲ τούτοις, οἷς οὐ θέμις· οὓς οὐκ ἐχρῆν, εἰς γάμον ἤγαγεν ἡ Ἐρινύς· διόπερ καὶ νῦν αὐτοὺς μετελεύσεται. Ἢ ἐπὶ τῆς Κλυταιμνήστρας ἐστὶ τὸ λεγόμενον· τὸ δὲ οἷσιν οὐ θέμις, ἐπὶ τῶν γάμων· φησὶν οὖν ὅτι ἐπέβη γάμοις ἡ Κλυταιμνήστρα, οἷς οὐκ ἔπρεπεν.

495. Πρὸ τῶνδέ τοι μ' ἔχει: Λείπει τὸ ἐλπίς· ἢ θάρσος με ἔχει, μὴ πρὸ [h] τούτων προειρημένων, [i] Αἴγισθον φησὶ καὶ Κλυταιμνήστραν, τοῦτο τὸ ὄναρ ἄψεκτον ἡμῖν προσπελάζειν· ἀλλ' ἀκουσόμεθα ψεγομένου αὐτοῦ παρὰ τῶν θεασαμένων αὐτὸν, λεγόντων ὅτι κακῶν ἦν [k] σημαντικός. Ἄλλως. Θαρρῶ ὅτι τοῖς δρῶσι ταῦτα τὰ ἄδικα καὶ συνδρῶσιν αὐτοῖς οὐκ ἔσται ἄψεκτος ὁ ὄνειρος· παθόντες γὰρ ψέξουσι τὸ ὀφθέν. [Εἰς τὸ αὐτό.] [l] Ἔχει θάρσος· τὸ τοι σύνδεσμος παραπληρωματικός.

497. Τέρας] Τὸ τοῦ ὀνείρου [m] τέρας.

498. Τοῖς δρῶσι καὶ συνδρῶσιν: Ὑμῖν ταῖς δρώσαις ὑπὲρ Ἀγαμέμνονος, καὶ ἡμῖν ταῖς συνδρώσαις καὶ συναχθομέναις.

500. Δεινοῖς] Τοῖς ἐκφοβοῦσιν τοὺς ὁρῶντας, ὅταν ὦσι δεινοί.

501. Θεσφάτοις] Τοῖς τῶν ὀνείρων.

503. Εὖ κατασχήσει] Οὐ τοῖς ἑωρακόσιν, ἀλλὰ τῇ Ἠλέκτρᾳ.

504. Ὦ Πέλοπος: [n] Φερεκύδης φησί· Πέλοψ νικήσας τὸν ἀγῶνα, καὶ λαβὼν τὴν Ἱπποδάμειαν, ὑπέστρεφεν ἐπὶ τὴν Πελοπόννησον μετὰ τῶν ὑποπτέρων ἵππων καὶ [o] τοῦ Μυρτίλου· καθ' ὁδὸν δὲ καταλαβὼν

[f] In gl. praeced. R. Br. in superiore gl. ponunt.
[g] ἁμιλλήματι R.
[h] τούτων τῶν R. Br.
[i] Αἴγισθος φ. κ. Κλυταιμνήστρα L.
[k] σημαντικὸν R. Br.
[l] ἔχει θάρσος om. R. Br. qui seqq. in superiore gl. ponunt.
[m] τέρας λέγει R. Br.
[n] φησὶ δὲ Φερεκύδης, ὅτι R. Br.
[o] τὸν Μυρτίλον L. τοῦ Μιρτύλου R. et sic infra.

αὐτὸν προϊόντα πρὸς τὸ φιλῆσαι αὐτὴν, ἔρριψεν εἰς θάλασσαν. [Εἰς τὸ αὐτό.] [p] Οἷον ἦν καὶ τὸ πρῶτον·

Πολύφθορόν τε δῶμα Πελοπιδῶν τόδε.

505. Πολύπονος ἱππεία: Πολύπονος γενομένη πᾶσιν Ἀργείοις· καὶ ἑρμηνεύει αὐτὸ, λέγων·

Ὡς ἔμολες [q] αἰανῆ τᾷδε γᾷ.

Αἰανῆ δὲ, θρηνητικῆ, [r] παρὰ τὸ αἲ αἲ ἐξ οὗ γίνεται.

508. Εὖτε γὰρ ὁ ποντισθείς: Ὁ νοῦς τοιοῦτός ἐστιν· ἀφ᾽ οὗ ὁ Μυρτίλος ἀπέθανεν, οὐ διέλιπεν αἰκία τοὺς πολυκτήμονας δόμους· ὁ γὰρ Ἑρμῆς, πατὴρ Μυρτίλου, ἐμήνισε τοῖς Πελοπίδαις.

511. Αἰκίαις] Αἰκισμοῖς, ὕβρεσιν.

512. Πρόρριζος] Ἀντὶ τοῦ, παντάπασιν.

516. Ἀνειμένη: Ἄνεσιν ἔχουσα· πανταχόθεν δὲ διαφόροις ἐξαλλαγαῖς τὸν ἔλεον Ἠλέκτρας διαγράφει ὁ ποιητής.

518. Αἰσχύνειν φίλους] Ἀντὶ τοῦ, καθ᾽ ἡμῶν λέγειν.

526. Ἐξ ἐμοῦ· καλῶς: Ἴδιον ῥητορικῆς [s] τόλμης, τὸ μὴ ἀρνεῖσθαι μὲν, πιθανὴν δὲ τῶν δεδραμένων ἐπεισφέρειν αἰτίαν· οὐχ ὡς δίκαια δὲ πραττούσης συνηγορεῖ ὁ ποιητὴς, ἀλλ᾽ ἵνα μὴ ἀργὸν εἴη τὸ πρόσωπον.

539. Πότερον ἐκείνῳ παῖδες: Λαμβάνονταί τινες τοῦ ποιητοῦ ἐκ τῶν Ὁμηρικῶν· ἐπεὶ ἐκεῖνος μίαν γεγονέναι τῷ Μενελάῳ τὴν Ἑρμιόνην φησὶν, οὗτος δὲ διπλοῦς ὁμομητρίους φησὶν αὐτῷ γεγονέναι· ὅμως [t] οὐ συμφωνεῖ αὐτῷ Ἡσίοδος·

Ἣ τέκεθ᾽ Ἑρμιόνην δουρικλυτῷ Μενελάῳ·
ὁπλότατον δ᾽ ἔτεκεν Νικόστρατον, ὄζον Ἄρηος.

οὐ περὶ μεγάλων δὲ αἱ τοιαῦται διαφωνίαι τοῖς ποιήμασιν, ὥστε οὐ πάνυ δεῖ αὐτοῖς ἐπὶ τῶν τοιούτων ἐνοχλεῖν, ἀφεμένους τῶν ἀναγκαιοτέρων, ἅπερ παρατηρεῖν ἐχρῆν· ταῦτα δέ ἐστι τὰ ἠθικὰ καὶ χρήσιμα ἡμῖν τοῖς ἐντυγχάνουσιν. Ὅρα οὖν πῶς ἐκείνῳ τῷ μέρει τῆς ἱστορίας κατεχρήσατο, ὅτι συνέφερεν τῷ λόγῳ τῆς Κλυταιμνήστρας. [Εἰς τὸ αὐτό.] [u] Ἑρμιόνη καὶ Νικόστρατος.

[p] In gl. praeced. R. Br.
[q] αἰανῆ bis R. Br.
[r] αἲ αἲ ἐξ οὗ γίνεται R. ὃ γίνεται ἐκ τοῦ αἲ αἲ Br.
[s] MS. τόλμης pro τέχνης. Neutrum habet ed. Rom. P. E.
[t] Sic L. An οὕτω? P. E. ὅμως συμφωνεῖ τῷ Ἡσιόδῳ λέγοντι R. Br.
[u] In principio praecedentis schol. ponit Br.

540. Τῆσδε] [w] Ἀντὶ τοῦ, τῆς Ἰφιγενείας.

542. Ἢ τῶν ἐμῶν Ἅιδης: Τὸ ἑξῆς· ἢ τῶν ἐμῶν τέκνων δαίσασθαι πλέον ἵμερόν τινα Ἅιδης ἔσχεν, ἢ τῶν ἐκείνης;

545. Παρεῖτο] Ἠμελεῖτο, παρῃρεῖτο.

550. Δύσθυμος] Κακόβουλος.

551. Γνώμην δικαίαν: Οἷον, λογισμῷ χρησαμένη δικαίῳ, [x] τῷ τε τοὺς πέλας ψέγειν ἡμᾶς, μὴ τὸ πᾶν ὀργῇ καταχαριζομένη. Τινὲς τοὺς πέλας, τοὺς περὶ [y] Ἀγαμέμνονα.

552. Ἐρεῖς μὲν οὐχὶ νῦν: Οὐκ ἂν εἴποις [z] λυπήσασά με τοιαῦτα ἀντακήκοας· ἐμοῦ γὰρ εἰπούσης οὐδὲν, σὺ προκατήρξω τῆς εἰς ἐμὲ λοιδορίας.

556. Εἰ δέ μ' ὧδ' ἀεὶ λόγοις: Εἰ πρὸ τῶν λόγων ἐπυνθάνου, εἰ τὸ λέγειν σοι ἐφίημι, οὐκ ἂν ἦς λυπηρά.

558. Πατέρα φῂς κτεῖναι: Ὡς ῥήτωρ διεῖλεν εἰς κεφάλαια τὸν λόγον· καὶ πρῶτον κεφάλαιον, ὅτι οὐδὲν χαλεπώτερον τούτου, εἴ γε δικαίως· δεύτερον, ὅτι οὐ δικαίως, ἀλλὰ πεισθεῖσα Αἰγίσθῳ· δείκνυσι δὲ, ὅτι ἀκουσίως ὁ Ἀγαμέμνων ἔθυσεν τὴν Ἰφιγένειαν ἐν τῇ Αὐλίδι.

561. Ὡς οὐ δίκῃ γ' ἔκτεινας: Ἐναντίον [a] τὸ,

[b] ἡ γὰρ δίκη νιν εἷλε,

[c] τὸ, ὡς οὐ δίκῃ γ' ἔκτεινας.

*Ibid.* Ἔσπασε] Παρήγαγε, παρέπεισεν.

*Ibid.* Ἀλλὰ σ' ἔσπασεν πιθώ: Αὕτη γὰρ ἀπόδειξις, οὐ διὰ τὴν θυγατέρα, ἀλλὰ διὰ τὸν μοιχὸν πεφονεῦσθαι τὸν Ἀγαμέμνονα, τὸ καὶ μέχρι τοῦ νῦν αὐτῷ συνεῖναι καὶ συνοικεῖν.

563. Τίνος ποινῆς] Λείπει ἡ διά.

567. Ἐξεκίνησεν] Ἐξεδίωξεν.

575. Πολλὰ κἀντιβάς: Ἀντιπαραταττόμενος καὶ μὴ βουλόμενος· διὰ [d] δὲ τῆς λέξεως δηλοῖ τὸ ἀκούσιον τῆς προαιρέσεως.

577. Εἰ δ' οὖν, ἐρῶ γὰρ καὶ τὸ σόν: Πιθανῶς κατασκευάζει, ὅτι εἰ νομοθετεῖς ἄλλον ἀντ' ἄλλου ἀναιρεῖσθαι, κατὰ σαυτῆς νομοθετεῖς.

583. Πρώτη θάνοις ἄν: Ἀντὶ τοῦ Ἀγαμέμνονος.

[w] Gl. om. R. Br.
[x] τότε δηλονότι R. Br.
[y] Ἀγαμέμνονα ἔγνωσαν R. Br.
[z] ὡς λυπ. R. Br.
[a] Sic L. τῷ R. Br.
[b] v. 528. εἰ γὰρ δίκῃ νιν εἷλεν L.
[c] Seqq. om. Br.
[d] δὲ om. Br.

584. Ἀλλ' εἰσόρα: Ὅρα, φησὶ, μὴ παρακάλυμμα τῶν σαυτῆς ἀδικημάτων ταύτην κομίζῃ τὴν πρόφασιν.

591. Ἐπαινέσαιμ' ἂν] [e] γρ. Ἐπαινέσωμεν.

595. Ἐπεὶ πάνυ αὐτὴν διήλεγξεν ἐπὶ τῇ μοιχείᾳ· ὥσπερ ἐπιλαμβανομένη αὐτῆς, κἀκείνην ἐκμειλισσομένη, φησὶν, ὅτι οὐδὲ νουθετεῖν σε δεῖ· [f] χαλεπαίνοις γὰρ, ὡς λοιδορουμένη· τὸν ἔλεγχον οὖν νουθεσίαν ὠνόμασεν.

607. Στόμαργον] [g] Φλύαρον.

*Ibid.* Εἴ τε στόμαργον: Εἰ γέγονα τούτοις τοῖς κακοῖς ἔνοχος, στόμαργος καὶ ἀναιδὴς, [h] ὡς φὴς, οὐ καταισχύνω σου τὴν φύσιν, ἐλάττων σου οὖσα· ἀλλ' ὁμοία [i] σου φανήσομαι. Ζηλῶ σε, φησίν· ὥσπερ γὰρ σὺ κατὰ Ἀγαμέμνονος Αἴγισθον ἔθρεψας, οὕτως κατὰ σοῦ τὸν Ὀρέστην ἐγώ.

610. Ὁρῶ μένος πνέουσαν: Ὁ Χορὸς τεθαυμακὼς ἐπὶ τοῖς λόγοις, φησὶν, Ὁρῶ μένος πνέουσαν τὴν παῖδα· εἰ δὲ σὺν δίκῃ αὐτῇ τοῦτο τὸ μένος σύνεστιν, τούτου τοῦ μένους φροντίδα οὐκέτι ὁρῶ γινομένην ὑπό τινος. Εὐσχημόνως δὲ ἐς τὴν Κλυταιμνήστραν τὸν λόγον ἀποτείνουσιν· [k] ἀντιλαμβανομένης οὖν ἐκείνης τοῦ λόγου, φησίν· Ποίας δέ μοι δεῖ πρός γε τήνδε φροντίδος;

611. Οὐκέτ' εἰσορῶ] Ἀντὶ τοῦ, οὐκ ἐννοῶ.

614. Καὶ ταῦτα τηλικοῦτος: Ὑπὲρ ἐπιτάσεως· ὅτι εἰ καὶ δοίη τις ἐξουσίαν ἀντιλέγειν τοῖς γονεῦσιν, ἀλλ' οὐ ταύτῃ παρθένῳ οὔσῃ ἔπρεπε τηλικαύτῃ.

615. Αἰσχύνης ἄτερ] Ἀντὶ τοῦ ἀναισχύντως.

618. Κἀγὼ, φησὶν, αἰσθάνομαι ἐπονείδιστα πράσσουσα, καὶ οὐ κατὰ τὴν ἐμὴν ὥραν.

620. [l] Ἐμφαντικώτερον τὸ ἐξαναγκάζει με, διὰ τῆς προθέσεως.

622. Ὦ θρέμμ' ἀναιδὲς] [m] Τοῦτο ὅμοιον ἐστὶ τὸ,

εὖ νῦν ἐπίστω,

καὶ τὰ ἑξῆς.

*Ibid.* Ἦ σ' ἐγὼ καὶ τἄμ' ἔπη: Ὡς δὴ καὶ τοῖς ἔργοις καὶ τοῖς λόγοις μετριάζουσα πρὸς αὐτὴν, ταῦτα φησὶν ἡ Κλυταιμνήστρα.

[e] Gl. om. R. Br.
[f] χαλεπαίνεις R. Br.
[g] Gl. om. R. Br.
[h] ὡς σὺ φὴς Br.
[i] σοι R. Br.
[k] ἀντιλαμβανομένη οὖν ἐκείνη R. Br.
[l] ἐμφατικώτερον Br. qui mox om. με.
[m] Pene evanidum. P. E. Deest omnino R. Br.

627. Πιθανῶς ἐπὶ [m]τὸν ἀγρὸν ἔφη τὸν Αἴγισθον, ὑπὲρ τοῦ παρρησίαν δοθῆναι τῇ κόρῃ.

630. Οὔκουν ἐάσεις: Οὐκ ἐμμενεῖς οἷς πρότερον [n]εἶπα· ἔφη γάρ·

[o]Καὶ μὴν ἐφίημι.

Πιθανῶς δέ· οὐ γὰρ χρὴ ἐν ταῖς ἀντιλογίαις θυμοῦσθαι τὸν ἡττώμενον.

632. Ἐῶ, κέλευε: Δεῖ γὰρ [p]καὶ προκόπτειν τὴν ὑπόθεσιν· διὸ οὐ ποιεῖται πλείονας ἀντιρρήσεις.

634. Ἔπαιρε δὴ σύ: Πρὸς θεράπαιναν φησί. Θύματα δὲ, θυμιάματα.

635. Πάγκαρπα] Ἐπίπαν ὄσπρια ἔθυον τοῖς θεοῖς.

637. Προστατήριε] Ὅτι πρὸ τῶν θυρῶν ἵδρυται.

638. Οὐ γὰρ ἐν φίλοις: Οὐκ εἰς τὸν Χορὸν ἀποτείνεται, ἀλλ' εἰς τὴν Ἠλέκτραν.

642. Σπείρῃ ματαίαν: Τὸ ματαίαν οὐκ ἔστι ψευδῆ, ἀλλ' ἀνωφελῆ· τί γὰρ [q]πράξοι, τοὺς κρατοῦντας διαβάλλουσα;

*Ibid.* [r]Ματαίαν] Κενὴν, διὰ τὸ μηδὲν αὐτὴν δύνασθαι πρᾶξαι.

*Ibid.* Βάξιν] [s]Λόγον.

643. Ἀλλ' ὧδ' ἄκουε: Οὕτως ἐμοῦ λεγούσης· τῇδε γὰρ, ἀντὶ τοῦ, τούτῳ τῷ τρόπῳ.

645. Δισσῶν ὀνείρων: Ἡ διπλῆν ἐχόντων φύσιν, ὡς καὶ Ὅμηρος·

[t]Δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσὶν ὀνείρων.

δύναται δὲ τὸ δισσῶν καὶ ἀριθμὸν ἐμφαίνειν, ὡς δύο αὐτῆς ὀνείρους θεασαμένης, καὶ τὸ μὲν ἓν φάσμα ἡγησαμένης εἶναι, ὑπὲρ οὗ καὶ πέπομφεν ἀποτροπιασθησομένην τὴν Χρυσόθεμιν· τάχα δὲ καὶ ἕτερον αὐτὴν κεκίνηκεν, ὑπὲρ οὗ καὶ εὔχεται τῷ Ἀπόλλωνι, ὅπερ οὐδὲ ἐξεῖπε πρός τινα, οὐδὲ πρὸς τὸν Ἀπόλλωνα. Ἡ [u]δισσῶν, τῶν ἀμφιβόλων καὶ δισσοποιῶν· ἔλυσε δὲ αὐτὸ, εἰποῦσα·

Εἰ μὲν πέφυκεν ἐσθλὰ, δὸς τελεσφόρα·
εἰ δ' ἐχθρὰ, τοῖς ἐχθροῖσιν ἔμπαλιν μέθες.

650. Ἀλλ' ὧδέ μ' αἰεὶ ζῶσαν: Τὸ ὅλον ὑπὲρ τοῦ Αἰγίσθου εὐ-

[m] τῶν ἀγρῶν R. Br.
[n] εἶπας Br.
[o] v. 556. καί μιν L.
[p] καὶ om. Br.
[q] πράξει R. Br.
[r] ματαίαν γοῦν κενὴν λέγει R. Br.
[s] Haec gl. non exstat in R.
[t] Od. τ'. 562.
[u] δισσῶν ὀνείρων R. Br.

χεται· διὰ δὲ τοῦ πληθυντικοῦ, τοῦ [w] φίλους, τὸ τολμηρὸν τοῦ λόγου ἐπεκάλυψεν.

652. Φίλοισί τε ξυνοῦσαν: Ἀκατάλληλον φαίνεται τὸ ὅλον, ἐὰν μὴ ᾖ τὸ οἷς ξύνειμι νῦν ἀπὸ κοινοῦ λαμβανόμενον· φίλοισί τε καὶ τέκνοις συνοῦσαν, οἷς ξύνειμι νῦν· τὸ δὲ δύσνοια, ἀπ' αὐτῶν εἰς ἐμὲ, ἢ [x] ἀπ' ἐμοῦ.

653. Εὐημεροῦσαν] [y] Ἑκάστῃ ἡμέρῃ εὖ διάγουσαν.

657. Τὰ περὶ τῆς τελευτῆς Ὀρέστου ἔοικεν εὔχεσθαι.

*Ibid.* Τὰ δ' ἄλλα πάντα: [z] Ζητοῦσι διὰ τί ἐνταῦθα μὲν οὐκ ἐμφαίνει περὶ τοῦ Ὀρέστου, ὕστερον δὲ τοῦ ἀγγέλου ἐλθόντος φαίνεται ἐφηδομένη· ῥητέον οὖν, ὅτι νῦν μὲν προσδοκῶσα αὐτὸν ἥξοντα ζῶντα, τότε δὲ, ὡς κατὰ ἀποθανόντος παρρησιάζεται, ἄφοβος γενομένη.

660. Ὁ παιδαγωγὸς ἥκει [a] πλασάμενος τὰ περὶ τοῦ θανάτου [τοῦ] Ὀρέστου· τὸ δὲ ἦθος αὐτοῦ μέσον ἐστὶν, οὔτε ἀποικτιζομένου παντάπασιν, οὔτε ἡδομένου, ἀλλ' ὡς ξένου. Εὐκαίρως δὲ ἥκει ἔξω οὐσῶν ἀμφοτέρων· πρῶτον, ἵνα μὴ δισσολογοίη, πρὸς ἀμφοτέρας ἀπαγγέλλων· δεύτερον, πρὸς τὸ δηλωθῆναι τὴν γνώμην ἀμφοτέρων· πιθανῶς δὲ ἐρωτᾷ, ὡς ἀγνοῶν.

664. Πρέπει γὰρ ὡς τύραννος] Στοχάζεται ἐκ τῆς στολῆς καὶ τῶν βασιλείων.

668. Ἐδεξάμην] Λείπει ἡ ἀπο· ἀπεδεξάμην.

675. Τί φῄς, τί φῄς: Οἱ [b] ἡδέος ἀκούοντες λόγου, κἂν πάνυ σαφῶς ἀκούσωσι, δὶς καὶ τρὶς τὰ αὐτὰ ἀκούειν βούλονται.

*Ibid.* Μὴ ταύτης κλύε: Οἷον, μὴ διὰ ταύτην φυλάξῃ εἰπεῖν τὰ ἑξῆς.

679. Τῷ τρόπῳ διόλλυται: Ἴδιον καὶ τοῦτο τῶν ἡδομένων· μαθόντες γὰρ τὸ πᾶν, καὶ τὸ κατὰ μέρος ἡδόμενοι πυνθάνονται· ἔπειτα ὁ ποιητὴς βούλεται εὐδοκιμεῖν περὶ ἀγῶνος λέγων Ἑλληνικοῦ.

682. Οὔπω ἦν ἐπὶ Ὀρέστου ὁ Πυθικὸς ἀγών.

686. Δρόμου δ' ἰσώσας: Οἷον, οὐκ ἐλλείπων κατὰ τὰ τέρματα, ἀλλ' ἴσος φανεὶς τοῖς τέρμασι, κατὰ τὴν αὐτοῦ φύσιν τῆς νίκης ἔτυχεν· ἀλλ' ὁμοίως καὶ ἴσως τεθαυμασμένος ἐν τῷ ἀγωνίσματι, ὡς

[w] φίλοισι Br.
[x] ἀπ' ἐμοῦ εἰς αὐτούς R. Br.
[y] ἑκάστην ἡμέραν R. Br.
[z] ζητοῦσι δὲ R. Br.
[a] πλασόμενος Br.
[b] ἡδέως Br.

ἐπὶ τῇ μορφῇ· ἀντὶ τοῦ, ὡς [c] θαυμαστὸς ἐπὶ τῇ μορφῇ, οὕτως καὶ τῷ ἔργῳ ἐφάνη· ὡς ἐπὶ τῷ εἴδει, οὕτω καὶ [d] τῷ ἔργῳ. [Εἰς τὸ αὐτό.] [e] Τινὲς δόλιχόν φασιν ἀγωνίσασθαι Ὀρέστην, ὅς ἐστιν κ̄ στάδια, κ̄ ἐτῶν ὄντα· ὥστε τῇ φύσει ἴσα τὰ τέρματα τοῦ δρόμου ἐποιήσατο.

686. Δρόμου] [e] Τοῦ ἐκ ποδὸς δρόμου.

691. Δρόμων διαύλων πένταθλα] Ἅλμα, δίσκον, ἄκοντα, δρόμον, πάλην· ταῦτα ἐν μιᾷ τις ἠγωνίζετο ἡμέρᾳ.

696. Ὅταν δέ τις θεῶν] Ὅμοιον [f] αὐτῷ τὸ Πινδαρικόν·

> [f] θεὸς ὃ καὶ πτερόεντ'
> αἐτὸν κίχε, καὶ θαλασσαῖ-
> ον παραμείβεται
> δελφῖνα.

701. Φιλοτίμως διὰ πιθανότητα ταῦτα [g] ἐπεξεργάζεται.

702. Ζυγωτῶν] [h] Οἷον ἀζύγων.

703. Κἀκεῖνος] Ὁ Ὀρέστης.

706. Λεύκιππος Αἰνειᾶν: Ἐμοὶ δοκεῖ ὄνομα εἶναι· οὐδὲν γὰρ ἄτοπον ἐπίθετον εἶναι· ὄνομα γὰρ κύριον οὐ προτέθεικεν, πρὸς τὸ τοῦ πράγματος ἀνεξέλεγκτον· ὅλη γὰρ ἡ διήγησις τοῦ ἀγῶνος πέπλασται· οἱ δὲ [i] Αἰνειᾶν τῶν Θεσπρωτῶν ἢ Θρᾳκῶν. Ὅμηρος·

> Τῷ δ' [k] Ἐνιῆνες ἕποντο, μενεπτόλεμοί τε Περαιβοί.

707. Προσχαρίζεται [kk] Ἀθηναίοις, ἐν Ἀθηναίοις λέγων.

711. Ὡς ὑπερβάλοι χνόας τις αὐτῶν: Οἷον, [l] πρῶτοι τοῦ δρόμου γενέσθαι. Χνόας δὲ, τὰς τοῦ ἄξονος σύριγγας, καὶ τὰ [m] ἱππικὰ φρυάγματα, ἀπὸ δὲ μέρους τὸ ὅλον ἅρμα. Σύριγξ δέ ἐστι τὸ εἰς τὴν ὀπὴν τοῦ τροχοῦ [n] ἐμβαλόμενον μέρος τοῦ ἄξονος· καὶ αὐτὴ δὲ ἡ ὀπὴ τοῦ τροχοῦ οὕτως καλεῖται. Λείπει δὲ τὸ ἐλαύνων. Τὸ δὲ χνόας, βαρέως· τὰ γὰρ εἰς η̄ [o] καθαρὸν δισύλλαβα τῷ ο̄ παραληγόμενα, ἀπὸ

[c] θαυμαστῶς L.
[d] ἐπὶ τῷ R. Br.
[e] Alio loco ponunt R. Br.
[f] τούτῳ R. τοῦτο Br. Locus est Pyth. II. 91.
[g] ἐπεργάζεται Br.
[h] Gl. om. R. Br.
[i] Αἰνιᾶνες Br.
[k] αἰνειῆνες L. pr. Locus est Il. β'. 749.
[kk] τοῖς Ἀθ. R. Br.
[l] πρῶτος R. Br.
[m] ἱππικὰ δὲ φρ. φυσήματα, πνεύματα, ἀπὸ μέρους Br.
[n] ἐμβαλλόμενον Br.
[o] καθ L. Deest R. Br. Mox τὸ ο̄ L.

δύο συμφώνων ἀρχόμενα, ὧν προηγεῖται δασὺ, βαρύνεται· χνόη, φθόη, χλόη· τὸ δὲ πνοὴ οὐκ ἔχει δασύ.

711. Ὑπερβάλοι] Ὑπεκδράμοι.

717. Φρυάγματα] Φυσήματα, πνεύματα.

720. Στήλην: Τὸν λίθον τὸν καμπτῆρα.

721. Ἔχριμπτ' ἀεί: Ὅ ἐστι, προσεπέλαζε τῷ καμπτῆρι ἀεὶ τὴν ὀπὴν τοῦ τροχοῦ.

*Ibid.* Σύριγγα] [p] Τὴν ὀπὴν τοῦ τροχοῦ.

722. Σειραῖον ἵππον: Τὸν ἔξω τοῦ ζυγοῦ, τὴν δεξιόν· προσκείμενον δὲ τῷ καμπτῆρι [q] ἀριστερόν.

724. Ἄστομοι] Σκληρόστομοι.

725. Ἐκ δ' ὑποστροφῆς] Ἐξ ὑπαντήσεως [r] ἐπετίναξαν ἐκείνων ὑποστρεφόντων.

727. Βαρκαίοις ὄχοις: Τοῖς Λιβυκοῖς. Βάρκη γὰρ πόλις Λιβύης, ἡ νῦν Πτολεμαῒς καλουμένη.

730. Ναυαγίων: Τῶν πτωμάτων.

731. Γνοὺς δ' οὐ 'ξ Ἀθηνῶν δεινός: [rr] Δεινὸς ἀντὶ τοῦ ἔμπειρος· πρὸς εὔνοιαν δὲ τῶν ἀκροωμένων ἐπαινεῖ αὐτὸν ὡς Ἀθηναῖον.

732. Ἔξω παρασπᾷ: Φυλαξάμενος, φησὶ, τούτοις συμπεσοῦσιν ἐμπεσεῖν, ἔξω ἀπ' αὐτῶν [s] περισπᾷ.

*Ibid.* Κἀνακωχεύει: [t] Ἀνασειράζει, κατέχει· ἀνακωχεύειν γὰρ κυρίως λέγεται, ὅταν χειμῶνος ὄντος ἐν τῷ πελάγει, στείλαντες τὰ ἄρμενα σαλεύωσιν αὐτόθι, μὴ διαμαχόμενοι τῷ πνεύματι· μεταφορικῶς οὖν ἐπὶ τοῦ ἅρματος εἴρηκεν· οὐ διημιλλήσατο, ἀλλ' ἀφῆκε τὸν τῶν ἵππων κλύδωνα, καὶ ὕστερος ἠρέμα ἤλαυνεν.

735. Τῷ τέλει πίστιν φέρων: Οἷον, πιστεύων ὅτι ἐπὶ τῷ τέλει τοῦ δρόμου παρελεύσεται· ἢ νομίζων ἕως τοῦ τέλους οὕτως ἐλαύνειν.

738. Κἀξισώσαντε] Ὁ Ὀρέστης καὶ ὁ Ἀθηναῖος.

743. Λύων] Χαυνῶν, διὰ τὸ συμπεπλέχθαι.

745. Χνόας] Τὸ λεπτὸν μέρος τοῦ ἄξονος, τὸ τριβόμενον ὑπὸ τῆς χοινικίδος· εἴρηται δὲ ὁμοίως τὸ παρ' Ἀπολλωνίῳ·

[u] Ἄξονος ἐν πλήμνῃσι παρακλιδὸν ἀγνυμένοιο.

[p] Gl. om. R. Br.
[q] τὸν ἀρ. Br.
[r] Deest v. R. Br.
[rr] δεινὸς om. R. Br.
[s] παρασπᾷ R. Br.
[t] ἀνασυράζει R.
[u] Ἀζόμενος—αἰνυμένοιο L. R. Locus est Argon. I. 757.

751. Λαγχάνει] γρ. Τυγχάνει.

757. Καὶ ἵνα ἀξιόπιστος εἴη ὁ ἄγγελος, ἵνα πάλιν τὸ περιπαθὲς εἴη τῇ Ἠλέκτρᾳ.

758. Μέγιστον σῶμα δειλαίας σποδοῦ] [w] Ἀντὶ αἰτιατικῆς. [Εἰς τὸ αὐτό.] Ἀντίπτωσις.

766. Ὡς μὲν γυνὴ, κεκίνηται ἐπὶ τῷ πάθει· πρὸς δὲ τὸν κίνδυνον ἀποβλέπουσα, ἥδεται· διὰ δὲ τὸν Χορὸν, ἀλγεῖν ὑποκρίνεται.

781. Ὁ προστατῶν χρόνος] Ὁ ἐπιγενόμενος.

785. Ξύνοικος ἔσομαι: Τοῦτο οἰκονομικῶς· εἰ γὰρ ἀπορήσασα ἐπὶ τοῖς ἠγγελμένοις ἀπέκλινεν ἑαυτὴν, διελύετό ἂν ἡ ὑπόθεσις.

823. Ποῦ ποτε κεραυνοὶ Διός: Ἐν τοῖς ἔμπροσθεν παραμυθούμενος ὁ Χορὸς τὴν Ἠλέκτραν, ἔλεγεν,

[x] Θάρσει μοι, τέκνον, θάρσει·
ἔστι μέγας ἐν οὐρανῷ
Ζεὺς,

καὶ τὰ ἑξῆς· νῦν οὖν πανταχόθεν ἀπεγνωσμένης τῆς σωτηρίας, καὶ [y] προστεθείσης τῆς κατὰ τὸν Ὀρέστην συμφορᾶς, εἰκότως παρακεκινδυνευμένῳ τῷ λόγῳ ἐχρήσατο, ὥστε καὶ περὶ θεῶν τι εἰπεῖν, καὶ ὅλως ἀμφιβάλλειν, εἰ ὅλως ἐν οὐρανῷ εἰσιν, εἴ γε περιορῶσι τοιαῦτα γινόμενα. Καὶ τὸν μὲν Ἥλιον ὡς πάντα ἐφορῶντα παρέλαβεν· τὸν δὲ Δία, ὡς πάντων δεσπότην ὄντα· δεῖ δὲ τὸν ὑποκριτὴν ἅμα τῇ [z] βοῇ ἀναβλέψαι τε εἰς οὐρανὸν, καὶ τὰς χεῖρας ἀνατεῖναι· ὃ δὴ κωλύει ὁ Χορὸς,

μηδὲν μέγ' ἀΰσῃς.

826. Κρύπτουσιν ἔκηλοι] Οἷον, οὐκ ἄγουσιν εἰς φῶς τὴν τούτων παρανομίαν.

827. Θρηνεῖ ἡ Ἠλέκτρα τὸν ἀδελφόν· ἐλεεινὸν δὲ λίαν τὸ [zz] τοιοῦτο μέρος.

830. Ἐν τοῖς προφανέσι καὶ ἀθεραπεύτοις πάθεσι μετριάζειν αὐτὴν ἀξιοῦσιν.

831. Ἀπολεῖς: Δαιμονίως τοῦτο ἐπήγαγεν· οὐ γὰρ ἀμελήσασα τῶν ἀπὸ τοῦ Χοροῦ ἐπιτιμήσεων, ἐρεῖ τι ἀπρεπὲς εἰς θεοὺς, ἐπεὶ καὶ τελέως ἀμηχανεῖ ὁ Σοφοκλῆς εἰς τοὺς θεοὺς βλασφημῶν· καὶ γὰρ εἷς ἦν τῶν θεοσεβεστάτων· ἀλλ' ὥσπερ δυσχεραίνουσα ταῖς ἐπιτιμήσεσιν,

[w] ἀντίπτωσις. ἀντὶ τοῦ σποδὸν δειλαίαν μεγίστου σώματος R. Br.
[x] V. 173.
[y] προτεθείσης Br.
[z] βούλη L.
[zz] τοιοῦτον μέρος R. τοιοῦτον μέλος Br.

ὡς ψυχραῖς, [a] τοῦτο φησίν. [Εἰς τὸ αὐτό.] [b] Ἀποκναίεις με, φησὶν, ἐν τοῖς ἀθεραπεύτοις παρηγοροῦσα.

836. Οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων: Χρυσοδέτοις, ταῖς διὰ χρυσοῦ γενομέναις τέχναις, τοῦ [c] δοθέντος Ἐριφύλῃ διὰ τὴν Ἀμφιαράου ἔξοδον, διὰ τὰς τῆς γυναικὸς αὐτοῦ ἀπάτας. Ἄλλως. Τὸ χρυσοδέτοις ἕρκεσιν ἢ ἐπὶ τῶν ἁρμάτων φησὶν, οἷον, τοῖς χρυσῷ δεδεμένοις καὶ κατεσκευασμένοις, ἅπερ ἕρκη εἶπεν, οἷον, περιφράγματα καὶ τείχη, ὧν οὐκ ἐξέφυγεν ὁ Ἀμφιάραος, ἀλλ' ἐνεσχέθη ἐν αὐτοῖς. Ἢ χρυσοδέτοις, τῷ ὅρμῳ, ὃς ἦν ἐκ χρυσοῦ πεποιημένος· τὸ δὲ ἕρκεσιν, οἷον, τοῖς δεσμοῖς καὶ φράγμασιν καὶ τῇ ἀνάγκῃ τῇ ἀπὸ τοῦ ὅρμου γενομένῃ· [d] Τὸ δὲ γυναικῶν ἀπάταις, ἢ τῇ ἀπὸ τῆς γυναικὸς ἀπάτῃ, ἢ καθόλου τὸν χρυσὸν γυναικῶν ἀπάτην εἶπεν· θαυμαστῶς δὲ εἴκασεν, ὅτι καὶ οὗτος διὰ γυναικῶν ἀπώλετο. [Εἰς τὸ αὐτό.] Ὁ Χορὸς φησὶν, ὅτι καὶ ἐν αὐτῷ τῷ θανάτῳ ἐστί τις εὐτυχία· τιμὴν δὲ αὐτῷ φησὶν ἔσεσθαι, διὰ τὸ μαντεύεσθαι αὐτόν.

840. Οὐ προσιεμένη οὐδὲ τοὺς τοιούτους λόγους, θρηνεῖ ἡ Ἠλέκτρα.

841. Πάμψυχος ἀνάσσει: Ἀντὶ τοῦ, πασῶν ψυχῶν ἀνάσσει, αἳ δὴ ἐν χρείᾳ καθεστᾶσι τῆς ἐκείνου μαντικῆς. Ἢ πάμψυχος, ὁ διασώσας πᾶσαν τὴν ἑαυτοῦ ψυχὴν, ἢ ὁ διαπαντὸς τὴν ψυχὴν σώζων, ὅ ἐστιν, ἀθάνατος.

842. Φεῦ] Μνησθεῖσα τῆς Ἐριφύλης ἡ Ἠλέκτρα, ἀναβοᾷ ἐπὶ τῷ ἤθει αὐτῆς δυσχεραίνουσα.

843. Φεῦ δῆτ' ὀλοὰ γάρ: Ὁ Χορὸς συγκατατιθέμενος φησὶν, ὅτι δικαίως ἀνεβόησας· ὀλοὴ γὰρ ἦν ἡ Ἐριφύλη· ὅρα δὴ οὖν εἰ ἔπραξέ τι ὁ Χορός· ἀπέσπασε γὰρ αὐτὴν τοῦ θρηνεῖν, ἐμβαλὼν τὸ κατ' αὐτὴν μύθευμα.

844. Ἐδάμη] Ἡ Ἐριφύλη δηλονότι· ὁ δὲ λόγος [e] ἀποφατικός· ὁ Χορὸς δὲ, ὡς πυνθανομένης, ἐπάγει τὸ ναι.

846. Οἶδ', οἶδ'· ἐφάνη: Οἶδα ὅτι ἐδάμη· ἐφάνη γὰρ ὁ ἐπιμελούμενος τοῦ ἐν τῷ φόνῳ, τουτέστι, τιμωρὸς τοῦ πατρός· ἐμοὶ δὲ οὐδεὶς πάρεστιν, ἀποθανόντος Ὀρέστου. Ὁ μὲν οὖν Χορὸς παρέβαλεν τὸν Ἀγαμέμνονα τῷ Ἀμφιαράῳ, ἵνα [f] Ἠλέκτρα εὔελπις εἴη περὶ τοῦ

[a] τοῦτο φησίν. οἱ δὲ ἐν τοῖς προφανέσι κ.τ.λ. cf. ad v. 830. R. Br.
[b] In principio schol. praeced. R. Br.
[c] δοθέντος ὅρμου R. Br.
[d] τὸ δὲ om. R. Br.
[e] Sic L. ἀποφαντικός R. Br.
[f] ἡ Ἠλ. R. Br.

πατρὸς, ὅτι τεύξεται τιμῆς τινος· ἡ δὲ φησὶν, ὅτι Ἀμφιάραος ὑπὸ τοῦ Ἀλκμαίωνος ἔτυχεν τιμωρίας· πάνυ δὲ περιπαθῶς τὸ πάθος τοῦ Ἀγαμέμνονος εἰς ἑαυτὴν μεταφέρει, διὰ [f] τοῦ "ἐμοὶ δ' οὔτις."

846. Μελέτωρ] Φροντιστὴς, ᾧ ἐπιμελὲς γέγονεν μετελθεῖν τὸν τοῦ πατρὸς [g] θάνατον.

*Ibid.* Ἀμφὶ τὸν ἐν πένθει] Τὸν Ἀμφιάραον.

849. Δειλαία δειλαίων: Καὶ τοῦτο εἶδος παραμυθίας, τὸ [gg] εἴς τι παραχωρεῖν τοῖς λυπουμένοις, καὶ συγχωρεῖν αὐτοῖς κλαίειν, ὡς ἐπὶ ἀπαρηγορήτοις κακοῖς.

850. Κἀγὼ τοῦδ' ἴστωρ: Κἀγὼ τούτου ἐπιστήμων εἰμὶ, ὅτι ταλαίπωρός εἰμι.

*Ibid.* Κἀγὼ τοῦδ' ἴστωρ: Οἶδα, φησὶν, ὅτι δειλαία εἰμὶ αὐτῷ τούτῳ τῷ πανσύρτῳ τῶν πολλῶν ἀχέων. [h] Πανσύρτῳ δὲ, πάντα σύροντι τὰ κακά· ἢ πανσύρτῳ, τῷ μετὰ πάσης ὁρμῆς τῶν κακῶν ὡρμημένῳ. Παμμήνῳ [i] δὲ, τῷ πολυχρονίῳ καὶ διηνεκεῖ. Δειλαία οὖν εἰμὶ, οἷον, κατ' αὐτὸ τοῦτο, καθὸ πάντα τὰ ἄχη εἰς ἡμᾶς συνεσύρη, καὶ διηνεκῆ παρέμεινεν.

854. Μή με νῦν μηκέτι: Μηκέτι οὖν με, φησὶ, [k] παρηγορήσητε, ὅπου γε οὐ πάρεισιν αἱ τῶν ἐλπίδων ἀρωγαὶ, αἱ ἀπὸ τῶν ἀδελφῶν. Κοινοτόκων [l] δὲ, τῶν ἀπ' ἀμφοῖν τῶν γονέων· διὰ δὲ τοῦ εὐπατριδᾶν ηὔξησε τοῦ πατρὸς τὸ ἐγκώμιον, οἷον, εὐγενῶν καὶ γενναίων, οἷος ἦν καὶ Ὀρέστης, γεγονὼς ἐξ Ἀγαμέμνονος. [m] Ἢ κοινοτόκων, τῶν ἀδελφικῶν, τῶν τοῦ αὐτοῦ πατρὸς κεκοινηκότων.

855. Παραγάγῃς] Παρηγορήσῃς.

856. Διὰ μέσου τὸ, τί φής;

858. Κοινοτόκων] [n] Τινὲς τῶν πᾶσι κοινῶν.

861. Ἦ καὶ χαλαργοῖς: [o] Τοῖς λευκόποσιν, ἢ ταῖς ταχείαις ἐν ταῖς χηλαῖς· χηλὰς δὲ ἀντὶ τῶν ὁπλῶν παρέλαβεν. Εἰπόντος δὲ τοῦ Χοροῦ "πᾶσι θνητοῖς ἔφυ μόρος," ἀντιτίθησιν ἡ Ἠλέκτρα· Ἆρα οὖν οὕτω πέπρωται τοῖς θνητοῖς τελευτᾶν ἐν ταῖς ἁμίλλαις ταῖς ἱππικαῖς; Τμητοῖς δὲ ὁλκοῖς, τοῖς ἱμᾶσιν· ὁλκοὺς οὖν, [p] ἀντὶ τῶν ἱμάντων ἐν οἷς εἱλκύσθη.

[f] τὸ L.
[g] θάνατον. τοῦ Ἀμφιαράου R. Br. Qui seq. gl. om.
[gg] εἴ τι R. Br.
[h] πανσύρτῳ τῷ πάντα R. Br.
[i] δὲ om. R. Br.
[k] παρηγορήσετε R. Br.
[l] δὲ om. R. Br.
[m] Seqq. in superioribus collocat Br.
[n] Post sch. ad v. 854. R. Br.
[o] ταῖς Br.
[p] ἀντὶ τοῦ τῶν R.

863. Τμητοῖς ὁλκοῖς] [q] Τμητοῖς λώροις.

864. Ἄσκοπος ἁ λώβα] Ἀπροόρατος ὁ θάνατος.

865. Πῶς γὰρ οὐκ; εἰ ξένος: Τοῦ Χοροῦ εἰπόντος, [r] Ἀπροειδὴς ἡ κατὰ τὸν ἀγῶνα, ἡ Ἠλέκτρα πρὸς ἕτερον ἐπήγαγεν, ὅτι δὴ πέπονθεν ἀπροσδοκήτως, ἐπ' ἀλλοδαπῆς τελευτῶν καὶ ἐμοῦ χωρίς.

868. Κέκευθεν] Ἀντὶ τοῦ κρύπτεται.

871. Ὑφ' ἡδονῆς τοι: Ἡ Χρυσόθεμις παραγέγονεν, τὰ ὑπὸ τοῦ Ὀρέστου ἐγκείμενα τῷ τάφῳ εὑροῦσα. Τοῦτο τὸ πρόσωπον εἰσήγαγεν, ἵνα μὴ εἰς μακρὸν ἡ ὀλόφυρσις [s] Ἠλέκτρας γένηται.

872. Λείπει ἡ ὑπερ· ὑπὲρ τοῦ σὺν τάχει μολεῖν.

875. Τῶν ἐμῶν σὺ πημάτων: Τῶν νοσημάτων τὰ μὲν θεραπεύεται προσκαίροις θεραπείαις, ὅπερ ἐστὶν ἄρηξις· τὰ δὲ θεραπεύεται παντελῶς, ὅπερ ἐστὶν ἴασις· κατ' οὐδένα οὖν τρόπον προκόπτει τὰ ἡμέτερα ἐπὶ τὸ βέλτιον.

876. Ἰδεῖν] [t] Ἔτι.

878. Κλύουσ' ἐναργῶς: Ἐπὶ τοῦ κλύουσα πρὸς βραχὺ διαστικτέον, ἵν' ᾖ, πάρεστ' ἐναργῶς, ἴσθι τοῦτο κλύουσα ἐμοῦ.

888. Βλέψασα θάλπῃ: Ἀντὶ τοῦ, παρακόπτεις τὰς φρένας, ὡς ἐν πυρετῷ. Ἀνηκέστῳ δὲ πυρὶ, ὡς εἰ ἔλεγεν ἀνιάτῳ ἐλπίδι· ἀνέλπιστον γὰρ τὸ παραγενέσθαι Ὀρέστην ἤδη ἀπολωλότα. [Εἰς τὸ αὐτό.] [u] Θερμαίνεις τῇ χαρᾷ.

893. Ἀρχαῖον] Τὸν ἐκ πολλοῦ ᾠκοδομημένον.

895. Πηγὰς γάλακτος] Πολὺ γάλα, ὡς τὸ [uu] δακρύων πηγὰς, ἀντὶ τοῦ πολλὰ δάκρυα.

896. Θήκην πατρός] Τὴν σορὸν λέγει, ἔνθα τὸ λείψανον ἐτέθη.

901. Νεωρῆ] Τὸν νεωστὶ ἠρτημένον· ἢ ἐκ νέου τινὸς, καὶ ὥραν ἔχοντος νέαν.

903. Σύνηθες ὄμμα] Ὅραμα, ὃ ἀεὶ ἐφανταζόμην κατὰ ψυχήν.

909. Τὸ μὲν ἀπὸ τῆς ὄψεως τοῦ βοστρύχου κινεῖσθαι ἐπὶ τὴν ἀλήθειαν, γελοῖον· πιθανῶς οὖν ἐπάγει, ὅτι οὐδενὶ ἄλλῳ ἢ τῷ πάνυ συνημμένῳ κατὰ γένος τὰ τοιαῦτα προσήκει.

*Ibid.* Τόδε] [w] Τὸ ἀποκείρασθαι τὰς κόμας δηλονότι.

[q] In gl. praec. R. Br.

[r] ἀπροΐδης R. Br. λώβη post ἀγῶνα addit Br.

[s] ἡ Ἠλέκτρας R. Br.

[t] Gl. om. R. Br.

[u] Gl. om. R. Br.

[uu] Antig. 803.

[w] In gl. praeced. R. Br.

915. Τἀπιτίμια] Τὰ ἐπὶ τῇ τιμῇ γινόμενα τοῦ πατρός. [Εἰς τὸ αὐτό.] γρ. Ἀγλαΐσματα.

919. Κῦρος] [x] Ἐπιτευκτικὴ καὶ κυρία. [Εἰς τὸ αὐτό.] Ἐπιτυχία.

922. Φέρῃ] γρ. ἔφυς.

929. Οὐδὲ μητρὶ δυσχερής] Ὅ ἐστιν, οὐ κατὰ τοῦτο τῇ μητρὶ δυσχερὴς ὀφθεὶς, καὶ διὰ τῆς ἀγγελίας λυπήσας αὐτήν.

*Ibid.* Δυσχερής] γρ. δυσμενής.

933. Μνημεῖ' Ὀρέστου] Τοῦ Ὀρέστου μνημόσυνα.

942. Ὧν ἐγὼ φερέγγυος] Ὧν ἐγὼ εἰς τὸ πράττειν ἀσφαλής εἰμι. [Εἰς τὸ αὐτό.] Φερέγγυος λέγεται, ὁ ἐκδεξάμενός τι καὶ δυνάμενος ἀποτῖσαι, οἷον, ἀξιόχρεως, δυναμένη ἀναδέξασθαι.

944. Ἀλλ' εἴ τις ὠφέλειά γε] Τοῦτο τῷ προτέρῳ ὅμοιον,

Ἢ τοὺς θανόντας ἐξαναστήσω ποτέ;

945. Εὐτυχεῖ] Ἀντὶ τοῦ, ἐπιτυγχάνεται.

946. Ξυνοίσω] Συμπονήσω. [Εἰς τὸ αὐτό.] Τοῦτο συνῳδὸν τῷ,

Τί γὰρ κελεύεις, ὧν ἐγὼ φερέγγυος;

947. Ποεῖν] γρ. τελεῖν.

948. Καὶ ποῦ σοι φίλων] [y] γρ. καὶ σύ που φίλων, ἤγουν, καὶ πόθεν σοι ἔσονται φίλοι.

953. Πράκτορα] Ἔκδικον.

958. Ποῖ: Ἀντὶ τοῦ, εἰς τίνα χρόνον.

964. Οὐ γὰρ ὧδ' ἄβουλός ἐστ' ἀνήρ: Προειποῦσα τὰ δεινὰ, τὸ χαλεπώτερον ἐπιφέρει, ὡς οὐδὲ μεταβολῆς τυχεῖν ἐλπὶς ἔνεστιν.

975. Τίς γάρ ποτ' ἀστῶν: Ὅρα ἐν τούτῳ τῷ λόγῳ τὰς ἐπιχειρήσεις τῆς Ἠλέκτρας, ὅτι πάντα τέθεικεν τὰ ἀγαθὰ, ἅπερ αὐταῖς παρέσται ἀνελούσαις τὸν Αἴγισθον· τὰ δὲ ἕτερα ὑπεξῄρηκεν, ὁποῖα πείσονται ἁλοῦσαι· καίτοι ἦν κατὰ τὸ πάθος τῆς Ἠλέκτρας κἀκεῖνα [z] προσθεῖναι, ὅτι καλόν μοι ἀποθανεῖν οὕτω δυστυχούσῃ, ὁποῖα καὶ πρόσθεν ἔλεγεν·

[a] ὡς χάρις μὲν, ἂν θάνω,
λύπη δ', ἐὰν ζῶ·

ἀλλ' ᾔδει τὸ περίφοβον τῆς Χρυσοθέμιδος, ὥστε ἑκοῦσα τοὺς δειλοτέ-

[x] ἐπιτυχίαν ἄρξει R. Br.
[y] Gl. om. R. Br.
[z] προσθῆναι R.
[a] V. 821.

ρους τῶν λόγων ὑπεξεῖλεν, ὥστε μηδὲ εἰς ἔννοιαν τῶν κινδύνων ἐκείνην καταστῆσαι.

977. Ἴδεσθε τώδε: Ἐπὶ τῶν θηλυκῶν τοῖς ἀρσενικοῖς ἄρθροις κέχρηται, ὅπερ σύνηθες Ἀττικοῖς· τὼ χεῖρε γὰρ φασίν· καὶ Ὅμηρος·

[b]Τὼ δὲ βάτην τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι.

[Εἰς τὸ αὐτό.] Τώδε, [c]ἀντὶ τοῦ τάσδε.

978. Ὦ, ἀντὶ τοῦ, αἵτινες.

980. Προὐστήτην φόνου] Προέστησαν περὶ τοῦ φόνου τῶν ἐχθρῶν.

981. Τούτω] Ἀντὶ τοῦ, ταύτας.

984. Τοιαῦτα πᾶς τις ἐρεῖ. [d]Ἤτοι οὕτως ἐπαινέσεται ἡμᾶς, ὥστε μὴ λιπεῖν ἡμῖν τὸ κλέος καὶ ζώσαις καὶ θανούσαις.

985. Μὴ 'κλιπεῖν] [e]γρ. μοι λιπεῖν.

990. Ἐν τοῖς τοιούτοις ἐστίν: Ὁ Χορὸς ὑπερτεθαυμακὼς τὸ τολμηρὸν τῆς Ἠλέκτρας, φησὶν, ὅτι μετὰ προγνώσεως καὶ ἀσφαλείας [f]τὰ τοιαῦτα δεῖ καὶ λέγειν καὶ ἀκούειν.

993. Ἐσώζετ' ἂν, [g]φησὶ, τὴν εὐλάβειαν. Οὐ σώζει, φησὶ, τὴν εὐλάβειαν, ἀλλ' ἔστι θρασεῖα καὶ ῥιψοκίνδυνος.

995. Τοιοῦτον θράσος αὐτή θ' ὁπλίζει: Λίαν [h]ἐμφατικῶς τῷ θράσει φησὶν αὐτὴν ὁπλίζεσθαι, ὡς μηδὲν ἀμυντήριον αὐτὴν ἔχουσαν, [i]ἢ μόνον θράσος.

997. Γυνὴ μὲν οὐδ' ἀνήρ: Ταῦτα πάντα ὅμοιά [k]ἐστι τοῖς ἐν Ἀντιγόνῃ· εἴ τις παραβάλοι, εἴσεται τοῖς αὐτοῖς διανοήμασι χρησάμενον Σοφοκλέα.

998. Σθένεις δ' ἔλασσον] Τοῦτο δεύτερον κεφάλαιον.

999. Δαίμων δέ: [l]Τοῦτο τρίτον κεφάλαιον καὶ ἀναγκαιότερον, ὡς οὐδὲ ἐκ παραδόξου κατορθῶσαι ἡμᾶς τὴν ἐπιχείρησιν εἰκὸς, τῆς τύχης μὴ συλλαμβανομένης.

1000. Ἀπορρεῖ] Ἐλαττοῦται, μαραίνεται.

1005. Λύει γὰρ ἡμᾶς οὐδέν: Οὐ λυσιτελεῖ γὰρ ἡμῖν, φησίν· οὐκ ἀπαλλάσσει τῶν κακῶν. [[m]Εἰς τὸ αὐτό.] Οὐδὲν ἡμᾶς ἐκλύσεται.

[b] Il. ε'. 778.
[c] In gl. praeced. R. Br.
[d] ἤγουν R. Br.
[e] Gl. om. R. Br.
[f] δεῖ τὰ τοιαῦτα R. Br.
[g] φησὶ om. R. Br.
[h] ἐμφαντικῶς R. Br.
[i] εἰ μὴ μόνον R. Br.
[k] ἐστι om. R. Br.
[l] τὸ τρίτον R. Br.
[m] ἢ ἀντὶ τοῦ R. Br.

1006. Δυσκλεῶς θανεῖν: Ἐνταῦθα δηλοῖ τὸ μετ' αἰσχρᾶς τιμωρίας ἀποθανεῖν. Καὶ Ὅμηρος·

[n]Μὴ μὲν δὴ καθαρῷ θανάτῳ ἄπο θυμὸν ἑλοίμην.

1007. Ἀλλ' ὅταν θανεῖν χρῄζων: Ὅρα ὅτι τοῦτο δηλοῖ τὸ δυσκλεῶς. [Εἰς τὸ αὐτό.] [o]Λείπει τὸ καλῶς.

1008. Εἶτα μηδὲ τοῦτ' ἔχῃ: Οὐ τὸ τοῦ θανάτου δεινόν ἐστιν, ἀλλ' ὅταν ἐπιθυμῶν τις ἀποθανεῖν, ὥστε τὰς παρούσας κολάσεις ἐκφυγεῖν, τότε μηδὲ τούτου τύχῃ· τοιαῦτα οὖν πεισόμεθα, ὧν ὁ θάνατος αἱρετώτερος.

1013. Ἀλλὰ τῷ χρόνῳ ποτέ] Ἐν ὑπερβατῷ.

1018. Ἃ 'πηγγελλόμην: Ἀντὶ τοῦ, ἃ ἠξίουν· τὸ δὲ παρακαλεῖν, [p]ἀπαγγέλλειν φησίν.

1019. Ἀλλ' αὐτοχειρί μοι] Παρατήρει κἀνθάδε τὴν εὐτολμίαν, ὡς καὶ ἐν Ἀντιγόνῃ. [Εἰς τὸ αὐτό.] [q]Ἀλλ' οὐδὲν ἧσσόν μοι.

1026. Εἰκὸς γὰρ τὸν κακῶς ποιεῖν ἐπιχειροῦντα, καὶ πάσχειν κακῶς· τοῦτο δὲ Πινδαρικόν·

[r]ἐπηρεάζοντά τι καὶ παθεῖν ἔοικεν.

1028. Οἷον, ἔσται καιρὸς, ὅτε με εὐφημήσεις. [Εἰς τὸ αὐτό.] Ἤτοι πεισθήσομαι καὶ ἐπαινέσω σε, ὅταν [s]καλῶς λέγῃς.

1029. Οὐκ ἀτιμάζω σε, ἀλλὰ προνοοῦμαί σου.

1039. Ἧ δεινὸν εὖ λέγουσαν: Δεινὸν ἐμὲ καλῶς λέγουσαν δοκεῖν ἐξαμαρτάνειν· ἐπεὶ δὲ ἡ Χρυσόθεμις καλῶς λέγει, δοκεῖ δὲ ἁμαρτάνειν διὰ τὸ μὴ πράσσειν τὰ δίκαια ὑπὲρ ἐκδικίας τοῦ πατρὸς, πρὸς τοῦτο [t]φησὶν ἡ Ἠλέκτρα· Δεινόν ἐστι σύμφορα δοκοῦσαν συμβουλεύειν, ἄδικα πράσσειν καὶ ἁμαρτάνειν· ὅπερ ἡ Χρυσόθεμις εἰς Ἠλέκτραν τρέπει ἐν τῷ ἑξῆς στίχῳ.

1040. Εἴρηκας ὀρθῶς ᾧ σὺ πρόσκεισαι κακῷ: [u]Τὸ ἁμαρτάνειν· λέγουσα γὰρ δίκαια καὶ εὐπρεπῆ, ἐν αὐτοῖς ἁμαρτάνεις· ἀλυσιτελῆ γὰρ ἐπιχειρεῖς ποιεῖν.

1044. Ἀλλ' εἰ ποιήσεις ταῦτα: Οἷον, τοῖς δεινοῖς περιπεσοῦσα, ἐπαινέσεις με σύμφορά σοι βουλεύσασαν.

1046. Πάλιν] Εἰς τοὐπίσω, εἰς τὸ ἐναντίον.

[n] Od. χ'. 462. μή με δὴ L.
[o] Gl. om. R. Br.
[p] ἐπαγγέλλειν Br.
[q] Gl. om. R. Br.
[r] ἐπεὶ ῥεάζοντα R. ἐπεὶ ῥέζοντα Br. Vid. Nem. IV. 51.
[s] εὖ R. Br.
[t] φησὶν om. R. Br.
[u] τῷ R. Br.

1052. Μεθέψομαι] Ἀντὶ τοῦ κοινωνήσω.

1056. Παρὰ τὸ Ὁμηρικόν·

[w] ῥεχθὲν δέ τε νήπιος ἔγνω.

1058. Τί τοὺς ἄνωθεν φρονιμωτάτους: Τὸ ἄνωθεν ἢ τόπου, ἢ χρόνου ἐστίν· ἄνωθεν ἐκ φύσεως, ἢ τοὺς ἐν τῷ ἀέρι. Οἰκεῖον δὲ τῷ Χορῷ ἀγανακτοῦντι ἐπὶ τῇ Κλυταιμνήστρᾳ, τὸν περὶ τῶν ἀλόγων ἐνταῦθα [x] περιλαβεῖν λόγον, ὅτι ἐν τοῖς ἀλόγοις ζώοις φυσική τις ἐστὶ φιλοστοργία· ἡ δὲ Κλυταιμνήστρα ἄστοργος. Τὸ δὲ ἑξῆς· Τί τοὺς ἄνωθεν φρονιμωτάτους οἰωνοὺς ὁρῶντες καλῶς κηδομένους τῆς τροφῆς, ἀφ' ὅτων τε ἂν βλαστῶσι, καὶ ἀφ' ὧν ἂν ὄνησιν εὕρωσιν· ἐπὶ τῶν τέκνων τὰ δύο· ἀφ' ὧν τ' αὐτοῖς βλαστῶσι τὰ τέκνα, ἀφ' ὧν τε καὶ ὄνησιν εὕρωσιν. Λέγονται δὲ οἱ πελαργοὶ γεγηρακότας τοὺς γονεῖς βαστάζειν τοῖς πτεροῖς, ἕως [y] ὅπου πτεροφυήσωσιν.

1062. Τάδ' οὐκ ἐπ' ἴσας τελοῦμεν: Καλῶς ὁ Χορὸς καὶ ἑαυτὸν συγκαταλέγει, ἵνα μὴ δοκῇ φορτικὸς εἶναι τούτοις, καθ' ὧν τὸν λόγον πεποίηται.

1065. Οὐκ ἀπόνητοι: Ἀντὶ τοῦ, οὐκ ἐπιπολὺ ἔσονται ἀθῷοι οἱ περὶ Αἴγισθον καὶ Κλυταιμνήστραν.

1066. Ὦ χθονία βροτοῖσιν: Οὐ τὴν ἐπίγειον φησὶν, ἀλλὰ τὴν κατὰ γῆς χωρῆσαι δυναμένην.

1068. Τοῖς ἔνερθ' Ἀτρείδαις] Ἢ Ἀγαμέμνονα, ἢ Ὀρέστην· δοκοῦσι γὰρ αὐτὸν τεθνηκέναι.

1069. Ἀχόρευτα φέρουσ' ὀνείδη: Ἐφ' οἷς οὐκ ἄν τις χορεύσειεν. Ὀνείδη δὲ, τὰ πένθιμα ὀνείδη· ἐπειδὴ ὄνειδος ἦν τῇ Κλυταιμνήστρᾳ ἐπιχαίρειν Ὀρέστῃ.

1070. Ὅτι σφίσιν ἤδη: Ἡ ἀπότασις πρὸς τὴν Κλυταιμνήστραν· ἄγγειλον οὖν, φησὶν, ὅτι τὰ κατ' οἶκον νενόσηκεν καὶ οὐκ ἔστιν ὑγιῆ.

1072. Οὐκέτ' ἐξισοῦται: Οὐκέτι ἶσα φρονοῦσιν, ὡς ἐν φιλίᾳ διαιτώμεναι, ἀλλὰ στασιάζουσι πρὸς ἀλλήλας.

1074. Πρόδοτος δὲ μόνα σαλεύει; Κινδυνεύει· ἐκ μεταφορᾶς τῶν νηῶν· μόνη δὲ, αὐτὴ ἐφ' ἑαυτῆς χωρὶς ἀγκύρας.

1075. Τὸν ἀεὶ πατρός: Λείπει ἡ περι· περὶ τοῦ πατρὸς στενάχουσα, ὡς τὸ Ὁμηρικόν·

[w] Il. ρ'. 32.

[x] παραλαβεῖν R. Br.

[y] ὅτου Br.

[z]Τῶν πάντων οὐ τόσσον ὀδύρομαι, ἀχνύμενός περ, ὡς ἑνός.

Τὸ δὲ ἑξῆς· ἀεὶ τὸν τοῦ πατρὸς μόρον στενάχουσα· ἢ τὸν ἀεὶ, εἰς τὸν ἀεὶ χρόνον. [Εἰς τὸ αὐτό.] [a]Λείπει ἡ περί.

1078. Οὔτε τι τοῦ θανεῖν προμηθής] Πρόνοιαν οὐκ ἔχουσα τοῦ μὴ ἀποθανεῖν, ὅ ἐστιν, ἀφειδοῦσα τῆς ἰδίας [b]τύχης, καὶ ῥιψοκινδυνοῦσα.

1079. Τό τε μὴ βλέπειν ἑτοίμα: Ἑτοίμη καὶ τῆς ὄψεως στέρεσθαι, τουτέστιν, ἀποστερηθῆναι τῶν ὀμμάτων· ἀντὶ τοῦ, καὶ ἀποθανεῖν ἑτοίμη, καὶ ζῶσα κολάζεσθαι· καὶ τοῦτο λέγει διδύμην Ἐρινύν. Ἢ ἐπὶ τοῦ θανάτου τὰ δύο· ἑτοίμη μὴ βλέπειν αὐτοὺς, ἀλλ' ἐν σκότει γενέσθαι τοῦ θανάτου, ἐν τῇ αὐτῇ [c]Ἐρινύει γενομένη τῷ Ἀγαμέμνονι, ὅ ἐστι, διπλῆ Ἐρινύς.

1080. Διδύμαν Ἐρινὺν] Αἴγισθον καὶ Κλυταιμνήστραν.

1084. Νώνυμνος τῆς εὐκλείας θέλων γενέσθαι.

*Ibid.* Ὦ παῖ παῖ: Οὕτω καὶ σὺ, ὦ παῖ, εἵλου τὸν αἰῶνα πάγκλαυτον. Κοινὸν [d]δὲ, διηνεκῆ καὶ κοινὸν ἐπὶ παντὸς αἰῶνος ἑαυτῆς.

1087. Τὸ μὴ καλὸν καθοπλίσασα] Καταπολεμήσασα τὸ αἰσχρὸν καὶ νικήσασα· οἷον, τοὺς ἐχθροὺς καταγωνισαμένη.

1095. Ἃ δὲ μέγιστ' ἔβλαστε νόμιμα: Ἃ δὲ φυσικὰ καὶ μέγιστα νόμιμα ἔβλαστε, τούτων [e]ἀποφερομένη τὰ ἄριστα. Ἢ ἐριστά· ἀμφηρίστῳ τῇ εὐσεβείᾳ τῇ τοῦ Διός· ἢ ἐριστὰ τῇ εὐσεβείᾳ, ᾗ ἄν τις ἐρίσειεν, ἀντὶ τοῦ περισπουδάστῳ· προσφερομένην τῇ εὐσεβείᾳ τὰ νόμιμα, ἀντὶ [f]τοῦ, μετὰ εὐσεβείας [g]πράττουσα.

1097. Ἄριστα τᾷ Διός] γρ. [f]ἄριστα τᾷ Ζηνός.

1098. Θαυμαστὴ ἡ οἰκονομία τοῦ ποιητοῦ, μὴ ἅμα τῇ ἀπαγγελίᾳ τοῦ θανάτου κομίσαι τὰ λείψανα, ἵνα εὔλογος πρόφασις [h]τῆς παρόδου γένηται τῷ [i]Ὀρέστῃ, καὶ παραυτὰ ὁ ἀναγνωρισμὸς πρὸς αὔξησιν τοῦ πάθους. [Εἰς τὸ αὐτό.] Ὀρέστης πάρεστιν σὺν τῷ Πυλάδῃ κομίζων τὰ λείψανα τῶν λογοποιουμένων ὀστῶν ἑαυτοῦ.

1101. Ἱστορῶ] γρ. μαστεύω.

[z] Il. χ'. 424.
[a] Gl. om. R. Br.
[b] ψυχῆς Br.
[c] ἐρινύϊ R. Br.
[d] δὲ om. R. Br.
[e] ἀποφερομένην R. Br.
[f] τοῦ om. R. Br.
[ff] ἀρίστα ταζηνός L. γράφεται τὰ ζηνὸς R.
[g] πράττουσαν R. Br.
[h] γένηται τῆς παρόδου R. Br.
[i] In principio gl. praeced. R. Br.

1102. Ἀζήμιος] Ἀληθὴς, καὶ οὐχ ὑπέχων ζημίαν τοῦ ψεύδους. [Εἰς τὸ αὐτό.] [k]Ἄμεμπτος.

1117. Ἀξιοπίστως ἄγαν Ὀρέστης σκληρός ἐστιν, οὐχ οἷον δεῖ ἄγγελον εἶναι, καὶ συναχθόμενον τοῖς ἀτυχήμασιν ἔσθ' ὅτε.

1123. Εἰκὸς αὐτοῖς ἕπεσθαί τινας· περιπαθῶς δὲ λίαν τὸ ἥ τις ἐστίν.

1127. Ψυχῆς Ὀρέστου λοιπόν] Λοιπὸν μνημεῖον. [Εἰς τὸ αὐτό.] [l]Λαβοῦσα τοῦ τεύχους φησίν· ὑπερφυῶς δὲ ἔχει τῇ διαθέσει, λαβοῦσαν καὶ βαστάζουσαν τὰ ὀστᾶ ὀδύρεσθαι. Ὅμηρος·

[m]Ζωὸν μέν σ' ἔλιπον ἐγὼ, κλισίηθεν ἰοῦσα.

1137. Σῆς κασιγνήτης δίχα] Οἷον, τῆς μόνης σου κηδομένης· ὅλα δὲ ἐπιτέταται τῷ πάθει, διὰ τὸ παρεῖναι τὸν Ὀρέστην· ὡς καὶ Πηνελόπη παρόντα Ὀδυσσέα θρηνεῖ παρ' Ὁμήρῳ, ἐν οἷς φησί,

[n]ἑὸν ἄνδρα παρήμενον·

ἐνθάδε δὲ δίκαιον δηλοῦσθαι, ὅτι ἀδελφὴ αὐτοῦ ἐστὶν ἡ ἐν τῷ λόγῳ· ἀγνοῶν γὰρ αὐτὴν Ὀρέστης, ἀπολοφυρομένην γνώσεται.

1142. Ἐν σμικρῷ κύτει] [o]Τῇ θήκῃ.

1146. Οὐ γὰρ ἦς, φησὶ, τῆς μητρός ποτε ἢ καὶ ἐμοῦ μᾶλλον, ἵνα ἐπὶ τοῦ ἦσθα διαστείλωμεν· οὐκ ἦσθα τῆς μητρὸς, ἀλλὰ μᾶλλον καὶ ἐμοῦ· οἷον, ἐγώ σοι μᾶλλον ἤμην μήτηρ, ἤπερ ἡ Κλυταιμνήστρα· τὸ δὲ φίλος, ἀντὶ τοῦ ὄφελος. Ἄλλως. Οὐκ ἦς τῆς μητρὸς φίλος μᾶλλον ἢ ἐμοῦ· ἀντὶ τοῦ, οὐ τῇ μητρὶ προσέκεισο μᾶλλον· ἄμεινον δὲ τὸ ἕτερον, διὰ τὴν ἡλικίαν τοῦ Ὀρέστου, ἐφ' ᾗ τὸ φίλον εἶναι αὐτὸν καὶ διακρίνειν τινὰ τότε οὐκ ἐνεχώρει· μικρὸς γὰρ ἦν.

1171. Πιθανῶς πρόσκειται τὸ ὄνομα τῆς Ἠλέκτρας, ἵνα μάθῃ Ὀρέστης· οὐ γὰρ μόνη ἦν αὐτῷ ἀδελφή· τοῖς δὲ κοινοῖς βοηθήμασι χρῆται ὁ Χορὸς ἐν τῇ παρηγορίᾳ.

1174. Ἀναγκαῖον ἐμφανισθῆναι τὸν Ὀρέστην· διεφθάρη γὰρ τὸ συνεκτικὸν τῆς ὑποθέσεως, σιωπῶντος αὐτοῦ.

1175. Γλώσσης] [oo]Γνώμης.

1178. Τοῦτο δύναται μὲν καὶ ἡ Ἠλέκτρα λέγειν· εὐπρεπέστερον δὲ τῷ Χορῷ περίκειται, ἵνα μὴ περὶ τοῦ ἑαυτῆς εἴδους [p]εἰπέ τι· θαυ-

[k] Gl. om. R. Br.

[l] τοῦτο δέ φησι λαβοῦσα τοῦ τεύχους R. et sic fere Br. qui τὸ τεῦχος.

[m] Il. τ'. 288.

[n] σὸν L. R. Locus est Od. τ'. 209. Mox ἡ ἐν τῷ λ. Br.

[o] Gl. om. R. Br.

[oo] γράφεται γνώμης R. Br.

[p] εἴπῃ Br.

μαστῶς δὲ τὴν μὲν Κλυταιμνήστραν ἀπὸ τοῦ λαμπροῦ σχήματος ὁ ἄγγελος ἐγνώρισεν· οὗτος δὲ οὐ γινώσκει τὴν Ἠλέκτραν, διὰ τὸ κεκακῶσθαι τὸ σῶμα.

1180. [q] Ἆρα οὐ περὶ ἐμοῦ τάδε.

1184. Ἐπισκοπῶν] [r] Καθορῶν.

1186. Ἐν τῷ] Ἐν τίνι; ἢ διὰ τί; [Εἰς τὸ αὐτό.] Ποίῳ λόγῳ εἰρημένῳ τοῦτον συνῆψας τὸν λόγον;

1193. Τῇδε] Εἰς τοῦτο.

1194. Οὐκ ἴσα [s] πράσσει τῷ τῆς μητρὸς ὀνόματι.

1211. Ἡ προς ἀντὶ τῆς μετα.

1214. Οὕτως ἄτιμός εἰμι] Ὥστε [t] μητὲ ὀνομάζειν αὐτόν.

1215. Οὐχὶ σόν] Οὐ σοὶ προσῆκον.

1217. Ἠσκημένον] Κατεσκευασμένον· ἀσκήματα γὰρ, τὰ κατασκευάσματα.

1223. Σφραγῖδα] Τὸν δακτύλιον.

1225. Ὦ φθέγμ'] Λείπει φίλτατον.

1226. Χεροῖν] [u] γρ. χερσί.

1233. Γοναὶ σωμάτων] Ἀντὶ τοῦ ἑνικοῦ, γονὴ σώματος ἐμοὶ φιλτάτου, τοῦ Ἀγαμέμνονος.

1235. Εἴδεθ' οὓς ἐχρῄζετε] Ἀντὶ τοῦ ἐμέ.

1236. Ἀλλὰ σῖγ' ἔχουσα πρόσμενε] Ἀντὶ τοῦ, σῖγα ἕως ἂν κατὰ νοῦν ἀποβῇ τὸ πᾶν.

1240. Παράκειται ἑκάστῳ τὸ οἰκεῖον· ἡ μὲν γὰρ γυνή τε οὖσα, καὶ [παρὰ] προσδοκίαν εὐτυχοῦσα, θρασυτέρα ἐστίν· ὁ δὲ [w] ἀσφαλὴς, διὰ τὸ νῦν πρῶτον ἐπιχειρεῖν τοιούτῳ κινδύνῳ.

1239. Ἀλλ' οὐ τὰν Ἄρτεμιν: Ἡ ἀπότασις πρὸς Κλυταιμνήστραν· ὅρα δὲ, εἰ οἰκεῖα ταῦτα τῇ Ἠλέκτρᾳ, παρόντος Ὀρέστου, ὁπότε καὶ μόνη οὖσα τοσοῦτον ἐθρασύνετο.

1243. Ὅρα γε μὲν δή: Ἐπὶ τὴν Κλυταιμνήστραν τείνων φησὶν, ὅτι τὸν Ἀγαμέμνονα ἀνεῖλεν.

1245. Ὀτοττοῖ: Ἐπείπερ ὑπέμνησεν αὐτὴν τῆς τοῦ πατρὸς ἀναιρέσεως διὰ τῶν προειρημένων δύο στίχων, φησὶν ὅτι ἐνέβαλές μοι

[q] Gl. om. R. Br.

[r] ἀντὶ τοῦ, ἀμφ' ἐμοὶ καθορῶν στενάζεις R. Br.

[s] πράττει R. Br.

[t] μηδὲ Br. Mox αὐτὸν δηλονότι R. Br.

[u] Gl. om. R. Br.

[w] ἧττον ἀσφαλὴς R. Br.

κακὸν ἀνέφελον, καλυφθῆναι μὴ δυνάμενον, ἀσκίαστον, [x] ὡς ἔφην, διάδηλον κακόν.

1246. Ἀνέφελον] Ὑπὸ μηδεμιᾶς νεφέλης κρυβῆναι δυνάμενον.

1248. Οὔ ποτε καταλύσιμον] Οὐ καταλυόμενον· ὁ δὲ νοῦς· λήθης τυχεῖν μὴ δυνάμενον.

1251. Ἀλλ' ὅταν παρουσία: Ὅταν ἐπιτρέπῃ ὁ καιρὸς καὶ καλῇ· ἢ ὁπόταν ἡ παρουσία τούτων ᾖ, καὶ ὁ καιρὸς ἐπιτήδειος· τὸ γὰρ διεξιέναι τὰ κατὰ τὸν Ἀγαμέμνονα, δι' ὄχλου ἦν τοῖς θεαταῖς ἐπισταμένοις τὸ πᾶν, καὶ περιμένουσιν ἰδεῖν τὰ ἐξ Ὀρέστου [y] γενόμενα.

1253. Ὁ πᾶς χρόνος πρέποι τῇ δικῇ λέγειν με ταῦτα.

1255. Τάδε δίκαια] γρ. τάδε δίκα.

1257. Σώζου τόδε] Ποῖον; τὸ ἐλευθεροστομεῖν· τοιγαροῦν ἀντέχου τῆς ἐλευθεροστομίας.

1259. Μὴ μακράν] Ἀντὶ τοῦ, μὴ μακρῶς.

1260. Τίς ἂν, φησὶ, [z] σοῦ φανέντος, δικαίως ἕλοιτο ἀντὶ λόγων σιωπήν;

1265. Ὑπερτέραν] Λείπει τὸ χάριν.

1266. Τᾶς πάρος χάριτος] Τῆς σῆς παρουσίας.

1275. Ὧδ' ἰδών] [a] γρ.

1276. Μὴ ἀποστερήσῃς με, φησὶ, τοῦ μεθέσθαι τῶν προσώπων καὶ ἀπαλλαγῆναι μετὰ ἡδονῆς, ὅπερ μοι παρέσται ἐπιπλέον μετεχούσῃ σου, καὶ ἀπολαυούσῃ· οὕτω γὰρ ἀπαλλαγήσομαι μετὰ ἡδονῆς· ἐὰν δὲ ἤδη ἀποστερήσῃς σαυτοῦ, μετὰ λύπης ἀπαλλαγήσομαι.

1278. Ἄλλοισι] [b] Τοῖς μὴ χαίρουσι τῇ ἐμῇ παρουσίᾳ.

1281. Ὦ φίλαι, ἔκλυον ἂν ἐγώ: Ὦ φίλαι, οἵαν ἤκουσα φήμην περὶ τοῦ ἀδελφοῦ ἀπροσδόκητον, ἐφ' ᾗ οὔτε σιωπῆσαι ἂν ἠδυνάμην, οὔτε ἀκούσασα βοῆσαι· καὶ γὰρ ἡ ἡδονὴ προετρέπετο αὐτὴν βοῆσαι, καὶ ὁ φόβος, ὁ περὶ τὸν Αἴγισθον καὶ τὴν μητέρα, σιωπῆσαι· ὅμως δὲ ἔχω σε φιλτάτην ἔχοντα πρόσοψιν. [Εἰς τὸ αὐτό.] Ὁ νοῦς· ἔκλυον αὐδὴν, ἣν οὐδέποτε ἤλπισα, καὶ ἔσχον τρόπον ἄναυδον τῷ μὴ δύνασθαι ἀκούειν, οὐδὲ βοῶντός τινος ἀκούειν δυναμένη· οὕτως ἐξέστην ἐμαυτῆς· λέγει δὲ περὶ τῆς [c] ἀπωλείας τοῦ Ὀρέστου ὅτε ἤκουσεν.

Ἐμφαντικὸν τὸ συνεχὲς τῆς ταυτολογίας· ἤρκει γὰρ κἂν ἓν τῶν λελεγμένων.

[x] ὡς εἰ ἔφη R. Br.
[y] γιγνόμενα R. Br.
[z] νοῦς ἄφαντος L. R.
[a] Sic nec plura in Elmsleii apographo. γράφεται ὦ δ' ἰδὼν R. ὦ δι' 'δών Br.
[b] Gl. om. R. Br.
[c] ἀπολείας R.

1288. Ἀφαιρεῖται γὰρ, φησὶν, τὴν εὐκαιρίαν τῶν μελλόντων πραχθῆναι τῶν λόγων ἡ ἀδολεσχία.

1304. Λεξαίμην βραχύ] γρ. Βουλοίμην βραχύ.

1307. Εἰκὸς γὰρ καὶ ἔξωθεν ταῦτα πεπύσθαι τὸν Ὀρέστην.

1311. Ἐντέτηκέ μοι] Πρὸς τὴν μητέρα δηλονότι.

1322. Τινὲς τὸν Χορὸν φασὶ λέγειν ταῦτα.

*Ibid.* Τοῦ παιδαγωγοῦ μέλλοντος ἐξιέναι, ὁ Ὀρέστης αἰσθόμενος τοῦ ψόφου, ἀγνοῶν κελεύει αὐτὴν σιγᾶν· διὸ καὶ Ἠλέκτρα ὡς ξένοις διαλέγεται.

1324. Τοιαύτην ἀγγελίαν [d] φέροντες, ἣν οὐκ ἄν τις ἀπώσαιτο, λαβεῖν τὰ ὀστᾶ, οὐδὲ ἡδέως λάβοι, ὅτι κακή ἐστιν.

1326. Ἐπιτιμᾷ αὐτοῖς, ὅτι φανεροὶ τοῖς ἐχθροῖς γίνονται.

1328. Ἐκγενής] Ἐγγεγενημένος, ἢ ἄξιος τοῦ γένους.

1332. Ἦν ἂν ὑμῖν ἐν δόμοις] Οἷον, πρὶν ἰδεῖν τὰ σώματα ὑμῶν οἱ ἐχθροὶ, ἔγνωσαν ἂν τὰ βουλεύματα τῆς ψυχῆς.

1338. Ἐν τοῖς τοιούτοις] [e] Καιροῖς.

1344. Θαυμαστῶς ὑπὲρ τοῦ μὴ ἐπιπλέον διατρίβειν, ὡς καὶ Ὀρέστης ἐν τοῖς ἔμπροσθεν·

Τὰ μὲν περισσεύοντα τῶν λόγων ἄφες.

Ὁ δὲ νοῦς· καὶ τὰ μὴ καλῶς, ἀλλὰ κακῶς αὐτοῖς ἔχοντα, καὶ αὐτὰ νῦν καλῶς ἔχει, ἕως οὐδέπω τιμωρίας τυγχάνουσιν· ἅπερ λεγόμενα πρὸς ἄκρον ἐστὶ παροξυντικά.

1346. Τίς οὗτός ἐστ᾽, ἀδελφέ: Οὐκ ἠρώτησε τοῦτο Ὀρέστην πρότερον ἡ Ἠλέκτρα ὑπὸ τῆς χαρᾶς, ἀλλ᾽ ἐφύλαξεν νῦν ὁ ποιητὴς εἰς ἕτερον ἀναγνωρισμόν.

1349. Οὗ τὸ Φωκέων πέδον] Οὗ χεροῖν εἰς τὸ Φωκέων πέδον ὑπεξεπέμφθην σῇ προμηθίᾳ.

1366. Ταῦτα] Τὰ κατ᾽ ἐμὲ, φησίν.

1368. Ἐνταῦθα ἀνεκάλυψε τὸ χρήσιμον τῆς ἀποδημίας Αἰγίσθου.

1369. Ἐφέξετον] Μελλήσετε.

1372. Τὸ οὐδὲν παρέλκει.

1378. Λιπαρεῖ χερί] Ἀντὶ τοῦ, λιπαρῶς, συνεχῶς.

1379. Ἐξ οἵων ἔχω] Ὡς δυνάμεως ἔχω, λόγοις ἀξιοῦν, [f] οὐ θύειν.

1382. Τἀπιτίμια] Τοὺς μισθούς.

[d] δηλονότι φέροντες R. Br.
[e] καιροῖς δηλονότι R. Br.

[f] Duo verba οὐ θύειν hodie in ms. vix legi possunt. P. E.

1384. Ἴδεθ᾽ ὅπου προνέμεται: Εἰσεληλύθασι μὲν ἐνταῦθα οἱ περὶ Ὀρέστην καὶ Πυλάδην· τοῦτο δὲ ἤτοι ὁ Χορὸς φησὶν [g] καὶ τῆς Ἠλέκτρας [h] συνελθούσης αὐτοῖς, καὶ τὸ ἴδετε πρὸς ἀλλήλας φασὶν [i] αἱ ἀπὸ τοῦ Χοροῦ· ἢ ὅτι ἔξω οὖσα ἡ Ἠλέκτρα, λέγει πρὸς τὸν Χορὸν τοὺς δύο στίχους, καὶ οὕτως εἰσέρχεται· καὶ ἔστι διάλειμμα, ὥστε ἐξελθοῦσαν αὐτὴν ἄρχεσθαι τοῦ, "ὦ φίλταται γυναῖκες." Παρατήρει δὲ, ὅτι ἐπὶ μὲν τῇ τοῦ ἀγγέλου παρουσίᾳ προοικονομεῖ ὁ ποιητὴς ἔξω διατρίβειν τὴν Κλυταιμνήστραν, δι᾽ ἃς προείπομεν αἰτίας· [k] ἐνθάδε δὲ τῶν λόγων γενομένων πρὸς τὴν Ἠλέκτραν ἐκ τοῦ Ὀρέστου, οὐδὲν λείπει εἰς τὸ ἀνελεῖν τὴν Κλυταιμνήστραν, ἅπερ ἐν τῷ ἐμφαίνειν ὁ ποιητὴς οὐκ εἰσήγαγεν. [Εἰς τὸ αὐτό.] [k] Τοῦ Ὀρέστου εἰσελθόντος, ὁ Χορὸς ταῦτα φησίν.

*Ibid.* Προνέμεται: [kk] Ἀντὶ τοῦ προβιβάζει.

1385. Τὸ δυσέριστον αἷμα φυσῶν: Οἷον, ὁ Ἄρης συναγελάζεται αὐτοῖς, φυσῶν αἷμα καὶ φόνον. Δυσέριστον [l] δὲ, τὸν δι᾽ ἔριν γινόμενον κακόν. Τὸ δὲ [m] κακὸν, οὐχ ὡς κατηγοροῦσα φησίν· (ἐναντίον γὰρ τῷ ἤθει τοῦ Χοροῦ·) ἀλλ᾽ ὅτι τὰ τοιαῦτα ἔργα οὐχ ἡδέα τοῖς ἀνθρώποις.

1388. Ἄφυκτοι κύνες: Ἤτοι εἰς τὸν Ὀρέστην ἀποτείνεται ἐν τῷ ἄφυκτοι κύνες, ἢ ἐπὶ τῶν Ἐρινύων· εἰσῆλθον εἰς τὸν οἶκον αἱ Ἐρινύες, ἃς οὐκ ἔστι φυγεῖν.

1389. Ὥστ᾽ οὐ μακρὰν ἔτ᾽ ἀμμένει: Οὐ περὶ τοῦ ὀνείρου τῆς Κλυταιμνήστρας φησί· τοῦτο γὰρ βίαιον· ἀλλὰ τοῦτο φησίν· ἃ κατ᾽ ἐμαυτὴν ὠνειροπόλουν, οὐκ εἰς μακρὰν ἔσται μετέωρα, ἀλλ᾽ εὐθέως τελεσθήσεται.

1391. Παράγεται γὰρ ἐνέρων δολιόπους: Ἡ Ἐρινῦς ἀφόβως χωροῦσα, ἢ δαίμων τις ἁπλῶς βοηθὸς νεκρῶν· ἢ ἐπὶ τοῦ Ὀρέστου· παρέρχεται, φησὶν, ἔσω στέγης ὁ Ὀρέστης. Ἐνέρων δὲ ἀρωγὸς, ἤτοι τοῦ Ἀγαμέμνονος, ἢ τῶν χθονίων [n] θεῶν βοηθὸς, ὅ ἐστιν ὑπηρέτις.

1393. Ἑδώλια] [o] Ἑδράσματα. [Εἰς τὸ αὐτό.] Ἀρχαῖα οἰκήματα.

1394. Νεοκόνητον αἷμα] Τὸ ξίφος τὸ ἠκονημένον εἰς αἷμα καὶ φόνον.

[g] καν L. sine accentu.
[h] συνεισελθούσης R. Br.
[i] αἱ ἀπὸ τοῦ χ. L. deleto ἀπό. αἱ τοῦ χ. R. Br.
[k] ἐνθά δὲ τῶν L. ἐνθάδε τῶν R.
[kk] Alia sede R. Br.
[l] δυσέριστον. τὸ δι᾽ ἔριν γιγνόμενον κακὸν R. et sine κακὸν Br.
[m] κακῶν Br.
[n] θο͂ς L.
[o] ἑδράσματα ἀρχαῖα. παλαιὰ οἰκήματα R. Br.

1395. Ὁ Μαίας δὲ παῖς: Ὁ Ἑρμῆς αὐτὸν [p] ἄγει πρὸς αὐτὸ τὸ τέρμα, κατακρύψας σκότῳ τὸν ὑπ' αὐτοῦ γινόμενον δόλον. [Εἰς τὸ αὐτό.] [q] Ἑρμῆς.

1398. Ἐξερχομένη ταῦτα φησίν.

1400. Ἐς τάφον] Εἰς τὸ περίδειπνον, [r] τὸ ἐπὶ τῷ Ὀρέστῃ δοκοῦντι ἀπολωλέναι.

1402. Ἐν τούτοις δῆλον, ὅτι εἰσῆλθεν ἐν τοῖς ἔμπροσθεν Ἠλέκτρα.

1404. Αἲ αἶ, ἰὼ στέγαι: Ἔθος ἔχουσι τὰ γεγονότα ἔνδον ἀπαγγέλλειν τοῖς ἔξω οἱ ἄγγελοι· νῦν δὲ, διὰ τὸ μὴ διατρίβειν ἐν τῷ δράματι, [s] οὐκ ἐποίησεν. Τοῦτο γὰρ προκείμενον τὸ κατὰ τὴν Ἠλέκτραν ἐστὶ πάθος· νῦν τοίνυν βοώσης ἐν τῇ ἀναιρέσει [t] τῆς Κλυταιμνήστρας, ἀκούει ὁ θεατὴς, καὶ [u] ἐνεργέστερον τὸ πρᾶγμα γίνεται, ἢ δι' ἀγγέλου σημαινόμενον· καὶ τὸ μὲν φορτικὸν τῆς ὄψεως ἀπέστη, τὸ δὲ ἐναργὲς οὐδὲν ἧσσον καὶ διὰ τῆς βοῆς ἐπραγματεύσατο.

1405. Φίλων ἔρημοι] Ὁ λόγος ἀποτείνεται [rr] πρὸς Αἴγισθον.

1406. Βοᾷ τις ἔνδον: Οἰκεῖον τὸ διανόημα γυναικῶν· τὸ δὲ ἀνήκουστα, οὐχ ὡς καταγινώσκουσαι τοῦ Ὀρέστου φασὶν, ἀλλὰ πᾶν τὸ πρᾶγμα ἐκτρεπόμεναι.

1413. Ὦ πόλις, ὦ γενεά: Ὦ γενεὰ τοῦ οἴκου τούτου, κατὰ ταύτην σε τὴν ἡμέραν ἡ Μοῖρα εἰς φθορὰν καὶ ἐλάττωσιν [w] τοῦ γένους ἄγει.

1417. Ζῶσιν] Ἀντὶ τοῦ, [x] ἐπεξέρχονται αὐτούς.

1419. Ὑπεξαιροῦσι] Ἐκχέουσι τὸ αἷμα τῶν φονευσάντων οἱ φονευθέντες.

1425. Ἀπόλλων εἰ καλῶς ἐθέσπισεν: Οἷον, οὐκ ἀπ' ἐμαυτοῦ ἐπιβαλλόμενος ἔπραξα, ἀλλὰ πειθόμενος [y] θεῷ.

1428. Λεύσσω γὰρ Αἴγισθον] Οἷον ὑποστρέψαντα· μετεκέκλητο γὰρ ἴσως ὑπὸ Κλυταιμνήστρας.

1434. Νῦν τὰ πρὶν εὖ θέμενοι: Τὰ μὲν πρὶν εὖ θέμενοι, τὰ κατὰ τὴν Κλυταιμνήστραν, ὡς καὶ [z] ὑμέτερον εὖ εἴη τὰ κατὰ Αἴγισθον.

[p] ἄγοι R. Br. Mox κατακρύψαι L.
[q] Gl. om. R. Br.
[r] τῷ L.
[rr] εἰς R. Br. Mox ἔθος δὲ R. Br.
[s] οὐκ ἐποίησε τοῦτο. Προκείμενον γὰρ R. Br.
[t] τῆς ἠλέκτρας κλυταιμ. L. Tum ὁ θεατὴς ἀκούει R. Br.
[u] ἐναργέστερον R. Br.
[w] ἄγει τοῦ γένους R. Br.
[x] ἐπέρχονται Br.
[y] τῷ θεῷ Br. R.
[z] ὑμῖν R. Br.

1437. Δι' ὠτὸς ἂν παῦρά γε: Μὴ ἀνατεταμένως φθέγγεσθαι, ἀλλ' ἐλαφρῶς· ἐν τῷ λαλεῖν δεῖ μηδὲ μηκύνειν τὸν λόγον.

*Ibid.* Ὡς ἠπίως ἐννέπειν: γρ. [z] Νηπίῳ. Ὡς ἂν μικρῶν παίδων ῥήματα, οὕτως αὐτῷ ἀφελῶς διαλέγεσθαι δεῖ, μὴ [a] ἀνακαλύπτοντες εὐθέως τὸ γεγονὸς κατὰ τὸν οἶκον.

1439. Πρὸς ἄνδρα τόνδε συμφέροι. Καθ' ὑπέρβατον· συμφέροι ἂν πρὸς τοῦτον τὸν ἄνδρα ὀλίγα δι' ὠτὸς αὐτοῦ ἐννέπειν, ὡς ἂν ἀνοήτῳ διαλεγόμενον· λείπει δὲ [b] καὶ τῷ λόγῳ, διαλεγόμενον τῷ νηπίῳ. Ἢ πρὸς αἰτιατικὴν μετακτέον· πρὸς τὸν ἄνδρα [c] συμφέροι τοῦτον, ὡς πρὸς νήπιον ἐννέπειν ὀλίγα διὰ τοῦ ὠτὸς, ὅπως ἂν ἀπατηθεὶς [d] ἐμπέσοι εἰς τὸν ἀγῶνα τῆς δίκης τὸν λάθρᾳ κατ' αὐτοῦ γινόμενον.

1450. Δίδασκε μέ] γρ. μήνυέ μοι.

1451. Ἐπισαρκάζουσα [e] τάδε φησίν.

1458. Κελεύει ὁ Αἴγισθος ἐμφανῶς [f] δείκνυσθαι τὸ σῶμα τοῦ Ὀρέστου· οἱ δὲ ἐπιδεικνύουσι τὸ τῆς Κλυταιμνήστρας.

1462. Μηδὲ πρὸς βίαν] Ἐὰν μὴ πείθηται, πρὸς βίαν κολάσεως τυχὼν, τότε φύσει φρένας, καὶ εἴσεται ὅτι ἄμεινον ἦν πείθεσθαι τῷ κρατοῦντι.

1466. Οἷον, ἐφθονήθη καὶ ἔπεσεν ὁ Ὀρέστης. [g] Εἰ δὲ μέμψις τις ἔπεστιν, οὐ λέγω. Εἰ δὲ μεμφόμεθα τοῖς περὶ αὐτῷ συμβᾶσιν, οὐ λέγω.

1478. Ζῶν τοῖς θανοῦσιν] Τῷ Ὀρέστῃ.

1483. Περισσὴ γὰρ καὶ ἀπίθανος διατριβὴ πρὸς τῷ τέλει ἐκτείνειν λόγους.

1487. [h] Οἰωνοῖς καὶ κυσὶ πρόθες αὐτόν.

1493. Τόδε] Τὸ ἄταφον αὐτὸν αἰκισθῆναι.

1495. Μὴ τάσσε] Μὴ ἐπίτασσε.

*Ibid.* Πρόφασιν ἱκανὴν εὗρε τοῦ μὴ ἐν τῷ ἐμφανεῖ φονεῦσαι αὐτόν.

1508. Ἀντὶ τοῦ, μετὰ πολλῶν καμάτων μόλις ἠλευθερώθης.

z νηπίῳ (ον superscript) L.
a ἀνακαλύπτοντας R. Br.
b καὶ om. R. Br.
c συμφέρει R. Br.
d ἐμπέσῃ R. Br.
e λέγει τάδε R. Br.
f δεικνύναι Br.
g εἰ δ' ἔπεστι νέμεσις οὐ R. Br.
h ἤγουν οἰωνοῖς R. Br.

# INDEX SCRIPTORUM.


ACESODORUS C. 1051.
Æschylus T. 733. C. 1047. 1049. Aj. 784. 833. E. 139. 286. Ἀγαμέμνονι C. 934. Ἑπτὰ ἐπὶ Θήβαις C. 1375. Ἡλιάσιν C. 1248. Θρῄσσαις Aj. 134. 815. Ἱερείαις C. 793. Ἰφιγενείᾳ Aj. 722. Λυκούργῳ C. 674. Ὅπλων κρίσει Aj. 190. Προμηθεῖ A. 969. Φιλοκτήτῃ Arg. Philoct.
Agathon Tr. 639.
Alcæus T. 56. 153. C. 954.
Alcman C. 1248.
Anacreon A. 134.
Andron C. 1051.
Androtion C. 698. † 712. † 1051.
Antimachus C. 14. [Triclinio Callimachus, sed male, ut liquet ex Suida vv. πῶρος· ταλαίπωρος. Schol. Eurip. Or. 392. Aristoph. Plut. 33. PORSON.]
Apollodorus C. 56. 57. 705. Tr. 264. ἐν τῇ βιβλιοθήκῃ A. 980. ἐν τῇ Περὶ θεῶν ιζ'. C. 489.
Apollonius Rhodius (Ἀργον.) E. 445. 745.
Aratus (Φαιν.) Tr. 130.
Archilochus E. 95. Arg. T.
Aristarchus Tegeata C. 1320.
Aristocrates Tr. 265.
Aristophanes Vit. Soph. [Locus plenior exstat apud Dion. Chrysost. LII. p. 553. PORSON.] Aj. 746. Βατράχοις E. 147. Arg. C. Γηρυτάδῃ E. 289. Ἥρωσι C. 793. Νεφέλαις C. 701. Πλούτῳ T. 82. Σφηξὶ Tr. 394.
Aristoteles T. Arg. C. 701.
Aristoxenus Vit. Soph.
Arizelus C. 91.
Astydamas C. 57.
Bias A. 175.
Callimachus T. 919. C. 3. 314. 489. 510. 1621. A. 264. 629. 711. Tr. 7. 308. Aj. 26. in fine τοῦ β' τῶν Αἰτίων C. 258. ἐν τῷ γ' τῶν Αἰτίων A. 80.
Carystius Vit. Soph.
Chilon A. 175.
Comici Ph. 25. C. 17.
Comoedia Aj. 257.
Crates Atheniensis C. 100.
Cratinus A. 404. Πυτίνῃ Aj. 105. Χείρωνι C. 477.
Creophylus (Οἰχαλίας ἁλώσει) Tr. 265.
Cypriorum auctor E. 157.
Demosthenes T. 56. (et sine nomine, de Cor. p. 269, 19. ed. Reisk.) A. 320.
Dicaearchus T. Arg. Aj. Arg.
Didymus C. 156. 237. 763. A. 4. 45. 722. Aj. 408. 1225.
Dinias ἐν ζ' Ἀργολικῶν E. 281.
Dionysius Thrax Aj. 1052.
Epicharmus Aj. 1074. Ἀμύκῳ Aj. 722.
Epimenides C. 42.
Euphorion C. 681.
Eupolis Μαρικᾷ C. 1600.
Euripides T. 264. (fr. inc. 164.) A. 781. Tr. 172. Aj. 833. Ἀλκηστ. Aj. 395. Ἀντιγόνῃ A. 1350. Βάκχαις A. 1146. Δίκτυϊ Aj. 787. Ἑκάβῃ Aj. 520. Ἱκετίσιν C. 220. Ἱππολύτῳ Tr. 28. C. 230. Aj. 266. Κύκλωπι Aj. 190. Κρῄσσαις Aj. 1297. Μηδείᾳ A. 61. Aj. 554. C. 171.

Tr. 144. Ὀρέστῃ T. 1328. C. 475. Πρωτεσιλάῳ C. 10. Φιλοκτήτῃ Ph. 1. Φοινίσσαις A. 106.
Hecataeus Milesius C. 1320.
Hellanicus Ph. 201.
Herodianus ἐν τῷ ε' τῆς Καθόλου C. 195.
Herodorus (v. Wesseling. Dissert. Herod. p. 22. PORSON.) Tr. 253.
Herodotus Aj. 508. Ph. 201. (vid. V. 77. II. 171. PORSON.) ἐν τῇ β' Tr. 172.
Hesiodus T. Arg. C. 1211. 1676. A. 418. 720. 1180. Tr. 40. 57. 116. 266. 520. 1101. Ph. 137. 457. E. 86. 539. ἐν Ἠοίαις Tr. 1169.
Hieronymus Vit. Soph.
Hippias Sophista T. Arg.
Hippocrates Aj. 51.
Homerus T. Arg. 27. 151. 164. 194. 391. 656. 733. 749. 930. 1241. C. 71. 131. 195. 281. 378. 389. 623. 630. 676. 1541. 1584. 1676. A. 15. 126. 308. 336. 341. 521. 587. 676. 677. 970. 985. 1030. 1036. 1144. 1150. Tr. 7. 13. 21. 50. 94. 96. 101. 126. 170. 181. 207. 284. 327. 513. 550. 558. 596. 637. 680. 713. 781. 790. 890. 933. 1012. 1073. 1162. 1262. Aj. Arg. 1. 7. 20. 26. 118. 125. 161. 176. 190. 253. 292. 299. 308. 448. 492. 499. 501. 514. 545. 550. 574. 615. 651. 802. 832. 866. 1079. 1114. 1269. 1358. Ph. 94. 214. 269. 334. 391. 457. 489. 562. 697. 784. 859. 959. 1025. 1057. 1325. E. 4. 9. 19. 45. 56. 95. 135. 137. 149. 151. 182. 210. 267. 300. 320. 445. 645. 706. 977. 1006. 1056. 1075. 1127. 1137.
Incertus Poëta (Orph. fr. 1.) C. 10. 1375. A. 620. Tr. 296. E. 188.
Interpretes antiqui Sophoclis C. 388. 390. 681. 944. E. 488.
Isocrates (Παραινέσει πρὸς Δημόνικον p. 3.) Tr. 118.
Ister Vit. Soph. C. 42. 57. 681. 701. περὶ τῶν Ἀτάκτων C. 1051. ἐν τῇ α' τῶν Ἀτάκτων C. 1059.
Lysimachides C. 56.
Lysimachus Alexandrinus ἐν τῷ ιβ' τῶν Θηβαϊκῶν C. 91.
Menander A. 136. T. 1191. ἐν Ναυκλήρῳ C. 1375.
Menecrates Tr. 354.
Neanthes Vit. Soph.
Nicander (Θηριακ. 448.) A. 126.
Nymphodorus ἐν τῷ ιγ' τῶν Βαρβαρικῶν C. 337.
Oraculum C. 57. Tr. 1.
Orphicus versus C. 10.
Pherecrates E. 86. Πετάλῃ C. arg.
Pherecydes T. 775. C. 472. Tr. 354. E. 504.
Phileas Aj. 884.
Philemon Comicus C. 42.
Philochorus T. 21. C. 698. ἐν τῇ β' τῶν Ἀτθίδων C. 100. ἐν τῇ Τετραπόλει C. 1047.
Philocles C. 1320.
Phrynichus Μούσαις C. arg.
Phylarchus C. 39.
Pindarus T. 899. Aj. arg. (Νεμ.) Aj. 154. E. 1026. (Ολ.) Tr. 744. Παιᾶσιν Tr. 172. (Πυθ.) T. 1186. Aj. 125. E. 696.
Pius Aj. 408.
Polemo C. 39. ἐν τῷ πρὸς Τιμαῖον C. 100. ἐν τοῖς πρὸς Ἐρατοσθένην C. 489.
Praxiphanes, Sophoclis interpres, C. 900.
Sappho E. 149.
Satyrus, Vit. Soph.

## INDEX SCRIPTORUM.


Simonides Aj. 377. 740.

Solon A. 711. Tr. 1.

Sophocles (fr. inc. 92.) E. 188. Αἴαντι T. 1186. C. 131. Ἀμφιτρύωνι C. 390. Ἀντιγόνῃ (80[illegible]3.) E. 895. 997. T. 968. Aj. 1131. Δανάῃ Aj. 1. Ἐπιγόνοις C. 378. Ἐρασταῖς C. 481. Ἠλέκτρᾳ C. 477. 1676. A. 410. Aj. 386. Θαμύριδι Vit. Soph. Θαμύρᾳ C. 378. Ἰφικλείᾳ C. 793. Καμικίοις (sic enim lego pro ἐν τοῖς Κωμικοῖς Porson.) A. 328. Νιόβῃ C. 684. Οἰδίποδι Τυρ. A. 1074. 1303. Ph. 137. Συνδείπνῳ C. 10. Aj. 190. Τραχινίαις Aj. 317. 646. 849. 866. Τριπτολέμῳ C. 504. Τυμπανίσταις A. 980. Ὑδροφόροις A. 1. Ph. 1199.

Thebaidis parvae scriptor C. 1375.

Theocritus A. 349.

Theognis C. 1225.

Thucydides (v. not.) T. 56.

.27 W.R. Dec 30/83.

PLEASE DO NOT REMOVE
CARDS OR SLIPS FROM THIS POCKET

UNIVERSITY OF TORONTO LIBRARY